Toronto University Library

Presented by

Messrs Joseph Baer & Co

through the Committee formed in

The Old Country

to aid in replacing the loss caused by

The disastrous Fire of February the 14th 1890

LGr
P565

PHILONIS JUDAEI

# OPERA OMNIA.

TEXTUS EDITUS

AD FIDEM OPTIMARUM EDITIONUM.

[Cura C. E. Richter]

VOL. I.

CONTINENS LIBB. DE OPIFICIIS MUNDI, DE ALLEGORIIS LEGUM LIBB. I—III, DE CHERUBIM, DE SACRIFICIIS ABELIS ET CAINI. DE EO QUOD DETERIUS POTIORI INSIDIATUR.

LIPSIAE
SUMTIBUS E. B. SCHWICKERTI.
1828.

BIBLIOTHECA SACRA

# PATRUM ECCLESIAE GRAECORUM.

PARS II.

---

PHILONIS JUDAEI

# OPERUM OMNIUM.

---

TOM. I.

---

LIPSIAE

SUMTIBUS E. B. SCHWICKERTI.

1828.

14542
3/8/91

# LECTURIS

# S.

In adornanda hac operum Philonis Judaei editione textum, quem *Mangeyus* Anglus Londini a. 1742 duobus voluminibus, forma maxima, typis splendidissimis, chartaque optima imprimendum curavit, sequuti sumus; quocum libros Philonis a *Pfeiffero* Erlangae editos, editionemque a. 1640., quae vulgo Parisiensis dicitur, contulimus. Scriptis Philonianis, quae in anglica editione collecta sunt, addidimus binos libros, *de festo cophini* et *de parentibus colendis* inscriptos, quos *Angelus Maius* in codice Mediceo bibliothecae Florentinae nuper primus invenit, et Mediolani a. 1818 cum versione latina notisque textum illustrantibus typis exprimi iussit; quo factum est, ut nostra editio omnium prima sit, quae cunctos Philonis libros, quotquot hucusque reperiri potuerunt, continet.

Etsi textum nostrum ab arte critica non novum dicere nobis liceat, — κριτικῶς enim tanto operi recognoscendo vires nostras impares esse bene sentimus, — id tamen efficere studuimus, ut mendis innumeris, quibus pristinae editiones scatent, ne libris quidem, quos Pfeifferus edidit, exceptis purgaretur. Huius operae haud minimam partem in se suscepere qui operis praeerant, M. *Lasch* et *Klotz*, viri sermonis graeci peritissimi, quorum indefessae assiduitati lectores debent id, quo textus editionis huius castigatior ceteris praelucet.

Commoditati legentium eo prospectum voluimus, quod summaria singulis libris praeposuimus, textum in paragraphos distinximus et quam aptissime fieri potuit interpunximus, paginas editionum Mangeyi et Parisiensis, notis M. et P. discretas, margini nostrae adscripsimus, loca V. T. a Philone suo more exegetice tractata et allegata subnotavimus. Indicem rerum et verborum sexto volumini adiiciemus, *graecum* quidem, hoc flagitante *Demetrio Postolacca*, negotiatore Vindobonensi, e Graecia hodierna oriundo, qui Bibliothecae sacrae nostrae fautor humanissimus litteris nos excitavit, ut indicem graecum potius quam latinum adderemus, propterea quod popularibus suis, linguae latinae parum gnaris graecus index utilior et aptior foret. Huius viri hortamini eo lubentius satisfieri voluimus,

quo magis nobis ipsis persuasum est, graecum indicem etiam extra Graeciam Philonem noscere cupientibus non fore ingratum.

Quod superest, tirones theologiae, quorum usui inprimis Josephi et Philonis Patrumque ecclesiae libros graecos edituri sumus, enixe hortamur, ut Philonem praeter ceteros omnes summa diligentia manibus volutent. In huius enim philosophi iudaei libris haud pauca continentur, quae ad pietatis sensum, virtutis amorem, et philosophiae rationalis studium excitandum et alendum magnopere conferant; ex his quoque quivis theologiae vere studiosus, si accurate eos cum libris N. T. et scriptis Patrum contulerit, discet, quis verior sit *theologiae* nostrae *dogmaticae* fons, et qua de causa haec a simplicissima illa *religione*, quam Jesu eiusque discipulis debemus, in multis differat; horum denique lectione, si quis in turpissimos mystarum vel pietistarum, quos dicunt, aliorumque id genus hominum, qui nostro tempore tenebricosas pristini aevi opiniones circa res sacras recoquere conantur, errores inciderit, *homoeopathica*, ut hac voce utar, quadam ratione sanabitur.

Quae commoda ut iis etiam, qui graeci sermonis ignari sunt, contingant, consilium cepimus librorum Philonis vernacule vertendorum, huiusque conaminis ex aliquo tempore initium fecimus, ita ut primis proximi anni mensibus prima *Philonis* germanici pars, brevibus

notis auctorem ipsum, scriptores N. T., et theologiae dogmaticae capita praecipua illustrantibus edi possit.

Post Philonem numine propitio *Patrum Apostolicorum*, qui vulgo dicuntur, et *Clementis Alexandrini* opera cum scholiis aliquot graecis, a *Schluttigio* nostro e codice Parisiensi primum editis, prelis divulganda dabimus.

*Scr. Zwiccaviae, die festo,*
*qui in mem. reform. Luth.*
*celebr.* 1827.

M. Car. Ern. Richter.

# ΦΙΛΩΝΟΣ ΙΟΥΔΑΙΟΥ

## ΠΕΡΙ ΤΗΣ

## ΜΩΥΣΕΩΣ ΚΟΣΜΟΠΟΙΙΑΣ.

# PHILONIS IUDAEI

DE

# OPIFICIO MUNDI SECUNDUM MOYSEN LIBER.

## Argumentum.

(Cf. Gen. I, 1 sqq.)

(1) Laudantur a Philone, quae Moyses hominibus credenda et observanda tradidit. Docuit enim (2) mundum a deo, mente suprema, (3) certo ordine creatum esse, qui inde conspicuus, quod ille sex diebus perfectus est; senarius enim numerus perfectissimus. (4) Mundus realis ad exemplar idealis efformatus est; quod quum (5) in λόγῳ dei originem habuerit, recte hic λόγος mundum creasse dicitur. Factus est mundus ab hoc, quod solus summa pulcri voluptate frui noluit. (6) Mundo insita sunt tot bona, quot capere potuit. (7) Mundus non in tempore creatus est, sed hoc aut cum mundo, aut post mundum esse coepit. Coelum primo loco creatum est, quia sanctissimum astrorum domicilium esse debebat; (8) spiritui et luci summus tributus locus, quia ille vitae fons uberrimus, haec pulcherrima rerum. (9) Lux et tenebrae separatae sunt, ad vitandum earum bellum perpetuum. (10) Coelum visibile firmamentum dictum, quia intelligibili oppositum est. (11) Aquam deus discrevit a terra, (12) terraeque generandi, (13) genitisque propagandi species suas vim indidit. (14) Deinceps coelum exornavit (15) quarto die, quia (16) quaternio radix decadis. (17) Lucem esse iussit, philosophandi fontem purissimum, (18) stellasque, lucis intelligibilis simulacra, (19) ex quarum motibus aestimantur rerum eventus, tempora constituuntur, numerique nati sunt. Quinto (20 et 21) die creata animalia, quinque sensibus praedita, ordine (22) hoc servato, ut deus, dum ea faciebat, a viliori ad prae-

stantius procederet. Postremo loco (23 - 25) homo, sexto quidem die, creatus est. Enumerantur (26 et 27) causae, cur ultimo loco factus est. Hic (28 et 29) omnium rerum, praeter coelestes, dominus. (30) Post mundum sex diebus exornatum diem septimum sanctissimum esse voluit, ob eximias (31 - 37) septenarii numeri virtutes, quae in septem planetis (38 - 39), hominis natura (40 - 41), et artibus musica et grammatica (42) maxime sunt conspicuae; quamobrem eum (43) Graeci et Barbari plurimi fecerunt. Res creatas postquam auctor iterum (44) imagines idearum divinarum esse monuit, docet (45) aquam dulcem eundem in terra habere usum, ac menstruorum fluxum et lac in feminis; hinc terram etiam *Δήμητραν* dici. Hominem protoplastum (46 - 49) deus genere, quod ex eo prodiit, creavit praestantiorem. Consortio (50) usus est rationalium naturarum divinarum, quae ante eum aderant. Genus humanum (51) numini supremo etiamnum cognatum, minus tamen quam protoplastus. Hic (52) cunctis animalibus, deo iubente, nomina indidit, sapientissimusque exstitit; postquam vero (53) deus feminam creavit, vir primus et haec mutua corporum voluptate fruiti immortalem vitam perdiderunt, id quod symbolis (54) arboris vitae et mortis, et serpentis (55 - 56) indicatur. Inde (57 et 58) voluptas nata, quae (59) per sensus mentem capit, hominemque servum et mortalem reddit; illa enim (60) dolorum, malorumque omnium fons. (61) Moyses omnino quinque potissimum religionis praecepta tradidit, quae qui animo amplectitur, beatus vivit.

---

1 §. 1. Τῶν ἄλλων νομοθετῶν οἱ μὲν ἀκαλλώπιστα 1
ed. καὶ γυμνὰ τὰ νομισθέντα παρ᾽ αὐτοῖς εἶναι δίκαια ed.
M. διετάξαντο, οἱ δὲ, πολὺν ὄγκον τοῖς νοήμασι προσπεριλαβόντες, P.
ἐξετύφωσαν τὰ πλήθη, μυθικοῖς πλάσμασι τὴν ἀλήθειαν ἐπικρύψαντες. Μωϋσῆς δὲ ἑκάτερον ὑπερβὰς, τὸ μὲν, ὡς ἄσκεπτον καὶ ἀταλαίπωρον καὶ ἀφιλόσοφον, τὸ δὲ, ὡς κατεψευσμένον καὶ μεστὸν γοητείας, παγκάλην καὶ σεμνοτάτην ἀρχὴν τῶν νόμων ἐποιήσατο, μήτ᾽ εὐθὺς ἃ χρὴ πράττειν ἢ τὸ ἐναντίον ὑπειπὼν, μήτε, ἐπειδὴ προτυπῶσαι τὰς διανοίας τῶν χρησομένων τοῖς νόμοις ἀναγκαῖον

ἣν, μύθους πλασάμενος, ἢ συναινέσας τοῖς ὑφ' ἑτέ-
ρων συντεθεῖσιν· ἡ δὲ ἀρχὴ, καθάπερ ἔφην, ἐστὶ
θαυμασιωτάτη, κοσμοποιΐαν περιέχουσα, ὡς καὶ
τοῦ κόσμου τῷ νόμῳ, καὶ τοῦ νόμου τῷ κόσμῳ συν-
ᾴδοντος, καὶ τοῦ νομίμου ἀνδρὸς, εὐθὺς ὄντος κοσ-
μοπολίτου, πρὸς τὸ βούλημα τῆς φύσεως τὰς πρά-
ξεις ἀπευθύνοντος, καθ' ἣν καὶ ὁ σύμπας κόσμος
διοικεῖται. Τὸ μὲν οὖν κάλλος τῶν νοημάτων τῆς
κοσμοποιΐας οὐδεὶς οὔτε ποιητὴς, οὔτε λογογράφος,
2 ἀξίως ἀνυμνῆσαι δύναιτο. Καὶ γὰρ λόγον καὶ ἀκοὴν
M. ὑπερβάλλει, μείζω καὶ σεμνότερα ὄντα, ἢ ὡς γενη-
τοῦ τινὸς ὀργάνοις ἐναρμοσθῆναι· οὐ μὴν διὰ τοῦτο
ἡσυχαστέον, ἀλλὰ ἕνεκα τοῦ θεοφιλοῦς καὶ ὑπὲρ 2
δύναμιν ἐπιτολμητέον λέγειν· Οἴκοθεν μὲν οὐδὲν P.
οὐδὲ πολλὰ, ὀλίγα δὲ ἀντὶ πολλῶν, ἐφ' ἃ τὴν ἀν-
θρωπίνην διάνοιαν φθάνειν εἰκὸς, ἔρωτι καὶ πόθῳ
σοφίας κατεσχημένην. Ὡς γὰρ τῶν κολοσσιαίων
μεγεθῶν τὰς ἐμφάσεις καὶ ἡ βραχυτάτη σφραγὶς
τυπωθείσας δέχεται, οὕτω τάχα που καὶ τὰ τῆς
ἀναγραφείσης ἐν τοῖς νόμοις κοσμοποιΐας ὑπερβάλ-
λοντα κάλλη, καὶ ταῖς μαρμαρυγαῖς τὰς τῶν ἐντυγ-
χανόντων ψυχὰς ἐπισκιάζοντα, βραχυτέροις παραδο-
θήσεται χαρακτῆρσιν, ἐπειδὰν ἐκεῖνο μηνυθῇ πρό-
τερον, ὅπερ οὐκ ἄξιον ἀποσιωπῆσαι.

§. 2. Τινὲς γὰρ τὸν κόσμον μᾶλλον ἢ τὸν κοσμο-
ποιὸν θαυμάσαντες, τὸν μὲν ἀγένητόν τε καὶ ἀΐδιον
ἀπεφήναντο· τοῦ δὲ θεοῦ πολλὴν ἀπραξίαν οὐκ εὐα-
γῶς κατεψεύσαντο, δέον ἔμπαλιν τοῦ μὲν τὰς δυνάμεις
ὡς ποιητοῦ καὶ πατρὸς καταπλαγῆναι, τὸν δὲ μὴ πλέον
τοῦ μετρίου ἀποσεμνῦναι. Μωϋσῆς δὲ, καὶ φιλο-
σοφίας ἐπ' αὐτὴν φθάσας ἀκρότητα, καὶ χρησμοῖς
τα πολλὰ καὶ συνεκτικώτατα τῶν τῆς φύσεως ἀνα-
διδαχθεὶς, ἔγνω δὴ, ὅτι ἀναγκαιότατόν ἐστιν, ἐν
τοῖς οὖσιν τὸ μὲν εἶναι δραστήριον αἴτιον, τὸ δὲ
παθητικόν. Καὶ ὅτι τὸ μὲν δραστήριον ὁ τῶν ὅλων
νοῦς ἐστὶν εἰλικρινέστατος καὶ ἀκραιφνέστατος, κρείτ-

των τε ἢ ἀρετὴ, καὶ κρείττων ἢ ἐπιστήμη, καὶ
κρείττων ἢ αὐτὸ τὸ ἀγαθὸν καὶ αὐτὸ τὸ καλόν· τὸ
δὲ παθητικὸν, ἄψυχον καὶ ἀκίνητον ἐξ ἑαυτοῦ, κι-
νηθὲν δὲ καὶ σχηματισθὲν καὶ ψυχωθὲν ὑπὸ τοῦ
νοῦ, μετέβαλεν εἰς τὸ τελειότατον ἔργον, τόνδε τὸν
κόσμον. Ὃν οἱ φάσκοντες ὡς ἐστὶν ἀγένητος, λελή-
θασι τὸ ὠφελιμώτατον καὶ ἀναγκαιότατον τῶν εἰς
εὐσέβειαν ἡκόντων ὑποτεμνόμενοι, τὴν πρόνοιαν.
Τοῦ μὲν γὰρ γεγονότος ἐπιμελεῖσθαι τὸν πατέρα καὶ
ποιητὴν αἱρεῖ λόγος. Καὶ γὰρ πατὴρ ἐκγόνων, καὶ
δημιουργὸς τῶν δημιουργηθέντων στοχάζεται τῆς
διαμονῆς. Καὶ ὅσα μὲν ἐπιζήμια καὶ βλαβερὰ, μη-
χανῇ πάσῃ διωθεῖται, ὅσα δὲ ὠφέλιμα καὶ λυσι-
τελῆ, πάντα τρόπον ἐκπορίζειν ἐπιποθεῖ· Πρὸς δὲ
τὸ μὴ γεγονὸς, οἰκείωσις οὐδεμία τῷ μὴ πεποιηκότι.
Ἀπεριμάχητον δὲ δόγμα καὶ ἀνωφελὲς, ἀναρχίαν ὡς
ἐν πόλει κατασκευάζειν τῷδε τῷ κόσμῳ, τὸν ἔφορον,
ἢ βραβευτὴν, ἢ δικαστὴν οὐκ ἔχοντι, ὑφ᾽ οὗ τὰ
πάντα οἰκονομεῖσθαι καὶ πρυτανεύεσθαι θέμις. Ἀλλ᾽
3 ὅγε μέγας Μωϋσῆς ἀλλοτριώτατον τοῦ ὁρατοῦ νο-
M. μίσας εἶναι τὸ ἀγένητον, — πᾶν γὰρ τὸ αἰσθητὸν ἐν
γενέσει καὶ μεταβολαῖς, οὐδέποτε κατὰ τὰ αὐτὰ, ὄν, 3
— τῷ μὲν ἀοράτῳ καὶ νοητῷ προσένειμεν ὡς ἀδελφὸν P.
καὶ συγγενὲς, ἀϊδιότητα· τῷ δὲ αἰσθητῷ γένεσιν τὸ
οἰκεῖον ὄνομα ἐπεφήμισεν. Ἐπεὶ οὖν ὁρατός τε καὶ
αἰσθητὸς ὅδε ὁ κόσμος, ἀναγκαίως ἂν εἴη καὶ γενη-
τός. Ὅθεν οὐκ ἀπὸ σκοποῦ καὶ τὴν γένεσιν ἀνέ-
γραψεν αὐτοῦ, μάλα σεμνῶς θεολογήσας.

§. 3. Ἓξ δὲ ἡμέραις δημιουργηθῆναί φησι τὸν
κόσμον, οὐκ ἐπειδὴ προσεδεῖτο τοῦ χρόνων μήκους
ὁ ποιῶν, — ἅμα γὰρ πάντα δρᾶν εἰκὸς θεὸν, οὐ
προστάττοντα μόνον, ἀλλὰ καὶ διανοούμενον, — ἀλλ᾽
ἐπειδὴ τοῖς γινομένοις ἔδει τάξεως. Τάξει δὲ ἀριθ-
μὸς οἰκεῖον, ἀριθμῶν δὲ φύσεως νόμοις γεννητικώτα-
τος ὁ ἕξ. Τῶν τε γὰρ ἀπὸ μονάδος πρῶτος τέλειός

ἐστιν, ἰσούμενος τοῖς ἑαυτοῦ μέρεσι, καὶ συμπληρούμενος ἐξ αὐτῶν· ἡμίσους μὲν τριάδος, τρίτου δὲ δυάδος, ἕκτου δὲ μονάδος, καὶ, ὡς ἔπος εἰπεῖν, ἄῤῥην τε καὶ θῆλυς εἶναι πέφυκε, καὶ ἐκ τῆς ἑκατέρου δυνάμεως ἥρμοσται. Ἄῤῥεν μὲν γὰρ ἐν τοῖς οὖσι τὸ περιττὸν, τὸ δὲ ἄρτιον θῆλυ· περιττῶν μὲν οὖν ἀριθμῶν ἀρχὴ τριὰς, δυὰς δὲ ἀρτίων, ἡ δὲ ἐπ' ἀμφοῖν δύναμις, ἑξάς. Ἔδει γὰρ τὸν κόσμον τελειότατον μὲν ὄντα τῶν γεγονότων κατ' ἀριθμὸν τέλειον παγῆναι, τὸν ἕξ· ἐν ἑαυτῷ δὲ ἔχειν μέλλοντα τὰς ἐκ συνδυασμοῦ γενέσεις, πρὸς μικτὸν ἀριθμὸν τὸν πρῶτον ἀρτιοπέριττον τυπωθῆναι, περιέξοντα καὶ τὴν τοῦ σπείροντος ἄῤῥενος, καὶ τὴν τοῦ ὑποδεχομένου τὰς γονὰς θήλεος ἰδέαν. Ἑκάστην δὲ τῶν ἡμερῶν ἀπένειμεν ἑνὶ τῶν τοῦ παντὸς τμημάτων, τὴν πρώτην ὑπεξελόμενος. Ἣν αὐτὸς οὐδὲ πρώτην, ἵνα μὴ ταῖς ἄλλαις συγκαταριθμῆται, καλεῖ, μίαν δὲ ὀνομάσας εὐθυβόλως προσαγορεύει, τὴν μονάδος φύσιν τε καὶ πρόσρησιν ἐνιδών τε καὶ ἐπιφημίσας αὐτῇ.

§. 4. Λεκτέον δὲ ὅσα οἷόν τέ ἐστι τῶν ἐμπεριεχομένων, ἐπειδὴ πάντα ἀμήχανον· περιέχει γὰρ τὸν
4 νοητὸν κόσμον ἐξαίρετον, ὡς ὁ περὶ αὐτῆς λόγος
M. μηνύσει. Προλαβὼν γὰρ ὁ θεὸς ἅτε θεὸς, ὅτι μίμημα καλὸν οὐκ ἄν ποτε γένοιτο καλοῦ δίχα παραδείγματος, οὐδέ τι τῶν αἰσθητῶν ἀνυπαίτιον, ὃ μὴ πρὸς ἀρχέτυπον καὶ νοητὴν ἰδέαν ἀπεικονίσθη, βουληθεὶς τὸν ὁρατὸν τουτονὶ κόσμον δημιουργῆσαι, προεξετύπου τὸν νοητὸν, ἵνα χρώμενος ἀσωμάτῳ καὶ θεοειδεστάτῳ παραδείγματι, τὸν σωματικὸν τοῦτον ἀπεργάσηται, πρεσβυτέρου νεώτερον ἀπεικόνισμα, τοσαῦτα περιέξοντα αἰσθητὰ γένη, ὅσαπερ ἐν ἐκείνῳ 4
νοητά. Τὸν δὲ ἐκ τῶν ἰδεῶν συνεστῶτα κόσμον ἐν P.
τόπῳ τινὶ λέγειν ἢ ὑπονοεῖν οὐ θεμιτόν· ᾗ δὲ ὑφέστηκεν, εἰσόμεθα παρακολουθήσαντες εἰκόνι τινὶ τῶν παρ' ἡμῖν. Ἐπειδὰν πόλις τις κτίζηται κατὰ πολ-

λὴν φιλοτιμίαν βασιλέως ἤ τινος ἡγεμόνος, αὐτο-
κρατοῦς ἐξουσίας μεταποιουμένου, καὶ ἅμα τὸ φρό-
νημα λαμπροῦ, τὴν εὐτυχίαν συνεπικοσμοῦντος, πα-
ρελθὼν ἐστὶν ὅτε τις τῶν ἀπὸ παιδείας ἀνὴρ ἀρχι-
τεκτονικὸς, καὶ τὴν εὐκρασίαν καὶ εὐκαιρίαν τοῦ τό-
που θεασάμενος, διαγράφει πρῶτον ἐν ἑαυτῷ τὰ
τῆς μελλούσης ἀποτελεῖσθαι πόλεως μέρη σχεδὸν
ἅπαντα, ἱερὰ, γυμνάσια, πρυτανεῖα, ἀγορὰς, λι-
μένας, νεωσοίκους, στενωποὺς, τειχῶν κατασκευὰς,
ἱδρύσεις οἰκιῶν καὶ δημοσίων καὶ ἄλλων οἰκοδομη-
μάτων. Εἶτα ὥσπερ ἐν κηρῷ τινι τῇ ἑαυτοῦ ψυχῇ
τοὺς ἑκάστου δεξάμενος τύπους, ἀγαλματοφορεῖ νοη-
τὴν πόλιν, ἧς ἀνακινήσας τὰ εἴδωλα μνήμῃ τῇ συμ-
φύτῳ, καὶ τοὺς χαρακτῆρας ἔτι μᾶλλον ἐνσφραγι-
σάμενος, οἷα δημιουργὸς ἀγαθὸς, ἀποβλέπων εἰς
τὸ παράδειγμα τὴν ἐκ λίθων καὶ ξύλων ἄρχεται κα-
τασκευάζειν, ἑκάστῃ τῶν ἀσωμάτων ἰδεῶν τὰς σω-
ματικὰς ἐξομοιῶν οὐσίας. Τὰ παραπλήσια δὴ καὶ
περὶ θεοῦ δοξαστέον, ὃς ἄρα τὴν μεγαλόπολιν κτί-
ζειν διανοηθεὶς, ἐνενόησε πρότερον τοὺς τύπους αὐ-
τῆς, ἐξ ὧν κόσμον νοητὸν συστησάμενος ἀπετέλει
τὸν αἰσθητὸν, παραδείγματι χρώμενος ἐκείνῳ.

§. 5. Καθάπερ οὖν ἡ ἐν τῷ ἀρχιτεκτονικῷ προ-
διατυπωθεῖσα πόλις τὴν χώραν ἐκτὸς οὐκ εἶχεν, ἀλλ'
ἐνεσφράγιστο τῇ τοῦ τεχνίτου ψυχῇ, τὸν αὐτὸν τρό-
πον οὐδὲ ὁ ἐκ τῶν ἰδεῶν κόσμος ἄλλον ἂν ἔχοι τό-
πον, ἢ τὸν θεῖον λόγον τὸν ταῦτα διακοσμήσαντα. Ἐπεὶ
τίς ἂν εἴη τῶν δυνάμεων αὐτοῦ τόπος ἕτερος, ὃς
γένοιτ' ἂν ἱκανὸς, οὐ λέγω πάσας, ἀλλὰ μίαν ἄκρα-
τον ἡντινοῦν δέξασθαί τε καὶ χωρῆσαι; Δύναμις δὲ καὶ
5 ἡ κοσμοποιητικὴ, πηγὴν ἔχουσα τυγχάνει τὸ πρὸς ἀλή-
M. θειαν ἀγαθόν. Εἰ γάρ τις ἐθελήσειε τὴν αἰτίαν, ἧς
ἕνεκα τόδε τὸ πᾶν ἐδημιουργεῖτο, διερευνᾶσθαι, δοκεῖ
μοι μὴ διαμαρτεῖν τοῦ σκοποῦ φάμενος, ὅπερ καὶ τῶν
ἀρχαίων εἰπέ τις, "ἀγαθὸν εἶναι τὸν πατέρα καὶ
ποιητὴν, οὗ χάριν τῆς ἀρίστης αὐτοῦ φύσεως οὐκ

ἐφθόνησεν οὐσίᾳ, μηδὲν ἐξ ἑαυτῆς ἐχούσῃ καλὸν, δυναμένῃ δὲ γενέσθαι πάντα." Ἦν μὲν γὰρ ἐξ ἑαυτῆς ἄτακτος, ἄποιος, ἄψυχος, ἑτεροιότητος, ἀναρμοστίας, ἀσυμφωνίας μεστή. Τροπην δὲ καὶ μεταβολὴν ἐδέχετο τὴν εἰς τὰ ἐναντία καὶ τὰ βέλτιστα, τάξιν, ποιότητα, ἐμψυχίαν, ὁμοιότητα, ταυτότητα, τὸ εὐάρμοστον, τὸ σύμφωνον, πᾶν ὅσον τῆς κρείττονος ἰδέας.

§. 6. Οὐδενὶ δὲ παρακλήτῳ — τίς γὰρ ἦν ἕτερος; — 5
μόνῳ δὲ ἑαυτῷ χρησάμενος ὁ θεὸς, ἔγνω δεῖν εὐερ- P.
γετεῖν ἀταμιεύτοις καὶ πλουσίαις χάρισι τὴν ἄνευ δωρεᾶς θείας φύσιν ἐπιλαχεῖν ἐξ ἑαυτῆς οὐδενὸς ἀγαθοῦ δυναμένην. Ἀλλ' οὐ πρὸς τὸ μέγεθος εὐεργετεῖ τῶν αὐτοῦ χαρίτων — ἀπερίγραφοι γὰρ αὐταί γε καὶ ἀτελεύτητοι, — πρὸς δὲ τὰς τῶν εὐεργετουμένων δυνάμεις. Οὐ γὰρ ὡς πέφυκεν ὁ θεὸς εὖ ποιεῖν, οὕτω καὶ τὸ γενόμενον εὖ πάσχειν· ἐπεὶ τοῦ μὲν αἱ δυνάμεις ὑπερβάλλουσι. Τὸ δὲ ἀσθενέστερον ὂν, ἢ ὥςτε δέξασθαι τὸ μέγεθος αὐτῶν, ἀπεῖπεν ἂν, εἰ μὴ διεμετρήσατο σταθμησάμενος εὐαρμόστως τὸ ἑκάστῳ ἐπιβάλλον. Εἰ δέ τις ἐθελήσειε γυμνοτέροις χρήσασθαι τοῖς ὀνόμασιν, οὐδὲν ἂν ἕτερον εἴποι τὸν νοητὸν εἶναι κόσμον, ἢ θεοῦ λόγον ἤδη κοσμοποιοῦντος. οὐδὲ γὰρ ἡ νοητὴ πόλις ἕτερόν τι ἐστὶν, ἢ ὁ τοῦ ἀρχιτέκτονος λογισμὸς, ἤδη τὴν αἰσθητὴν πόλιν τῇ νοητῇ κτίζειν διανοουμένου. Μωϋσέως ἐστὶ τόδε δόγμα τοῦτο, οὐκ ἐμόν. Τὴν γοῦν ἀνθρώπου γένεσιν ἀναγράφων, ἐν τοῖς ἔπειτα ὁμολογεῖ διαῤῥήδην, ὡς ἄρα κατ' εἰκόνα θεοῦ διετυπώθη. Εἰ δὲ τὸ μέρος εἰκὼν εἰκόνος, δηλονότι καὶ τὸ ὅλον εἶδος, ὁ σύμπας αἰσθητὸς οὑτοσὶ κόσμος, ὃ μεῖζόν ἐστι τῆς ἀνθρωπίνης μίμημα θείας εἰκόνος. Δῆλον δὲ, ὅτι καὶ ἡ ἀρχέτυπος σφραγὶς, ὅν φαμεν εἶναι κόσμον νοητὸν, αὐτὸς ἂν εἴη τὸ ἀρχέτυπον παράδειγμα, ἰδέα τῶν ἰδεῶν, ὁ θεοῦ λόγος. —

§. 7. Φησὶ δὲ ὡς "ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς
τὸν οὐρανὸν καὶ τὴν γῆν," τὴν ἀρχὴν παραλαμβά-
6 νων οὐχ, ὡς οἴονταί τινες, τὴν κατὰ χρόνον· χρό-
M. νος γὰρ οὐκ ἦν πρὸ κόσμου, ἀλλ᾽ ἢ σὺν αὐτῷ γέ-
γονεν, ἢ μετ᾽ αὐτόν. Ἐπειδὴ γὰρ διάστημα τῆς
τοῦ οὐρανοῦ κινήσεως ἐστὶν ὁ χρόνος, προτέρα τοῦ
κινουμένου κίνησις οὐκ ἂν γένοιτο, ἀλλ᾽ ἀναγκαῖον
αὐτὴν ἢ ὕστερον, ἢ ἅμα συνίστασθαι. Ἀναγκαῖον
ἄρα καὶ τὸν χρόνον ἰσήλικα τοῦ κόσμου γεγονέναι,
ἢ νεώτερον ἐκείνου. Πρεσβύτερον δὲ ἀποφαίνεσθαι
τολμᾶν ἀφιλόσοφον τῷ ὄντι. Εἰ δὲ ἀρχὴ μὴ παρα-
λαμβάνεται τανῦν ἡ κατὰ χρόνον, εἰκὸς ἂν εἴη μη-
νύεσθαι τὴν κατ᾽ ἀριθμὸν, ὡς τὸ "ἐν ἀρχῇ ἐποίη-
σεν" ἴσον εἶναι τῷ "πρῶτον ἐποίησε τὸν οὐρανόν."
Καὶ γὰρ εὔλογον τῷ ὄντι πρῶτον αὐτὸν εἰς γένεσιν
ἐλθεῖν, ἄριστόν τε ὄντα τῶν γεγονότων, καὶ ἐκ τοῦ κα-
θαρωτάτου τῆς οὐσίας παγέντα, διότι θεῶν ἐμφανῶν
τε καὶ αἰσθητῶν ἔμελλεν οἶκος ἔσεσθαι ἱερώτατος.
Καὶ γὰρ εἰ πάντα ἅμα ὁ ποιῶν ἐποίει, τάξιν οὐδὲν 6
ἧττον εἶχε τὰ καλῶς γινόμενα. καλὸν γὰρ οὐδὲν P.
ἐν ἀταξίᾳ. Τάξις δὲ ἀκολουθία καὶ εἱρμός ἐστι
προηγουμένων τινῶν καὶ ἑπομένων, εἰ καὶ μὴ τοῖς
ἀποτελέσμασιν, ἀλλά γε ταῖς τῶν τεκταινομένων ἐπι-
νοίαις· οὕτω γὰρ ἔμελλον ἠκριβῶσθαί τε καὶ ἀπλα-
νεῖς εἶναι καὶ ἀσύγχυτοι. Πρῶτον οὖν παρὰ τοῦ
νοητοῦ κόσμου ὁ ποιῶν ἐποίει οὐρανὸν ἀσώματον,
καὶ γῆν ἀόρατον, καὶ ἀέρος ἰδέαν καὶ κενοῦ. ὧν
τὸν μὲν ἐπεφήμισε σκότος, ἐπειδὴ μέλας ὁ ἀὴρ τῇ
φύσει· τὸ δὲ ἄβυσσον, πολύβυθον γὰρ τό γε κενὸν
καὶ ἀχανές. Εἶθ᾽ ὕδατος ἀσώματον οὐσίαν καὶ
πνεύματος, καὶ ἐπὶ πᾶσιν ἑβδόμου φωτὸς, ὃ πάλιν
ἀσώματον ἦν, καὶ νοητὸν ἡλίου παράδειγμα, καὶ
πάντων ὅσα φωσφόρα ἄστρα κατὰ τὸν οὐρανὸν
ἔμελλε συνίστασθαι.

§. 8. Προνομίας δὲ τὸ πνεῦμα καὶ τὸ φῶς
ἠξίου. Τὸ μὲν γὰρ ὠνόμασε θεοῦ, διότι ζωτικώτα-

τον τὸ πνεῦμα, ζωῆς δὲ θεὸς αἴτιος· τὸ δὲ, φῶς, ὅτι ὑπερβαλλόντως καλόν. Τοσούτῳ γὰρ τὸ νοητὸν τοῦ ὁρατοῦ λαμπρότερόν τε καὶ αὐγοειδέστερον, ὅσῳπερ ἥλιος, οἶμαι, σκότους, καὶ ἡμέρα νυκτὸς, καὶ τῶν αἰσθητικῶν κριτηρίων ὁ νοῦς, ὁ τῆς ὅλης ψυχῆς ἡγεμὼν, καὶ ὀφθαλμοὶ σώματος. Τὸν δὲ ἀόρατον καὶ νοητὸν θεῖον λόγον, εἰκόνα λέγει θεοῦ. Καὶ ταύτης εἰκόνα τὸ νοητὸν φῶς ἐκεῖνο, ὃ θείου
7 λόγου γέγονεν εἰκὼν τοῦ διερμηνεύσαντος τὴν γένε-
M. σιν αὐτοῦ. Καὶ ἔστιν ὑπερουράνιος ἀστὴρ, πηγὴ τῶν αἰσθητῶν ἀστέρων, ἣν οὐκ ἀπὸ σκοποῦ καλέσειεν ἄν τις παναύγειαν, ἀφ᾽ ἧς ὁ ἥλιος καὶ ἡ σελήνη καὶ οἱ ἄλλοι πλανῆτές τε καὶ ἀπλανεῖς ἀρύονται, καθ᾽ ὅσον ἑκάστῳ δύναμις, τὰ πρέποντα φέγγη, τῆς ἀμιγοῦς καὶ καθαρᾶς ἐκείνης αὐγῆς ἀμαυρουμένης, ὅταν ἄρξηται τρέπεσθαι κατὰ τὴν ἐκ νοητοῦ πρὸς αἰσθητὸν μεταβολήν· εἰλικρινὲς γὰρ οὐδὲν τῶν ἐν αἰσθήσει.

§. 9. Εὖ μέντοι καὶ τὸ φάναι, ὅτι „τὸ σκότος ἦν ἐπάνω τῆς ἀβύσσου *)." Τρόπον γάρ τινα ὁ ἀὴρ ὑπὲρ τὸ κενόν ἐστιν, ἐπειδὴ πᾶσαν τὴν ἀχανῆ καὶ ἐρήμην καὶ κενὴν χώραν ἐπιβὰς ἐκπεπλήρωκεν, ὅση πρὸς ἡμᾶς ἀπὸ τῶν κατὰ σελήνην καθήκει. Μετὰ δὲ τὴν τοῦ νοητοῦ φωτὸς ἀνάλαμψιν, ὃ πρὸ ἡλίου γέγονεν, ὑπεχώρει τὸ ἀντίπαλον σκότος, διατειχίζοντος ἀπ᾽ ἀλλήλων αὐτὰ καὶ διϊστάντος τοῦ θεοῦ, τοῦ τὰς ἐναντιότητας εὖ εἰδότος, καὶ τὴν ἐκ φύσεως αὐτῶν διαμάχην. Ἵνα οὖν μὴ ἀεὶ συμφερόμενα στασιάζωσι, καὶ πόλεμος ἀντὶ εἰρήνης ἐπικρατήσῃ, τὴν ἀκοσμίαν ἐν κόσμῳ τιθεὶς, οὐ μόνον „ἐχώρισε φῶς καὶ σκότος," ἀλλὰ καὶ ὅρους ἐν μέ- 7
σοις ἔθετο διαστήμασιν, οἷς ἀνεῖρξε τῶν ἄκρων ἑκά- P.
τερον. Ἔμελλε γὰρ γειτνιῶντα σύγχυσιν ἀπεργάζεσθαι, τῷ περὶ δυναστείας ἀγῶνι κατὰ πολλὴν καὶ

---

*) Gen. 1, 2.

ἄπαυστον φιλονεικίαν ἐπαποδυόμενα, εἰ μὴ μέσοι παγέντες ὅροι διέζευξαν καὶ διέλυσαν τὴν ἀντεπίθεσιν. Οὗτοι δέ εἰσιν "ἑσπέρα τε καὶ πρωΐα," ὧν ἡ μὲν προευαγγελίζεται μέλλοντα ἥλιον ἀνίσχειν, ἠρέμα τὸ σκότος ἀνείργουσα· ἡ δὲ ἑσπέρα καταδύντι ἐπιγίνεται τῷ ἡλίῳ, τὴν ἀθρόαν τοῦ σκότους φορὰν πραέως ἐκδεχομένη. Καὶ ταῦτα μέντοι, πρωΐαν λέγω καὶ ἑσπέραν, ἐν τῇ τάξει τῶν ἀσωμάτων καὶ νοητῶν θετέον· ὅλως γὰρ οὐδὲν αἰσθητὸν ἐν τούτοις, ἀλλὰ πάντα ἰδέαι καὶ μέτρα καὶ τύποι καὶ σφραγῖδες, εἰς γένεσιν ἄλλων ἀσώματα σωμάτων. Ἐπειδὴ δὲ φῶς μὲν ἐγένετο, σκότος δὲ ὑπεξέστη καὶ ὑπεχώρησεν, ὅροι δὲ ἐν τοῖς μεταξὺ διαστήμασιν ἐπάγησαν, ἑσπέρα τε καὶ πρωΐα, κατὰ τὸ ἀναγκαῖον τοῦ χρόνου μέτρον ἀπετελεῖτο εὐθὺς, ὃ καὶ "ἡμέραν" ὁ ποιῶν ἐκάλεσε. Καὶ ἡμέραν οὐχὶ πρώτην, ἀλλὰ "μίαν," ἣ λέλεκται οὕτως διὰ τὴν τοῦ νοητοῦ κόσμου μόνωσιν, μοναδικὴν ἔχοντος φύσιν.

§. 10. Ὁ μὲν οὖν ἀσώματος κόσμος ἤδη πέρας
8 εἶχεν, ἱδρυθεὶς ἐν τῷ θείῳ λόγῳ, ὁ δὲ αἰσθητὸς
M. πρὸς παράδειγμα τούτου ἐτελειουργεῖτο. Καὶ πρῶτον αὐτοῦ τῶν μερῶν, ὃ δὴ καὶ πάντων ἄριστον, ἐποίει τὸν οὐρανὸν ὁ δημιουργὸς, ὃν ἐτύμως "στερέωμα" προςηγόρευκεν, ἅτε σωματικὸν ὄντα· τὸ γὰρ σῶμα φύσει στερεὸν, ὅτιπερ καὶ τριχῇ διάστατον. Στερεοῦ δὲ καὶ σώματος ἔννοιά τις ἑτέρα, πλὴν τὸ πάντῃ διεστηκός; Εἰκότως οὖν ἀντιτιθεὶς τῷ νοητῷ καὶ ἀσωμάτῳ τὸν αἰσθητὸν καὶ σωματοειδῆ, τοῦτον στερέωμα ἐκάλεσεν. Εἶτ' αὐτὸν εὐθέως οὐρανὸν εὐθυβόλως καὶ πάνυ κυρίως προσεῖπεν, ἤτοι διότι πάντων ὅρος ἦν ἤδη, ἢ ὅτι πρῶτος τῶν ὁρατῶν ἐγένετο. Ὀνομάζει δὲ καὶ ἡμέραν μετὰ τὴν γένεσιν αὐτοῦ δευτέραν, ὅλον ἡμέρας διάστημα καὶ μέτρον ἀνατιθεὶς οὐρανῷ, διὰ τὴν ἐν αἰσθητοῖς ἀξίωσίν τε καὶ τιμήν.

§. 11. *Μετὰ δὲ ταῦτα, ἐπειδὴ τὸ σύμπαν ὕδωρ εἰς ἅπασαν τὴν γῆν ἀνεκέχυτο, καὶ διὰ πάντων αὐτῆς ἐπεφοιτήκει τῶν μερῶν, οἷα σπογγιᾶς ἀναπεπωκυίας ἰκμάδα, ὡς εἶναι τέλμα τε ἅμα καὶ βαθὺν πηλὸν, ἀμφοτέρων τῶν στοιχείων ἀναδεδευμένων καὶ συμπεφυρμένων τρόπον φυράματος εἰς μίαν ἀδιάκριτον καὶ ἄμορφον φύσιν, προστάττει ὁ θεὸς, τὸ μὲν ὕδωρ ὅσον ἁλμυρὸν καὶ ἀγονίας αἴτιον ἔμελλεν ἔσεσθαι σπαρτοῖς καὶ δένδρεσιν, ἐπισυναχθῆναι, συῤῥυὲν ἐκ τῶν τῆς ἁπάσης γῆς ἀραιωμάτων·* 8
*τὴν δὲ "ξηρὰν ἀναφανῆναι," τῆς τοῦ γλυκέος νο-* P.
*τίδος ἐναπολειφθείσης εἰς διαμονήν. Κόλλα γάρ τις ἐστὶν ἡ μεμετρημένη γλυκεῖα νοτὶς τῶν διεστηκότων, καὶ ὑπὲρ τοῦ μὴ παντάπασιν ἀπαυανθεῖσαν αὐτὴν ἄγονον καὶ στεῖραν γενέσθαι, καὶ ὅπως οἷα μήτηρ, μὴ μόνον θάτερον εἶδος τροφῆς, βρῶσιν, ἀλλ' ἑκάτερον ὡς ἂν ἐγγόνοις βρῶσίν τε καὶ πόσιν παρέχῃ. Διὸ φλέβας μαστοῖς ἐοικυίας ἐπλήμμυρε, αἳ στομωθεῖσαι ποταμοὺς καὶ πηγὰς ἔμελλον ἀναχεῖν. Οὐδὲν δὲ ἧττον καὶ τὰς ἀφανεῖς ἐνίκμους διαφύσεις εἰς ἅπασαν τὴν ἀρόσιμον καὶ βαθύγειον ἀπέτεινε, πρὸς εὐφορίαν ἀφθονωτάτην καρπῶν. Ταῦτα διαταξάμενος, ὀνόματα αὐτοῖς ἐτίθει, τὴν μὲν ξηρὰν καλῶν "γῆν," τὸ δὲ ἀποκριθὲν ὕδωρ "θάλασσαν *)."*

§. 12. *Εἶτα διακοσμεῖν ἄρχεται τὴν γῆν. Κελεύει γὰρ αὐτὴν χλοηφορεῖν, καὶ σταχυοφορεῖν, παντοίας βοτανίας ἀνιεῖσαν, καὶ πεδία εὔχορτα, καὶ πάνθ' ὅσα χιλὸς μὲν κτήνεσιν, ἀνθρώποις δὲ ἔμελλεν ἔσεσθαι τροφή. Προσέτι μέντοι καὶ τὰς δένδρων ἁπάσας ἰδέας ἀνέφυεν, οὐδὲν οὔτε τῶν τῆς ἀγρίας, οὔτε τῶν τῆς ἡμέρου λεγομένης ὕλης πα-*
9 *ρείς. Ἐπεβρίθει δὲ πάντα καρποῖς εὐθὺς ἅμα τῇ*
M. *πρώτῃ γενέσει, κατὰ τὸν ἐναντίον τρόπον ἢ τὸν*

*) Gen. 1, 10 sqq.

*νυνὶ καθεστῶτα. Νυνὶ μὲν γὰρ ἐν μέρει γίνεται τὰ γινόμενα χρόνοις διαφέρουσιν, ἀλλ' οὐκ ἀθρόα καιρῷ ἐνί. Τίς γὰρ οὐκ οἶδεν, ὅτι πρῶτον μέν ἐστι σπορὰ καὶ φυτεία, δεύτερον δὲ τῶν σπαρέντων καὶ φυτευθέντων αὔξησις, ἡ μὲν εἰς τὸ κάτω ῥίζας ἀποτείνουσα οἱονεὶ θεμελίους, ἡ δὲ εἰς τὸ ἄνω πρὸς ὕψος αἰρομένων καὶ στελεχουμένων; Ἔπειτα βλαστοὶ καὶ πετάλων ἐκφύσεις, εἶτ' ἐπὶ πᾶσι καρποῦ φορά. Καὶ πάλιν καρπὸς οὐ τέλειος, ἀλλ' ἔχων ἐν ἑαυτῷ παντοίας μεταβολὰς, κατά τε τὴν ἐν μεγέθει ποσότητα, καὶ τὰς ἐν πολυμόρφοις ἰδέαις ποιότητας. Ἀποτίκτεται μὲν γὰρ ὁ καρπὸς, ἐοικὼς ἀμερέσι ψήγμασιν, ὑπὸ βραχύτητος μόλις ὁρατοῖς, ἅπερ οὐκ ἀπὸ σκοποῦ φαίη ἄν τις εἶναι πρῶτα αἰσθητά. Μετὰ δὲ ταῦτα ἐκ τοῦ κατ' ὀλίγον, ἔκ τε τῆς ἐποχετευομένης τροφῆς, ᾗ ἄρδει τὸ δένδρον, καὶ ἐκ τῆς εὐκρασίας τῶν πνευμάτων, ἃ ψυχραῖς ἅμα καὶ μαλακωτέραις αὔραις πνεῖ, κατὰ μικρὸν ζωπυρεῖται καὶ τιθηνεῖται καὶ συναύξεται, πρὸς ὄγκον ἐπιδιδοὺς τελειότατον· σὺν δὲ τῷ μεγέθει καὶ τὰς ποιότητας ἀλλάττει, καθάπερ ὑπὸ γραφικῆς ἐπιστήμης χρώμασι διαφόροις ποικιλλόμενος.*

§. 13. *Ἐν δὲ τῇ πρώτῃ γενέσει τῶν ὅλων, καθάπερ ἔφην, ὁ θεὸς ἅπασαν τὴν τῶν φυτῶν ὕλην ἐκ γῆς ἀνεδίδου τελείαν, καρποὺς ἔχουσαν οὐκ ἀτελεῖς ἀλλ' ἀκμάζοντας, εἰς ἑτοιμοτάτην καὶ ἀνυπέρθετον χρῆσιν καὶ ἀπόλαυσιν ζώων τῶν αὐτίκα γενησομένων. Ὁ μὲν δὴ προστάττει τῇ γῇ ταῦτα γεννῆσαι. Ἡ δὲ ὥσπερ ἐκ πολλοῦ κυοφοροῦσα καὶ*
*ὠδίνουσα, τίκτει πάσας μὲν τὰς σπαρτῶν, πάσας δὲ* 9
*τὰς δένδρων, ἔτι δὲ καρπῶν, ἀμυθήτους ἰδέας. Ἀλλ'* P.
*οὐ μόνον ἦσαν οἱ καρποὶ τροφαὶ ζώοις, ἀλλὰ καὶ παρασκευαὶ πρὸς τὴν τῶν ὁμοίων ἀεὶ γένεσιν, τὰς σπερματικὰς οὐσίας περιέχουσαι, ἐν αἷς ἄδηλοι μὲν καὶ ἀφανεῖς οἱ λόγοι τῶν ὅλων εἰσὶ, δῆλοι δὲ καὶ*

φανεροὶ γινόμενοι καιρῶν περιόδοις. Ἐβουλήθη γὰρ ὁ θεὸς δολιχεύειν τὴν φύσιν, ἀθανατίζων τὰ γένη, καὶ μεταδιδοὺς αὐτοῖς ἀϊδιότητος. Οὗ χάριν καὶ ἀρχὴν πρὸς τὸ τέλος ἦγε καὶ ἐπέσπευδε, καὶ τέλος ἐπ᾽ ἀρχὴν ἀνακάμπτειν ἐποίει. Ἔκ τε γὰρ φυτῶν ὁ καρπὸς, ὡς ἂν ἐξ ἀρχῆς τὸ τέλος, καὶ ἐκ καρποῦ τὸ σπέρμα, περιέχον ἐν ἑαυτῷ πάλιν τὸ φυτὸν, ὡς ἂν ἐκ τέλους ἀρχή.

§. 14. Τῇ δὲ τετάρτῃ ἡμέρᾳ*) μετὰ τὴν γῆν τὸν οὐρανὸν ἐποίκιλλε διακοσμῶν, οὐκ ἐπειδὴ τοῦτον ἐν ὑστέρῳ τῆς γῆς ἔταττε, τῇ μὲν ἐλάττονι φύσει προνομίαν διδοὺς, τὴν δὲ κρείττονα καὶ θειοτέραν δευτερείων ἀξιῶν, ἀλλ᾽ εἰς ἔνδειξιν ἐναργεστάτην κράτους ἀρχῆς. Προλαβὼν γὰρ περὶ τῶν οὔπω γεγονότων ἀνθρώπων οἷοι τὰς γνώμας ἔσονται, στο-
M. χασταὶ τῶν εἰκότων καὶ πιθανῶν, ἐν οἷς τὸ πολὺ τὸ εὔλογον, ἀλλ᾽ οὐχὶ τῆς ἀκραιφνοῦς ἀληθείας, καὶ ὅτι πιστεύσουσι τοῖς φαινομένοις μᾶλλον ἢ θεῷ, σοφιστείαν πρὸ σοφίας θαυμάσαντες. Κατιδόντες τε αὖθις τὰς ἡλίου καὶ σελήνης περιόδους, δι᾽ ὧν θέρη, χειμῶνες, ἔαρος καὶ μετοπώρου τροπαὶ, τῶν ἐκ γῆς ἀνὰ πᾶν ἔτος φυομένων καὶ γιγνομένων ἁπάντων αἰτίας ὑπολήψονται τὰς τῶν κατ᾽ οὐρανὸν ἀστέρων περιπολήσεις. Ἵνα μηδενὶ γενητῷ τὰς πρώτας ἀνατιθέναι τινὲς τολμῶσιν αἰτίας, ἢ διὰ θράσος ἀναίσχυντον ἢ δι᾽ ἀμαθίαν ὑπερβάλλουσαν· ἀναδραμέτωσαν, φησὶ, ταῖς διανοίαις ἐπὶ τὴν πρώτην τῶν ὅλων γένεσιν, ὅτε, πρὸ ἡλίου καὶ σελήνης, παντοῖα μὲν φυτὰ, παντοίους δὲ καρποὺς ἤνεγκεν ἡ γῆ. Καὶ θεασάμενοι ταῖς διανοίαις, ἐλπιζέτωσαν, ὅτι καὶ αὖθις οἴσει κατὰ πρόσταξιν τοῦ πατρὸς, ὅταν αὐτῷ δοκῇ, μηδὲν προσδεηθέντι τῶν κατ᾽ οὐρανὸν ἐκγόνων, οἷς δυνάμεις μὲν ἔδωκεν, οὐ μὴν αὐτοκρατεῖς. Οἷα γὰρ ἡνίοχος ἡνιῶν ἢ κυβερνήτης οἰάκων ἐπει-

*) Gen. 1, 14.

λημμένος, ἄγει ᾗ ἂν ἐθέλῃ κατὰ νόμον καὶ δίκην
ἕκαστα, μηδενὸς προςδεόμενος ἄλλου· πάντα γὰρ
θεῷ δυνατά.

§. 15. Ἡδ᾽ ἐστὶν αἰτία, διὰ ἣν προτέρα μὲν
ἐβλάστησε καὶ ἐχλοηφόρησεν ἡ γῆ. Ὁ δὲ οὐρανὸς
διεκοσμεῖτο αὖθις ἐν ἀριθμῷ τελείῳ, τετράδι, ἣν
δεκάδος τῆς παντελείας οὐκ ἂν διαμάρτοι τις εἶναι
λέγων ἀφορμήν τε καὶ πηγήν. Ὃ γὰρ ἐντελεχείᾳ
δεκὰς, τοῦτο τετρὰς, ὡς ἔοικε, δυνάμει. Εἰ γοῦν οἱ 10
ἀπὸ μονάδος ἄχρι τετράδος ἑξῆς συντεθεῖεν ἀρι- P.
θμοὶ, δεκάδα γεννήσουσιν, ἥτις ὅρος τῆς ἀπειρίας
τῶν ἀριθμῶν ἐστι, περὶ ὃν ὡς καμπτῆρα εἱλοῦνται
καὶ ἀνακάμπτουσι. Περιέχει δὲ ἡ τετρὰς καὶ τοὺς
λόγους τῶν κατὰ μουσικὴν συμφωνιῶν, τῆς τε διὰ
τεττάρων καὶ διὰ πέντε καὶ διὰ πασῶν, καὶ προςέτι δὶς
διὰ πασῶν, ἐξ ὧν σύστημα τὸ τελειότατον ἀπογεννᾶται.
Τῆς μὲν γὰρ διὰ τεττάρων ὁ λόγος ἐπίτριτος. Τῆς δὲ
διὰ πέντε, ἡμιόλιος. Διπλάσιος δὲ τῆς διὰ πασῶν.
Τετραπλάσιος δὲ τῆς δὶς διὰ πασῶν. Οὓς ἅπαντας
ἡ τετρὰς ἔχει περιλαβοῦσα. Τὸν μὲν γοῦν ἐπίτρι-
τον ἐν τῷ τέσσαρα πρὸς τρία. Τὸν δὲ ἡμιόλιον ἐν
11 τῷ τρία πρὸς δύο. Τὸν δὲ διπλάσιον ἐν τῷ δύο
M. πρὸς ἓν, ἢ τέσσαρα πρὸς δύο. Τὸν δὲ τετραπλά-
σιον ἐν τῷ τέσσαρα πρὸς ἕν.

§. 16. Ἔστι δὲ καὶ δύναμις ἄλλη τετράδος,
λεχθῆναί τε καὶ νοηθῆναι θαυμασιωτάτη. Πρώτη
γὰρ αὕτη τὴν τοῦ στερεοῦ φύσιν ἔδειξε, τῶν πρὸ
αὐτῆς ἀριθμῶν τοῖς ἀσωμάτοις ἀνακειμένων. Κατὰ
μὲν γὰρ τὸ ἓν τάττεται τὸ λεγόμενον ἐν γεωμετρίᾳ
εἶναι σημεῖον. Κατὰ δὲ τὰ δύο, γραμμὴ, διότι φύ-
σει ἐκ σημείου συνίσταται. Ἡ γραμμὴ δέ ἐστι μῆ-
κος ἀπλατές. Πλάτους δὲ προςγενομένου, γίνεται
ἐπιφάνεια, ἣ τέτακται κατὰ τριάδα. Ἐπιφάνεια δὲ
πρὸς τὴν τοῦ στερεοῦ φύσιν, ἑνὸς δεῖται τοῦ βά-
θους, ὃ προστεθὲν τῇ τριάδι, γίνεται τετράς. Ὅθεν
καὶ μέγα χρῆμα συμβέβηκεν εἶναι τὸν ἀριθμὸν τοῦ-

τον, ὃς ἐκ τῆς ἀσωμάτου καὶ νοητῆς οὐσίας ἤγαγεν
ἡμᾶς εἰς ἔννοιαν τριχῇ διαστάτου σώματος, τῇ φύ-
σει πρῶτον αἰσθητοῦ. Ὁ δὲ μὴ συνιεὶς τὸ λεγόμε-
νον, ἐκ τινὸς παιδιᾶς εἴσεται πάνυ συνήθους. Οἱ
καρυατίζοντες εἰώθασι τρία ἐν ἐπιπέδῳ προτιθέντες
κάρυα, ἐπιφέρειν ἓν, σχῆμα πυραμοειδὲς ἀπογεν-
νῶντες. Τὸ μὲν οὖν ἐν ἐπιπέδῳ τρίγωνον ἵσταται
μέχρι τριάδος, τὸ δὲ ἐπιτεθὲν τετράδα μὲν ἐν ἀρι-
θμοῖς, ἐν δὲ σχήμασι πυραμίδα γεννᾷ, στέρεον ἤδη
σῶμα. Πρὸς δὲ τούτοις οὐδ᾽ ἐκεῖνο ἀγνοητέον, ὅτι
πρῶτος ἀριθμῶν ὁ τέτταρα τετράγωνός ἐστιν ἰσάκις
ἴσος, μέτρον δικαιοσύνης καὶ ἰσότητος. Καὶ ὅτι μό-
νος ἐκ τῶν αὐτῶν καὶ συνθέσει καὶ δυνάμει πέφυκε
γεννᾶσθαι. Συνθέσει μὲν, ἐκ δυοῖν καὶ δυοῖν· δυνάμει
δὲ πάλιν, ἐκ τοῦ δὶς δύο, πάγκαλόν τι συμφωνίας εἶδος
ἐπιδεικνύμενος, ὃ μηδενὶ τῶν ἄλλων ἀριθμῶν συμ-
βέβηκεν. Αὐτίκα γοῦν ὁ ἕξ, συντεθειμένος ἐκ δυοῖν
τριάδων, οὐκ ἔτι γεννᾶται πολυπλασιασθεισῶν, ἀλλ᾽
ὁ ἕτερος, ὁ ἐννέα. Πολλαῖς δὲ καὶ ἄλλαις κέχρη-
ται δυνάμεσιν ἡ τετρὰς, ἃς ἀκριβέστερον καὶ ἐν τῷ
περὶ αὐτῆς ἰδίῳ λόγῳ προσυποδεικτέον. Ἀπόχρη δὲ
καὶ ἐκεῖνο προσθεῖναι, ὅτι τῇ τοῦ παντὸς οὐρανοῦ 11
τε καὶ κόσμου γενέσει γέγονεν ἀρχή. Τὰ γὰρ τέσ- P.
σαρα στοιχεῖα, ἐξ ὧν τόδε τὸ πᾶν ἐδημιουργήθη,
καθάπερ ἀπὸ πηγῆς ἐῤῥύη, τῆς ἐν ἀριθμοῖς τετρά-
δος. καὶ πρὸς τούτοις αἱ ἐτήσιοι ὧραι τέσσαρες, αἱ
ζώων καὶ φυτῶν αἴτιαι γενέσεως, τετραχῇ τοῦ ἐνι-
αυτοῦ διανεμηθέντος εἰς χειμῶνα καὶ ἔαρ καὶ θέρος
καὶ μετόπωρον.

§. 17. Τοσαύτης οὖν ἀξιωθέντος ἐν τῇ φύσει
προνομίας τοῦ λεχθέντος ἀριθμοῦ, κατ᾽ ἀναγκαῖον
ὁ ποιητὴς διεκόσμει τὸν οὐρανὸν ἐν τετράδι, παγκά-
λῳ καὶ θεοειδεστάτῳ κόσμῳ, τοῖς φωσφόροις ἄστροις.
12 Εἰδώς τε ὅτι τῶν ὄντων ἄριστον τὸ φῶς ἐστὶν, ὄρ-
M. γανον αὐτὸ τῆς ἀρίστης τῶν αἰσθήσεων ὁράσεως
ἀπέφηνεν. Ὅπερ γὰρ νοῦς ἐν ψυχῇ, τοῦτο ὀφθαλ-

μὸς ἐν σώματι. Βλέπει γὰρ ἑκάτερος, ὃ μὲν τὰ ὄντα νοητὰ, ὃ δὲ αὖ τὰ αἰσθητά. Χρεῖος δὲ ὁ μὲν νοῦς ἐπιστήμης εἰς τὸ γνωρίσαι τὰ ἀσώματα, ὀφθαλμοὶ δὲ φωτὸς εἰς τὴν τῶν σωμάτων ἀντίληψιν, ὃ πολλῶν μὲν καὶ ἄλλων ἀγαθῶν αἴτιον γέγονεν ἀνθρώποις, διαφερόντως δὲ τοῦ μεγίστου, φιλοσοφίας. Ὑπὸ γὰρ φωτὸς ἄνω παραπεμφθεῖσα ἡ ὅρασις, καὶ κατιδοῦσα φύσιν ἀστέρων, καὶ κίνησιν αὐτῶν ἐναρμόνιον, ἀπλανῶν τε καὶ πλανήτων εὖ διατεταγμένας περιφορὰς, τῶν μὲν κατὰ ταῦτα καὶ ὡσαύτως περιπολούντων, τῶν δὲ ἀνομοίως τε καὶ ὑπεναντίως διτταῖς περιόδοις χρωμένων, χορείας τε πάντων ἐμμελεῖς, νόμοις τῆς μουσικῆς τελείας διακεκοσμημένας, ἄλεκτον ἐμπαρέχει τῇ ψυχῇ τέρψιν· τε καὶ ἡδονήν. Ἡ δὲ ἑστιωμένη θεαμάτων ἐπαλλήλων, ἐξ ἑτέρων γὰρ ἦν ἕτερα, πολλὴν ἀπληστίαν εἶχε τοῦ θεωρεῖν. Εἶτα, οἷα φιλεῖ, προσπεριειργάζετο, τίς ἡ τῶν ὁρατῶν δὴ τούτων οὐσία, καὶ εἰ ἀγένητοι πεφύκασιν, ἢ γενέσεως ἔλαβον ἀρχὴν, καὶ τίς ὁ τρόπος τῆς κινήσεως, καὶ τίνες αἱ αἰτίαι διὰ ὧν ἕκαστα οἰκονομεῖται. Ἐκ δὲ τῆς τούτων ζητήσεως τὸ φιλοσοφίας συνέστη γένος, οὗ τελειότερον ἀγαθὸν οὐκ ἦλθεν εἰς τὸν ἀνθρώπινον βίον.

§. 18. Πρὸς δὲ τὴν τοῦ νοητοῦ φωτὸς ἰδέαν ἐκείνην ἀπιδὼν, ἣ λέλεκται κατὰ τὸν ἀσώματον κόσμον, ἐδημιούργει τοὺς αἰσθητοὺς ἀστέρας, ἀγάλματα θεῖα καὶ περικαλλέστατα, οὓς ὥσπερ ἐν ἱερῷ τῷ καθαρωτάτῳ τῆς σωματικῆς οὐσίας ἵδρυε, τῷ οὐρανῷ, πολλῶν χάριν. Ἑνὸς μὲν, τοῦ φωσφορεῖν· ἑτέρου δὲ, σημείων· εἶτα, καιρῶν τῶν περὶ τὰς ἐτησίους ὥρας· καὶ ἐπὶ πᾶσιν, ἡμερῶν, νυκτῶν, μηνῶν, ἐνιαυτῶν, ἃ δὴ καὶ μέτρα γέγονε χρόνου, καὶ τὴν ἀριθμοῦ φύσιν ἐγέννησεν. Οἵαν δὲ ἕκαστον τῶν εἰρημένων χρείαν τε καὶ ὠφέλειαν παρέχεται, δῆλον μὲν ἐκ τῆς ἐνεργείας. Πρὸς δὲ ἀκριβε- 12
στέραν κατάληψιν, οὐκ ἄτοπον ἴσως καὶ λόγῳ τὸ P.

ἀληθὲς ἰχνηλατῆσαι. Τοῦ δὴ σύμπαντος χρόνου διανεμηθέντος εἰς δύο τμήματα, ἡμέραν τε καὶ νύκτα, τῆς μὲν ἡμέρας τὸ κράτος ὁ πατὴρ ἀνεδίδου τῷ ἡλίῳ, οἷα μεγάλῳ βασιλεῖ· τῆς δὲ νυκτὸς τῇ σελήνῃ καὶ τῷ πλήθει τῶν ἄλλων ἀστέρων. Τὸ δὲ μέγεθος τῆς περὶ τὸν ἥλιον δυνάμεώς τε καὶ ἀρχῆς, ἐμφανεστάτην πίστιν ἔχει τὴν λεχθεῖσαν ἤδη. Εἷς γὰρ ὢν καὶ μόνος, ἰδίᾳ καὶ καθ᾽ αὑτὸν ἥμισυ τμῆ-
13 μα τοῦ σύμπαντος χρόνου κεκλήρωται, τὴν ἡμέραν,
M. οἱ δὲ ἄλλοι πάντες μετὰ σελήνης θάτερον, ὃ κέκληται νύξ. Καὶ τοῦ μὲν ἀνατείλαντος, αἱ φαντασίαι τῶν τοσούτων ἀστέρων οὐκ ἀμαυροῦνται μόνον, ἀλλὰ καὶ ἀφανίζονται τῇ τοῦ φέγγους ἀναχύσει· καταδύντος δὲ, τὰς ἰδίας ἐπιφανείας ἄρχονται διαφαίνειν ἀθρόοι καὶ τὰς ποιότητας.

§. 19. Γεγόνασι δὲ, ὅπερ αὐτὸς εἶπεν, οὐ μόνον ἵνα φῶς ἐκπέμπωσιν ἐπὶ τὴν γῆν, ἀλλὰ καὶ ὅπως σημεῖα μελλόντων προφαίνωσιν. Ἢ γὰρ ἀνατολαῖς αὐτῶν, ἢ δύσεσιν, ἢ ἐκλείψεσιν, ἢ πάλιν ἐπιτολαῖς καὶ ἐπικρύψεσιν, ἢ ταῖς ἄλλαις περὶ τὰς κινήσεις διαφοραῖς ἄνθρωποι τὰ ἀποβησόμενα στοχάζονται, καρπῶν φορὰς καὶ ἀφορίας, ζώων γενέσεις καὶ φθορὰς, αἰθρίας καὶ νεφώσεις, νηνεμίας καὶ βίας πνευμάτων, ποταμῶν πλημμύρας καὶ κενώσεις, θαλάττης ἠρεμίαν καὶ κλύδωνα, ὡρῶν τῶν ἐτησίων ὑπαλλαγὰς, ἢ θέρους χειμάζοντος, ἢ χειμῶνος φλέγοντος, ἢ ἔαρος μετοπωρίζοντος, ἢ μετοπώρου ἐαρίζοντος. Ἤδη δὲ καὶ κλόνον καὶ σεισμὸν γῆς ἐκ τῶν κατ᾽ οὐρανὸν κινήσεων στοχασμῷ προεσήμηνάν τινες, καὶ μυρία ἄλλα τῶν ἀληθεστέρων· ὡς ἀψευδέστατα λελέχθαι, ὅτι "εἰς σημεῖα γεγόνασιν οἱ ἀστέρες, προσέτι μέντοι καὶ εἰς καιρούς." Καιροὺς δὲ τὰς ἐτησίους ὥρας ὑπείληφεν εἶναι. Καὶ μήποτε εἰκότως; Ἔννοια γὰρ καιροῦ τίς ἂν εἴη, πλὴν χρόνος κατορθώσεως; Αἱ δὲ ὧραι πάντα τελεσφοροῦσι καὶ κατορθοῦσι, σποράς, καὶ φυτείας καρπῶν, καὶ ζώων γενέσεις τε καὶ αὐ-

ξήσεις. Γεγόνασι δὲ καὶ πρὸς μέτρα χρόνων· ἡλίου γὰρ καὶ σελήνης καὶ τῶν ἄλλων τεταγμέναις περιόδοις, ἡμέραι, καὶ μῆνες, καὶ ἐνιαυτοὶ συνέστησαν. Εὐθύς τε, τὸ χρησιμώτατον, ἡ ἀριθμοῦ φύσις ἐδείχθη, χρόνου παραφήναντος αὐτήν. Ἐκ γὰρ μιᾶς ἡμέρας, τὸ ἕν, καὶ ἐκ δυοῖν, τὰ δύο, καὶ ἐκ τριῶν, τὰ τρία, καὶ ἐκ μηνὸς, τὰ τριάκοντα, καὶ ἐξ ἐνιαυτοῦ, τὸ ἰσάριθμον ταῖς ἐκ δώδεκα μηνῶν ἡμέραις πλῆθος,
καὶ ἐξ ἀπείρου χρόνου, ὁ ἄπειρος ἀριθμός. Εἰς το- 13
σαύτας καὶ οὕτως ἀναγκαίας διατείνουσιν ὠφελείας P.
αἱ τῶν κατ᾽ οὐρανὸν φύσεις τε καὶ κινήσεις ἀστέρων. Εἰς πόσα δὲ ἄλλα φαίην ἂν ἔγωγε τῶν ἡμῖν μὲν ἀδηλουμένων! Οὐ γὰρ πάντα τῷ θνητῷ γένει γνώριμα, πρὸς δὲ τὴν τοῦ ὅλου συνεργούντων διαμονὴν, ἃ θεσμοῖς καὶ νόμοις, οὓς ὥρισεν ὁ θεὸς ἀκινήτους ἐν τῷ παντὶ, συμβαίνει πάντη τε καὶ πάντως ἐπιτελεῖσθαι.

§. 20. Γῆς δὲ καὶ οὐρανοῦ διακοσμηθέντων τοῖς προσήκουσι κόσμοις, τῆς μὲν τριάδι, τοῦ δὲ, ὡς ἐλέχθη, τετράδι, τὰ θνητὰ γένη ζωοπλαστεῖν ἐνεχείρει, τὴν ἀρχὴν ἀπὸ τῶν ἐνύδρων ποιούμε-
14 νος ἡμέρᾳ πέμπτῃ, νομίσας οὐδὲν οὕτως ἕτερον
M. ἑτέρῳ συγγενὲς, ὡς ζώοις πεντάδα. Διαφέρει γὰρ ἔμψυχα ἀψύχων οὐδενὶ μᾶλλον ἢ αἰσθήσει· πενταχῇ δὲ τμητὸν αἴσθησις, εἰς ὅρασιν, ἀκοὴν, γεῦσιν, ὄσφρησιν, καὶ ἁφήν. Ἑκάστῃ μέντοι προσένειμεν ὁ ποιῶν καὶ ἐξαιρέτους ὕλας, καὶ κριτήριον ἴδιον, ᾧ δικάσει τὰ ὑποπίπτοντα. Χρώματα μὲν ἡ ὅρασις, φωνὰς δὲ ἀκοὴ, χυλοὺς δὲ γεῦσις, ἀτμοὺς δὲ ὄσφρησις, μαλακότητας δὲ καὶ σκληρότητας, καὶ ὅσα θερμὰ ἢ ψυχρὰ, λειότητάς τε καὶ τραχύτητας ἁφή. Παντοῖα οὖν ἰχθύων γένη καὶ κητῶν κελεύει συνίστασθαι κατὰ τόπους, διαφέροντα καὶ τοῖς μεγέθεσι, καὶ ταῖς ποιότησιν. Ἄλλα γὰρ ἐν ἄλλοις πελάγεσιν, ἔστι δὲ ὅτε καὶ ταὐτά. Πλὴν οὐ πανταχοῦ πάντα διεπλάττετο, καὶ μήποτε εἰκότως; Χαίρει γὰρ τὰ

μὲν τεναγώδει καὶ οὐ πάνυ βαθείᾳ θαλάττῃ, τὰ δὲ ὑποδρόμοις καὶ λιμέσι, μήτ᾽ ἐπὶ γῆν ἀνέρπειν, μήτε πόῤῥω γῆς ἐπινήχεσθαι δυνάμενα, τὰ δὲ κατὰ μέσον καὶ βαθὺ πέλαγος διαιτώμενα, τὰς προκεχυμένας ἄκρας ἢ νήσους ἢ πέτρας ἐκτρέπεται. Καὶ τὰ μὲν εὐδίᾳ καὶ γαλήνῃ σφριγᾷ, τὰ δὲ κλύδωνι καὶ κυματώσει. Ταῖς γὰρ συνεχέσι πληγαῖς γυμναζόμενα, καὶ βίᾳ τὴν φορὰν ἀντωθοῦντα κρατερώτερά τέ ἐστι, καὶ πιαίνεται μᾶλλον. Εὐθὺς δὲ καὶ τὰ γένη τῶν πτηνῶν ἐδημιούργει, ὡς ἀδελφὰ τῶν καθ᾽ ὕδατος, — ἑκάτερα γὰρ νηκτά, — μηδεμίαν ἰδέαν τῶν ἀεροπόρων ὡς ἀτελῆ καταλιπών.

§. 21. Ἤδη δὲ ὕδατος καὶ ἀέρος τὰ προσήκοντα τῶν ζώων γένη καθάπερ τινὰ κλῆρον οἰκεῖον ἀπειληφότων, πάλιν ἐκάλει τὴν γῆν εἰς τὴν τοῦ ὑπολειφθέντος μέρους γένεσιν. Ὑπελέλειπτο δὲ μετὰ τὰ φυτὰ ζώων τὰ χερσαῖα. Καὶ φησὶν "Ἐξαγαγέτω ἡ γῆ κτήνη καὶ θηρία καὶ ἑρπετὰ καθ᾽ ἕκαστον γένος." Ἡ δὲ τὰ προσταχθέντα ποιεῖ, καὶ εὐθὺς ἀνίησι τῇ τε κατασκευῇ διαφέροντα, καὶ ταῖς ῥώμαις, καὶ ταῖς ἐνυπαρχούσαις βλαπτικαῖς ἢ ὠφελητικαῖς δυνάμεσιν. Ἐπὶ δὲ πᾶσιν ἐποίει τὸν ἄνθρωπον. Ὃν δὲ τρόπον, μικρὸν ὕστερον ἐρῶ, πρότε-
ρον ἐκεῖνο δηλώσας, ὅτι παγκάλῳ τῷ τῆς ἀκολου- 14
θίας εἱρμῷ κέχρηται, καθ᾽ ἣν ὑφηγήσατο ζωογονίαν. P.
Ψυχὴ γὰρ ἡ μὲν ἀργοτάτη καὶ ἥκιστα τετυπωμένη τῷ γένει τῶν ἰχθύων προσκεκλήρωται, ἡ δὲ ἀκριβεστάτη καὶ κατὰ πάντα ἀρίστη τῷ τῶν ἀνθρώπων, ἡ δὲ ἀμφοῖν μεθόριος τῷ τῶν χερσαίων καὶ ἀεροπόρων. Αὕτη γὰρ αἰσθητικωτέρα μέν ἐστι τῆς ἐν
15 ἰχθύσιν, ἀμυδροτέρα δὲ τῆς ἐν ἀνθρώποις. Διὸ τῶν
M. ἐμψύχων πρῶτον ἐγέννησεν ἰχθῦς, πλέον μετέχοντας σωματικῆς ἢ ψυχικῆς οὐσίας, τρόπον τινὰ ζῶα, καὶ οὐ ζῶα, κινητὰ ἄψυχα, πρὸς αὐτὸ μόνον τὴν τῶν σωμάτων διαμονὴν παρασπαρέντος αὐτοῖς τοῦ ψυχοειδοῦς, καθάπερ φασὶ τοὺς ἅλας τοῖς κρέασιν, ἵνα

μὴ ῥᾳδίως διαφθείροιντο. Μετὰ δὲ τοὺς ἰχθῦς τὰ πτηνὰ καὶ χερσαῖα. Ἤδη γὰρ ταῦτά γε αἰσθητικώτερα, καὶ διὰ τῆς κατασκευῆς ἐμφαίνοντα τρανοτέρας τὰς τῆς ψυχώσεως ἰδιότητας. Ἐπὶ δὲ πᾶσιν, ὡς ἐλέχθη, τὸν ἄνθρωπον, ᾧ νοῦν ἐξαίρετον ἐδωρεῖτο, ψυχῆς τινα ψυχὴν, καθάπερ κόρην ἐν ὀφθαλμῷ. Καὶ γὰρ ταύτην οἱ τὰς φύσεις τῶν πραγμάτων ἀκριβέστερον ἐρευνῶντες ὀφθαλμοῦ λέγουσιν ὀφθαλμὸν εἶναι.

§. 22. Τότε μὲν οὖν ἅμα πάντα συνίστατο. Συνισταμένων δὲ ὁμοῦ πάντων, ἡ τάξις ἀναγκαίῳ λόγῳ ὑπεγράφετο, διὰ τὴν ἐσομένην αὖθις ἐξ ἀλλήλων γένεσιν. Ἐν δὲ τοῖς κατὰ μέρος γινομένοις τάξις ἥδε γε ἐστὶν, ἄρχεσθαι μὲν ἀπὸ τοῦ φαυλοτάτου τὴν φύσιν, λήγειν δὲ εἰς τὸ πάντων ἄριστον. Τί δὲ τοῦτ' ἐστὶ, δηλωτέον. Τὸ σπέρμα τῶν ζώων γενέσεως ἀρχὴν εἶναι συμβέβηκε. Τοῦτο ὡς ἔστι φαυλότατον, ἐοικὸς ἀφρῷ, θεωρεῖται· ἀλλ' ὅταν εἰς τὴν μήτραν καταβληθὲν ἐνστηρίσῃ, κίνησιν εὐθὺς λαβὸν εἰς φύσιν τρέπεται. Φύσις δὲ βελτίων σπέρματος, ἐπεὶ καὶ κίνησις ἠρεμίας ἐν γενητοῖς. Ἡ δὲ οἷα τεχνίτης, ἢ κυριώτερον εἰπεῖν, ἀνεπίληπτος τέχνη, ζωοπλαστεῖ τὴν μὲν ὑγρὰν οὐσίαν εἰς τὰ τοῦ σώματος μέλη καὶ μέρη διανέμουσα, τὴν δὲ πνευματικὴν εἰς τὰς τῆς ψυχῆς δυνάμεις, τήν τε θρεπτικὴν καὶ τὴν αἰσθητικήν. Τὴν γὰρ τοῦ λογισμοῦ τανῦν ὑπερθετέον, διὰ τοὺς φάσκοντας θύραθεν αὐτὸν ἐπεισιέναι, θεῖον καὶ ἀΐδιον ὄντα. Οὐκοῦν ἤρξατο μὲν ἀπὸ σπέρματος εὐτελοῦς ἡ φύσις, ἔληξε δὲ εἰς τὸ τιμιώτατον, τὴν τοῦ ζώου καὶ ἀνθρώπου κατασκευήν. Ταὐτὸ δὲ τοῦτο καὶ ἐπὶ τῆς τοῦ παντὸς γενέσεως συμβέβηκεν. Ἡνίκα γὰρ ζῶα διαπλάττειν ἔδοξε τῷ δημιουργῷ, τὰ μὲν πρῶτα τῇ τάξει φαυλότερά πως ἦν, ἰχθύες, τὰ δὲ ὕστατα ἄριστα, ἄνθρωποι. Τὰ δὲ ἄλλα μέσα τῶν

ἄκρων, ἀμείνω μὲν τῶν προτέρων, χείρω δὲ τῶν ὑστέρων, χερσαῖα καὶ πτηνά.

§. 23. Μετὰ δὴ τὰ ἄλλα πάντα, καθάπερ ἐλέχθη, τὸν ἄνθρωπόν φησι "κατ' εἰκόνα γενέσθαι θεοῦ καὶ καθ' ὁμοίωσιν." Πάνυ καλῶς, ἐμφερέστε- 15
ρον γὰρ οὐδὲν γηγενὲς ἀνθρώπου θεῷ. Τὴν δὲ ἐμ- P.
φέρειαν μηδεὶς εἰκαζέτω σώματος χαρακτῆρσιν. Οὔτε γὰρ ἀνθρωπόμορφος ὁ θεὸς, οὔτε θεοειδὲς τὸ ἀν-
16 θρώπινον σῶμα· ἡ δὲ εἰκὼν λέλεκται κατὰ τὸν τῆς
M. ψυχῆς ἡγεμόνα νοῦν. Πρὸς γὰρ ἕνα τὸν τῶν ὅλων ἐκεῖνον, ὡς ἂν ἀρχέτυπον, ὁ ἐν ἑκάστῳ τῶν κατὰ μέρος ἀπεικονίσθη, τρόπον τινὰ θεὸς ὢν τοῦ φέροντος καὶ ἀγαλματοφοροῦντος αὐτόν. Ὃν γὰρ ἔχει λόγον ὁ μέγας ἡγεμὼν ἐν ἅπαντι τῷ κόσμῳ, τοῦτον, ὡς ἔοικε, καὶ ὁ ἀνθρώπινος νοῦς ἐν ἀνθρώπῳ· ἀόρατός τε γάρ ἐστιν, αὐτὸς πάντα ὁρῶν, καὶ ἄδηλον ἔχει τὴν οὐσίαν, τὰς τῶν ἄλλων καταλαμβάνων. Καὶ τέχναις καὶ ἐπιστήμαις πολυσχιδεῖς τε ἀνατέμνων ὁδοὺς, καὶ λεωφόρους ἁπάσας, διὰ γῆς ἔρχεται καὶ θαλάττης, τὰ ἐν ἑκατέρᾳ φύσει διερευνώμενος. Καὶ πάλιν πτηνὸς ἀρθεὶς, καὶ τὸν ἀέρα καὶ τὰ τούτου παθήματα κατασκεψάμενος, ἀνωτέρω φέρεται πρὸς αἰθέρα καὶ τὰς οὐρανίους περιόδους. Πλανήτων τε καὶ ἀπλανῶν χορείαις συμπεριποληθεὶς κατὰ τοὺς τῆς μουσικῆς τελείους νόμους, ἑπόμενος ἔρωτι σοφίας ποδηγετοῦντι, πᾶσαν τὴν αἰσθητὴν οὐσίαν ὑπερκύψας, ἐνταῦθα ἐφίεται τῆς νοητῆς. καὶ ὧν εἶδεν ἐνταῦθα αἰσθητῶν, ἐν ἐκείνῃ τὰ παραδείγματα καὶ τὰς ἰδέας θεασάμενος, ὑπερβάλλοντα κάλλη, μέθῃ νηφαλίῳ κατασχεθεὶς, ὥσπερ οἱ κορυβαντιῶντες, ἐνθουσιᾷ, ἑτέρου γεμισθεὶς ἱμέρου καὶ πόθου βελτίονος, ὑφ' οὗ πρὸς τὴν ἄκραν ἀψίδα παραπεμφθεὶς τῶν νοητῶν ἐπ' αὐτὸν ἰέναι δοκεῖ τὸν μέγαν βασιλέα. Γλιχομένου δὲ ἰδεῖν, θείου φωτὸς ἄκρατοι καὶ ἀμιγεῖς αὐγαὶ χειμάῤῥου τρόπον ἐκχέονται, ὡς ταῖς μαρμαρυγαῖς τὸ τῆς διανοίας ὄμμα

σκοτοδινιᾶν. Ἐπεὶ δὲ οὐ σύμπασα εἰκὼν ἀρχετύπῳ παραδείγματι ἐμφερὴς, πολλαὶ δὲ εἰσὶν ἀνόμοιοι, προσεπεσημήνατο εἰπὼν τῷ "κατ' εἰκόνα," τὸ "καθ' ὁμοίωσιν," εἰς ἔμφασιν ἀκριβοῦς ἐκμαγείου τρανὸν τύπον ἔχοντος.

§. 24. Ἀπορήσειε δὲ ἂν τις οὐκ ἀπὸ σκοποῦ, τί δήποτε τὴν ἀνθρώπου μόνου γένεσιν οὐχ ἑνὶ δημιουργῷ καθάπερ τὰ ἄλλα ἀνέθηκεν, ἀλλὰ ὡςανεὶ πλείοσιν. Εἰςάγει γὰρ τὸν πατέρα τῶν ὅλων ταυτὶ λέγοντα, "Ποιήσωμεν ἄνθρωπον κατ' εἰκόνα ἡμετέραν καὶ καθ' ὁμοίωσιν." Μὴ γὰρ χρεῖός ἐστιν, εἴποιμ' ἂν, οὑτινοσοῦν, ᾧ πάντα ὑπήκοα; Ἢ τὸν μὲν οὐρανὸν ἡνίκα ἐποίει καὶ τὴν γῆν καὶ τὴν θάλασσαν οὐδενὸς ἐδεήθη τοῦ συνεργήσοντος, ἄνθρωπον δὲ βραχὺ ζῶον οὕτω καὶ ἐπίκηρον οὐχ οἷός τε ἦν δίχα συμπράξεως ἑτέρων αὐτὸς ἀφ' ἑαυτοῦ κατασκευάσασθαι; Τὴν μὲν οὖν ἀληθεστάτην αἰτίαν θεὸν ἀνάγκη μόνον εἰδέναι, τὴν δὲ εἰ- 16
κότι στοχασμῷ πιθανὴν καὶ εὔλογον εἶναι δοκοῦσαν, P
17 οὐκ ἀποκρυπτέον. Ἔστι δὲ ἥδε. Τῶν ὄντων τὰ
M. μὲν οὔτε ἀρετῆς οὔτε κακίας μετέχει, ὥςπερ φυτὰ καὶ ζῶα ἄλογα, τὰ μὲν ὅτι ἄψυχά τέ ἐστι καὶ ἀφαντάστῳ φύσει διοικεῖται, τὰ δὲ ὅτι καὶ νοῦν καὶ λόγον ἐκτέτμηται. Κακίας δὲ καὶ ἀρετῆς ὡς ἂν οἶκος νοῦς καὶ λόγος, οἷς αὗται πεφύκασιν ἐνδιαιτᾶσθαι. Τὰ δὲ αὖ μόνης κεκοινώνηκεν ἀρετῆς, ἀμέτοχα πάσης ὄντα κακίας, ὥςπερ οἱ ἀστέρες. Οὗτοι γὰρ ζῶά τε εἶναι λέγονται, καὶ ζῶα νοερά. μᾶλλον δὲ νοῦς αὐτῶν ὁ ἕκαστος, ὅλος δι' ὅλων σπουδαῖος, καὶ παντὸς ἀνεπίδεκτος κακοῦ. Τὰ δὲ τῆς μικτῆς ἐστι φύσεως, ὥςπερ ἄνθρωπος, ὃς ἐπιδέχεται τὰ ἐναντία, φρόνησιν καὶ ἀφροσύνην, σωφροσύνην καὶ ἀκολασίαν, ἀνδρείαν καὶ δειλίαν, δικαιοσύνην καὶ ἀδικίαν, καὶ συνελόντι φάναι, ἀγαθὰ καὶ κακὰ, καλὰ καὶ αἰσχρὰ, ἀρετὴν καὶ κακίαν. Τῷ δὴ πάντων πατρὶ θεῷ τὰ μὲν σπουδαῖα δι' αὐτοῦ μόνου ποιεῖν οἰκειότατον ἦν, ἕνεκα τῆς πρὸς αὐτὸν

*συγγενείας. Τὰ δὲ ἀδιάφορα οὐκ ἀλλότριον, ἐπειδὴ καὶ ταῦτα τῆς ἐχθρᾶς αὐτῷ κακίας ἀμοιρεῖ. Τὰ δὲ μικτὰ πῆ μὲν οἰκεῖον πῆ δὲ ἀνοίκειον. οἰκεῖον μὲν, ἕνεκα τῆς ἀνακεκραμένης βελτίονος ἰδέας, ἀνοίκειον δὲ, ἕνεκα τῆς ἐναντίας καὶ χείρονος. Διὰ τοῦτο ἐπὶ μόνης τῆς ἀνθρώπου γενέσεως φησιν, ὅτι εἶπεν ὁ θεὸς "Ποιήσωμεν ἄνθρωπον," ὅπερ ἐμφάνει συμπαράληψιν ἑτέρων ὡς ἂν συνεργῶν, ἵνα ταῖς μὲν ἀνεπιλήπτοις βουλαῖς τε καὶ πράξεσιν ἀνθρώπου κατορθοῦντος ἐπιγράφηται ὁ θεὸς ὁ πάντων ἡγεμὼν, ταῖς δὲ ἐναντίαις ἕτεροι τῶν ὑπηκόων. Ἔδει γὰρ ἀναίτιον εἶναι κακοῦ τὸν πατέρα τοῖς ἐκγόνοις. Κακὸν δὲ ἡ κακία καὶ ἡ κατὰ κακίαν ἐνέργεια. Πάνυ δὲ καλῶς τὸ γένος ἄνθρωπον εἰπὼν διέκρινε τὰ εἴδη, φήσας "ἄῤῥεν τε καὶ θῆλυ δεδημιουργῆσθαι," μήπω τῶν ἐν μέρει μορφὴν λαβόντων, ἐπειδὴ τὰ ἔσχατα τῶν εἰδῶν ἐνυπάρχει τῷ γένει, καὶ ὥσπερ ἐν κατόπτρῳ διαφαίνεται τοῖς ὀξὺ καθορᾶν δυναμένοις.*

18 §. 25. *Ἐπιζητήσειε δὲ ἄν τις τὴν αἰτίαν, δι'*
M. *ἣν ὕστατον ἔργον ἐστὶν ἄνθρωπος τῆς τοῦ κόσμου γενέσεως. Ἐφ' ἅπασι γὰρ τοῖς ἄλλοις αὐτὸν ὁ ποιητὴς καὶ πατὴρ, ὡς ἱεραὶ γραφαὶ μηνύουσιν, εἰργάσατο. Λέγουσιν οὖν οἱ τοῖς νόμοις ἐμβαθύνοντες ἐπιπλέον, καὶ τὰ κατ' αὐτοὺς, ὡς ἔνι μάλιστα, μετὰ πάσης ἐξετάσεως ἀκριβοῦντες, ὅτι τῆς αὐτοῦ συγγενείας μεταδοὺς ὁ θεὸς ἀνθρώπῳ τῆς λογικῆς, ἥτις ἀρίστη δωρεῶν ἦν, οὐδὲ τῶν ἄλλων ἐφθόνησεν· ἀλλ'* 17
*ὡς οἰκειοτάτῳ καὶ φιλτάτῳ ζώῳ τὰ ἐν κόσμῳ πάντα* P.
*προητοιμάσατο, βουληθεὶς γενόμενον αὐτὸν μηδενὸς ἀπορῆσαι τῶν πρός τε τὸ ζῆν, καὶ τὸ εὖ ζῆν. Ὧν τὸ μὲν παρασκευάζουσιν αἱ χορηγίαι καὶ ἀφθονίαι τῶν πρὸς ἀπόλαυσιν, τὸ δὲ ἡ θεωρία τῶν κατ' οὐρανόν. ἀφ' ἧς πληχθεὶς ὁ νοῦς ἔρωτα καὶ πόθον ἔσχε τῆς τούτων ἐπιστήμης, ὅθεν τὸ φιλοσοφίας ἀνεβλάστησε γένος, ὑφ' οὗ καίτοι θνητὸς ὢν ὁ ἄν-*

θρωπος ἀπαθανατίζεται. Καθάπερ οὖν οἱ ἑστιάτο-
ρες οὐ πρότερον ἐπὶ δεῖπνον καλοῦσιν, ἢ τὰ πρὸς
εὐωχίαν πάντα εὐτρεπίσαι, καὶ οἱ τοὺς γυμνικοὺς καὶ
σκηνικοὺς ἀγῶνας τιθέντες, πρὶν συναγαγεῖν τοὺς θεα-
τὰς, εἴς τε τὰ θέατρα καὶ τὰ στάδια εὐτρεπίζουσιν ἀγω-
νιστῶν καὶ θεαμάτων καὶ ἀκουσμάτων πλῆθος· τὸν
αὐτὸν τρόπον καὶ ὁ τῶν ὅλων ἡγεμὼν, οἷά τις ἀθλο-
θέτης καὶ ἑστιάτωρ, ἄνθρωπον καλεῖν μέλλων ἐπί
τε εὐωχίαν καὶ θεωρίαν, τὰ εἰς ἑκάτερον εἶδος προ-
ευτρεπίσατο, ἵν' εἰς τὸν κόσμον εἰσελθὼν εὐθὺς εὕ-
ρῃ καὶ συμπόσιον καὶ θέατρον ἱερώτατον. Τὸ μὲν
ἁπάντων πλῆρες, ὅσα γῆ καὶ ποταμοὶ καὶ θάλαττα
καὶ ἀὴρ φέρουσιν εἰς χρῆσίν τε καὶ ἀπόλαυσιν, τὸ
δὲ παντοίων θεαμάτων, ἃ καταπληκτικωτάτας μὲν
ἔχει τὰς οὐσίας, καταπληκτικωτάτας δὲ τὰς ποιότη-
τας, θαυμασιωτάτας δὲ τὰς κινήσεις καὶ χορείας,
ἐν τάξεσιν ἡρμοσμένας, καὶ ἀριθμῶν ἀναλογίαις,
καὶ περιόδων συμφωνίαις. Ἐν οἷς ἅπασι τὴν ἀρχέ-
τυπον καὶ ἀληθῆ καὶ παραδειγματικὴν μουσικὴν οὐκ
ἂν ἁμάρτοι τις εἶναι λέγων, ἀφ' ἧς οἱ μετὰ ταῦτα
ἄνθρωποι ἐγγραψάμενοι ταῖς ἑαυτῶν ψυχαῖς τὰς εἰ-
κόνας ἀναγκαιοτάτην καὶ ὠφελιμωτάτην τέχνην τῷ
βίῳ παρέδοσαν.

§. **26.** Ἥδε μὲν αἰτία πρώτη, δι' ἣν ἄνθρωπος
ἐφ' ἅπασιν γεγενῆσθαι δοκεῖ. Δευτέρα δὲ οὐκ ἀπὸ
σκοποῦ λεκτέα. Ἅμα τῇ πρώτῃ γενέσει τὰς εἰς τὸ
ζῆν παρασκευὰς ἁπάσας εὗρεν ἄνθρωπος, εἰς διδα-
σκαλίαν τῶν ἔπειτα. Μόνον οὐκ ἄντικρυ βοώσης
τῆς φύσεως, ὅτι μιμούμενοι τὸν ἀρχηγέτην τοῦ γέ-
νους ἀπόνως καὶ ἀταλαιπώρως ἐν ἀφθονωτάτῃ διαί-
τῃ καὶ εὐπορίᾳ τῶν ἀναγκαίων διάξουσι. Τουτὶ δὲ
19 συμβήσεται, ἐὰν μήτε αἱ ἄλογοι ἡδοναὶ ψυχῆς δυ-
M ναστεύσωσι, γαστριμαργίαν καὶ λαγνείαν ἐπιτειχίσα-
σαι, μήτε αἱ δόξης ἢ ἀρχῆς ἢ χρημάτων ἐπιθυμίαι
τὸ τοῦ βίου κράτος ἀνάψωνται, μήτε στείλωσι καὶ
κάμψωσι διάνοιαν αἱ λῦπαι, μήθ' ὁ κακὸς σύμβου-

λος, φόβος, τὰς ἐπὶ τὰ σπουδαῖα τῶν ἔργων ὁρμὰς
ἀναχαιτίσῃ, μήτ᾽ ἀφροσύνη καὶ δειλία καὶ ἀδικία
καὶ τὸ τῶν ἄλλων κακῶν ἀμήχανον πλῆθος ἐπίθη-
ται. Νυνὶ δὲ πάντων ὅσα λέλεκται παρευημερησάν- 18
των, καὶ τῶν ἀνθρώπων ἀνέδην ἐκκεχυμένων εἴς τε P.
τὰ πάθη καὶ τὰς ἀκράτορας καὶ ὑπαιτίους, ἃς οὐ-
δὲ εἰπεῖν θέμις, ὀρέξεις, ἀπαντᾷ δίκη προςήκουσα
τιμωρὸς ἀσεβῶν ἐπιτηδευμάτων. Ἔστι δὲ ἠδικηκότων
εἰς κόλασιν τὰ τῶν ἀναγκαίων δυςπόριστα. μόλις γὰρ
ἀνατέμνοντες τὰ πεδία, καὶ πηγῶν ῥεῖθρα καὶ ποταμῶν
ἐποχετεύοντες, σπείροντές τε καὶ φυτεύοντες καὶ τὸν
γεωπόνον κάματον μεθ᾽ ἡμέραν καὶ νύκτωρ ἀτρύτως
ἐκδεχόμενοι, δι᾽ ἔτους συγκομίζουσι τὰ ἐπιτήδεια, καὶ
ταῦτ᾽ ἐστὶν ὅτε λυπρὰ καὶ οὐ πάνυ διαρκῆ, διὰ πολλὰς
βλαβέντα αἰτίας. Ἢ γὰρ ὄμβρων ἐπαλλήλων φορὰ
κατέσυρεν, ἢ χαλάζης βάρος κατενεχθείσης ἀθρόως
κατέκλασεν, ἢ χιὼν περιέψυξεν, ἢ βία πνευμάτων
ῥίζαις αὐταῖς κατέστρεψε. Πολλὰ γὰρ ὕδωρ καὶ
ἀὴρ εἰς ἀγονίαν καρπῶν νεωτερίζουσιν. Εἰ δὲ σω-
φροσύνῃ μὲν ἐξευμαρισθεῖεν αἱ ἄμετροι τῶν παθῶν
ὁρμαὶ, δικαιοσύνῃ δὲ αἱ περὶ τὸ ἀδικεῖν σπουδαί τε
καὶ φιλοτιμίαι, καὶ συνελόντι φάναι ταῖς ἀρεταῖς
καὶ ταῖς κατ᾽ ἀρετὰς ἐνεργείαις αἱ κακίαι καὶ αἱ
κατ᾽ αὐτὰς ἀνήνυτοι πράξεις, ἀνῃρημένου μὲν πο-
λέμου τοῦ κατὰ ψυχὴν, ὃς ἀψευδῶς ἐστι πολέμων
ἀργαλεώτατος καὶ βαρύτατος, εἰρήνης δὲ ἐπισχούσης,
καὶ ταῖς ἐν ἡμῖν δυνάμεσιν εὐνομίαν παρασκευαζού-
σης ἡσυχῇ τε καὶ πρᾴως· ἐλπὶς ἂν τὸν θεὸν, ἅτε
φιλάρετον καὶ φιλόκαλον καὶ προςέτι φιλάνθρωπον,
τὰ ἀγαθὰ αὐτόματα παρασχεῖν ἐξ ἑτοίμου τῷ γένει.
Δῆλον γὰρ ὡς εὐμαρέστερον τοῦ τὰ μὴ ὄντα εἰς τὸ
εἶναι παραγαγεῖν, τὸ τὴν ἐκ τῶν ὄντων φορὰν ἄνευ
τέχνης γεωργικῆς ἐπιδαψιλεύσασθαι.

§. 27. Δευτέρα μὲν αἰτία ἥδε λέλεκται, τρίτη
δὲ ἐστὶ τοιάδε. Ἀρχὴν καὶ τέλος τῶν γεγονότων ὁ
θεὸς ἁρμόσασθαι διανοηθεὶς, ὡς ἀναγκαῖα καὶ φίλ-

τατα, ἀρχὴν μὲν οὐρανὸν ἐποίει, τέλος δὲ ἄνθρωπον. Τὸν μὲν τῶν ἐν αἰσθητοῖς ἀφθάρτων τελειότατον, τὸν δὲ τῶν γηγενῶν καὶ φθαρτῶν ἄριστον,
20 βραχὺν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, οὐρανὸν, πολλὰς
M. ἐν αὐτῷ φύσεις ἀστεροειδεῖς ἀγαλματοφοροῦντα, τέχναις καί τισιν ἐπιστήμαις, καὶ τοῖς καθ' ἑκάστην ἀρετὴν ἀοιδίμοις θεωρήμασιν. Ἐπειδὴ γὰρ ἐναντία φύσει τό τε φθαρτὸν καὶ τὸ ἄφθαρτον, εἴδους ἑκατέρου τὸ κάλλιστον ἀρχῇ καὶ τέλει προσενειμεν, ἀρχῇ μὲν οὐρανὸν, ὡς ἐλέχθη, τέλει δὲ ἄνθρωπον.

§. 28. Ἐπὶ πᾶσι μέντοι καὶ ἐκεῖνο λέγεται πρὸς ἀπόδοσιν αἰτίας ἀναγκαίας. Ἔδει πάντων γεγονότων 19
ὕστατον φῦναι τὸν ἄνθρωπον, ἵνα τελευταῖος ἐξα- P.
πιναίως τοῖς ἄλλοις ζώοις ἐπιφανεὶς ἐμποιήσῃ κατάπληξιν. Ἔμελλε γὰρ ἰδόντα πρῶτον τεθηπέναι καὶ προσκυνεῖν, ὡς ἂν ἡγεμόνα φύσει καὶ δεσπότην. Διὸ καὶ θεασάμενα πάντα διὰ πάντων ἡμερώθη, καὶ ὅσα τὴν φύσιν ἀγριώτατα, κατὰ τὴν πρώτην εὐθὺς πρόσοψιν ἐγίνετο χειροηθέστατα, τὰς μὲν ἀτιθάσσους λύττας ἐπιδεικνύμενα κατ' ἀλλήλων, εἰς δὲ μόνον τὸν ἄνθρωπον τιθασσευόμενα. Παρ' ἣν αἰτίαν καὶ γεννήσας αὐτὸν ὁ πατὴρ ἡγεμονικὸν φύσει ζῶον, οὐκ ἔργῳ μόνον, ἀλλὰ καὶ τῇ διὰ λόγου χειροτονίᾳ καθίστησι τῶν ὑπὸ σελήνην ἁπάντων βασιλέα, χερσαίων τε καὶ ἐνύδρων καὶ ἀεροπόρων. Ὅσα γὰρ θνητὰ ἐν τοῖς τρισὶ στοιχείοις, γῇ, ὕδατι, ἀέρι, πάντα ὑπέταττεν αὐτῷ, τὰ κατ' οὐρανὸν ὑπεξελόμενος, ἅτε θειοτέρας μοίρας ἐπιλαχόντα. Πίστις δὲ τῆς ἀρχῆς ἐναργεστάτη τὰ φαινόμενα. Θρεμμάτων ἐστὶν ὅτε πλήθη μυρία πρὸς ἑνὸς ἀνδρὸς ἄγεται τοῦ τυχόντος, οὐθ' ὁπλοφοροῦντος, οὔτε σίδηρον, οὔτε τι τῶν ἀμυντηρίων ἐπιφερομένου, διφθέραν δὲ αὐτὸ μόνον ἔχοντος σκεπαστήριον, καὶ βακτηρίαν, ἕνεκα τοῦ διασημῆναί τε, καὶ ἐν ταῖς ὁδοιπορίαις εἰ κάμῃ στηρίσασθαι. Τὰς γοῦν πολυζώους ἀγέλας τῶν προβάτων, αἰγῶν, βοῶν, ἄγει ποιμὴν, αἰπόλος, βου-

κόλος, ἄνθρωποι μηδὲ τοῖς σώμασιν ἐῤῥωμένοι καὶ σφριγῶντες, ὡς ἕνεκα γοῦν εὐεξίας ἐμποιῆσαι τοῖς ἰδοῦσι κατάπληξιν· καὶ αἱ τοσαῦται τῶν τοσούτων ἀλκαί τε καὶ δυνάμεις εὐοπλούντων — ἔχουσι γὰρ τὰς ἐκ φύσεως παρασκευὰς αἷς ἀμύνονται — καθάπερ δοῦλοι δεσπότας κατεπτήχασι, καὶ τὰ προςταττόμενα δρῶσι. Βόες μὲν καταζεύγνυνται πρὸς ἄροτρον γῆς, καὶ βαθείας αὔλακας ἀνατέμνοντες δι' ἡμέρας, ἔστι δὲ ὅτε μακρὸν δόλιχον ἀποτείνουσι, γεωπόνου τινὸς ἐφεστῶτος. Κριοὶ δὲ βρίθοντες βαθέσι μαλλοῖς ὑπόποκοι, κατὰ τὴν ἔαρος ὥραν ὑπὸ ποιμένος κελευσθέντες ἵστανται μετ' ἠρεμίας, καὶ ἡσυχῇ κατακλίνοντες ἐμπαρέχουσιν ἀποκείρεσθαι τὸ ἔριον, ἐθιζόμενοι καθάπερ αἱ πόλεις τὸν ἐτήσιον
21 ἀποδιδόναι δασμὸν τῷ βασιλεῖ φύσει. Καὶ μὴν,
M τό γε θυμικώτατον ζῶον, ἵππος ῥαδίως ἄγεται χαλινωθεὶς, ἵνα μὴ σκιρτῶν ἀφηνιάζῃ, καὶ τὰ νῶτα κοιλάνας εὖ μάλα πρὸς τὸ εὔεδρον δέχεται τὸν ἔποχον, καὶ μετέωρον ἀναβαστάσας ὀξύτατα θεῖ, σπουδάζων, εἰς οὓς ἂν ἐπείγηται γίνεσθαι τόπους ἐκεῖνος, ἀφικνεῖσθαι καὶ διακομίζειν. Ὁ δὲ ἐφιδρυμένος ἄνευ καμάτων, κατὰ πολλὴν ἡσυχίαν, ἑτέρου σώματι καὶ ποσὶν ὀξύνει τὸν δρόμον.

§. 29. Πολλὰ δὲ ἂν ἔχοι τις λέγειν ἕτερα βου- 20
λόμενος ἀπομηκύνειν, εἰς ἔνδειξιν τοῦ μηδὲν ἀπελευ- P.
θεριάζειν ὑπεξῃρημένον τῆς ἀνθρώπου ἡγεμονίας· δείγματος δὲ ἕνεκα καὶ τὰ ῥηθέντα ἀρκεῖ. Χρὴ μέντοι μηδ' ἐκεῖνο ἀγνοεῖν, ὅτι οὐ παρ' ὅσον ὕστατον γέγονεν ἄνθρωπος διὰ τὴν τάξιν ἠλάττωται. Μάρτυρες δὲ ἡνίοχοι καὶ κυβερνῆται. Οἱ μὲν γὰρ ὑστερίζοντες τῶν ὑποζυγίων, καὶ κατόπιν αὐτῶν ἐξεταζόμενοι, ᾗ ἂν ἐθέλωσιν αὐτὰ ἄγουσι τῶν ἡνιῶν ἐνειλημμένοι, καὶ τότε μὲν ἀφιέντες πρὸς ὀξὺν δρόμον, τότε δὲ ἀναχαιτίζοντες, εἰ φορᾷ τοῦ δέοντος πλείονι θέοι. Οἱ δὲ αὖ κυβερνῆται πρὸς τὸ τῆς νεὼς ἔσχατον χωρίον, πρύμναν, παρελθόντες, πάν-

των ὡς ἔπος εἰπεῖν εἰσὶν ἄριστοι τῶν ἐμπλεόντων, ἅτε τῆς νεὼς καὶ τῶν ἐν αὐτῇ τὴν σωτηρίαν ἐν ταῖς χερσὶ ταῖς αὐτῶν ἔχοντες. Ἡνίοχον δέ τινα καὶ κυβερνήτην ἐφ᾽ ἅπασιν ὁ ποιητὴς ἐδημιούργει τὸν ἄνθρωπον, ἵνα ἡνιοχῇ καὶ κυβερνᾷ τὰ περίγεια, ζώων καὶ φυτῶν λαβὼν τὴν ἐπιμέλειαν, οἷά τις ὕπαρχος τοῦ πρώτου καὶ μεγάλου βασιλέως.

§. 30. Ἐπεὶ δὲ ὁ σύμπας κόσμος ἐτελειώθη κατὰ τὴν ἑξάδος ἀριθμοῦ τελείαν φύσιν, τὴν ἐπιοῦσαν ἡμέραν ἑβδόμην ἐσέμνυνεν ὁ πατὴρ, ἐπαινέσας καὶ ἁγίαν προσειπών. Ἑορτὴ γὰρ οὐ μιᾶς πόλεως ἢ χώρας ἐστὶν, ἀλλὰ τοῦ παντὸς, ἣν κυρίως ἄξιον καὶ μόνην πάνδημον ὀνομάζειν, καὶ τοῦ κόσμου γενέθλιον. Τὴν δὲ ἑβδομάδος φύσιν οὐκ οἶδ᾽ εἴ τις ἱκανῶς ἀνυμνῆσαι δύναιτο, παντὸς οὖσαν λόγου κρείττονα. Οὐ μὴν ὅτι θαυμασιωτέρα τῶν περὶ αὐτῆς λεγομένων ἐστὶ, διὰ τοῦθ᾽ ἡσυχαστέον, ἀλλ᾽ ἐπιτολμητέον, εἰ καὶ μὴ πάντα, μηδὲ τὰ κυριώτατα οἷόν τε, τὰ γοῦν ταῖς ἡμετέραις διανοίαις ἐφικτὰ δηλῶσαι. Διχῶς ἑβδομὰς λέγεται, ἡ μὲν ἐντὸς δεκάδος, ἥτις ἑπτάκις μονάδι μόνῃ μετρεῖται, συνεστῶσα ἐκ μονάδων ἑπτά· ἡ δὲ τῆς δεκάδος ἐκτὸς ἀριθμὸς, οὗ πάντως ἀρχὴ μονὰς κατὰ τοὺς διπλασίους, ἢ τριπλασίους, ἢ συνόλως ἀναλογοῦντας
22 ἀριθμοὺς, ὡς ἔχει ὁ ἑξηκοντατέσσαρα καὶ ὁ ἑπτα-
M κόσια εἰκοσιεννέα. ὁ μὲν κατὰ τὸν ἀπὸ μονάδος διπλάσιον προαυξηθεὶς, ὁ δὲ αὖ κατὰ τὸν τριπλάσιον. Ἑκάτερον δὲ εἶδος οὐ παρέργως ἐπισκεπτέον. Τὸ μὲν δὴ δεύτερον ἐμφανεστάτην ἔχει προνομίαν. Αἰεὶ γὰρ ὁ ἀπὸ μονάδος συντιθέμενος ἐν διπλασίοις ἢ τριπλασίοις, ἢ συνόλως ἀναλογοῦσιν ἕβδομος ἀριθμὸς, κύβος τε καὶ τετράγωνός ἐστιν, ἀμφότερα τὰ εἴδη περιέχων, τῆς τε ἀσωμάτου καὶ σωματικῆς οὐσίας. Τῆς μὲν ἀσωμάτου, κατὰ τὴν ἐπίπεδον ἣν 21
ἀποτελοῦσι τετράγωνοι, τῆς δὲ σωματικῆς, κατὰ τὴν P.
ἑτέραν ἣν ἀποτελοῦσι κύβοι. Σαφεστάτη δὲ οἱ λε-

χθέντες ἀριθμοὶ πίστις. αὐτίκα ὁ ἀπὸ μονάδος ἐν διπλασίονι λόγῳ παραυξηθεὶς ἕβδομος, ὁ τέσσαρα καὶ ἑξήκοντα, τετράγωνος μέν ἐστιν, ὀκτάκις ὀκτὼ πολυπλασιασθέντων· κύβος δὲ, τεσσάρων ἐπὶ τέσσαρα τετράκις. Καὶ πάλιν ὁ ἐν τριπλασίονι λόγῳ παραυξηθεὶς ἀπὸ μονάδος ἕβδομος, ὁ ἑπτακόσια εἰκοσιεννέα, τετράγωνος μὲν, πολυπλασιασθέντος ἐπ' αὐτὸν τοῦ ἑπτὰ καὶ εἴκοσι· κύβος δὲ, τοῦ ἐννέα ἐπ' αὐτὸν ἐννάκις. Καὶ ἀεὶ τὸν ἕβδομον ποιούμενός τις ἀντὶ μονάδος ἀρχὴν, καὶ παραύξων κατὰ τὴν αὐτὴν ἀναλογίαν ἄχρις ἑβδομάδος, εὑρήσει πάντως τὸν παραυξηθέντα κύβον τε καὶ τετράγωνον. Ἀπὸ γοῦν τοῦ ἑξηκοντατέσσαρα ὁ συντεθεὶς ἐν διπλασίονι λόγῳ γεννήσει ἕβδομον τὸν τετρακισχίλια καὶ ἐνενήκοντα ἕξ, τετράγωνον ὁμοῦ καὶ κύβον· τετράγωνον μὲν αὐτὸν πλευρὰν ἔχοντα τὸν ἑξηκοντατέσσαρα, κύβον δὲ τὸν ἑκκαίδεκα.

§. 31. Μεταβατέον δὲ καὶ ἐπὶ θάτερον ἑβδομάδος εἶδος τὸ περιεχόμενον ἐν δεκάδι, θαυμαστὴν ἐπιδεικνύμενον καὶ οὐκ ἐλάττονα τοῦ προτέρου φύσιν. Αὐτίκα συνέστηκε τὰ ἑπτὰ ἐξ ἑνὸς καὶ δυοῖν καὶ τεττάρων, ἐχόντων δύο λόγους ἁρμονικωτάτους, τόν τε διπλάσιον καὶ τετραπλάσιον. Τὸν μὲν τὴν διὰ πασῶν συμφωνίαν, τὸν δὲ τετραπλάσιον, τὴν δὶς διὰ πασῶν ἀποτελοῦντα. Περιέχει δὲ καὶ διαιρέσεις ἄλλας, ζυγώδη τρόπον τινὰ συνεστῶσα ἑβδομάς. Διαιρεῖται γὰρ πρῶτον μὲν εἰς μονάδα καὶ ἑξάδα, ἔπειτα εἰς δυάδα καὶ πεντάδα, καὶ τελευταῖον εἰς τριάδα καὶ τετράδα. Μουσικωτάτη δὲ καὶ ἡ τούτων ἀναλογία τῶν ἀριθμῶν. Τὰ μὲν γὰρ ἓξ πρὸς ἓν ἔχει λόγον ἑξαπλάσιον· ὁ δὲ ἑξαπλάσιος λόγος τὸ μέγιστον ἐν τοῖς οὖσι διάστημα ποιεῖ, ᾧ διέστηκε τὸ ὀξύτατον ἀπὸ τοῦ βαρυτάτου, καθάπερ ἀποδείξομεν, ὅταν ἀπὸ τῶν ἀριθμῶν μετέλθωμεν εἰς τὸν ἐν ἁρμονίαις λόγον. Τὰ δὲ πέντε πρὸς δύο πλείστην ἐν ἁρμονίᾳ δύναμιν ἐπιδείκνυται, σχεδὸν

ἐνάμιλλον τῇ διὰ πασῶν, ὅπερ ἐν τῇ κανονικῇ θεω-
ρίᾳ σαφέστατα παρίσταται. Τὰ δὲ τέσσαρα πρὸς
23 τρία τὴν πρώτην ἁρμονίαν ἀποτελεῖ τὴν ἐπίτριτον,
M ἥτις ἐστὶ διὰ τεσσάρων.

§. 32. Ἐπιδείκνυται δὲ καὶ ἕτερον κάλλος αὐ-
τῆς ἑβδομὰς, ἱερώτατον νοηθῆναι. Συνεστῶσα γὰρ
ἐκ τριάδος καὶ τετράδος, τὸ ἐν τοῖς οὖσιν ἀκλινὲς
καὶ ὀρθὸν φύσει παρέχεται· ὃν δὲ τρόπον, δηλω-
τέον. Τὸ ὀρθογώνιον τρίγωνον, ὅπερ ἐστὶν ἀρχὴ 22
ποιοτήτων, ἐξ ἀριθμῶν συνέστηκε τοῦ τρία καὶ τέσ- P.
σαρα καὶ πέντε. Τὰ δὲ τρία καὶ τέσσαρα, ἅπερ ἐστὶν ἑβδομάδος οὐσία, τὴν ὀρθὴν γωνίαν ἀποτελεῖ. Ἡ μὲν γὰρ ἀμβλεῖα καὶ ὀξεῖα τὸ ἀνώμαλον καὶ ἄτακτον καὶ ἄνισον ἐμφαίνουσιν· ἀμβλυτέρα γὰρ ἢ ὀξυτέρα γέγονεν ἑτέρας. Ὀρθὴ δὲ οὐκ ἐπιδέχεται σύγκρισιν, οὐδ᾽ ὀρθοτέρα γίνεται ἑτέρα παρ᾽ ἑτέραν, ἀλλ᾽ ὀρθογώνιον ἐν ὁμοίῳ μένει, τὴν ἰδίαν φύσιν οὔποτε ἀλλάττουσα. Εἰ δὲ τὸ ὀρθογώνιον τρίγωνον σχημάτων καὶ ποιοτήτων ἐστὶν ἀρχὴ, τούτου δὲ τὸ ἀναγκαιότατον, τὴν ὀρθὴν γωνίαν, ἡ οὐσία τῆς ἑβδομάδος παρέχεται, τριὰς ὁμοῦ καὶ τετρὰς, νομίζοιτ᾽ ἂν εἰκότως ἥδε πηγὴ παντὸς σχήματος καὶ πάσης ποιότητος. Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ἐκεῖνο λέγοιτ᾽ ἂν δεόντως, ὅτι τὰ μὲν τρία ἐπιπέδου σχήματός ἐστιν ἀριθμὸς, ἐπειδὴ σημεῖον μέν ἐστι κατὰ μονάδα, γραμμὴ δὲ κατὰ δυάδα, ἐπίπεδον δὲ κατὰ τριάδα τέτακται· τὰ δὲ τέσσαρα στερεοῦ, κατὰ τὴν τοῦ ἑνὸς πρόσθεσιν, βάθους ἐπιπέδῳ προστεθέντος. Ἐξ οὗ δῆλόν ἐστιν, ὅτι ἡ τῆς ἑβδομάδος οὐσία γεωμετρίας καὶ στερεομετρίας ἀρχὴ, καὶ συνελόντι φράσαι ἀσωμάτων ὁμοῦ καὶ σωμάτων.

§. 33. Τοσοῦτο δὲ ἐν ἑβδομάδι πέφυκεν εἶναι τὸ ἱεροπρεπὲς, ὥστε ἐξαίρετον ἔχειν λόγον παρὰ τοὺς ἐν δεκάδι πάντας ἀριθμούς. Ἐκείνων γὰρ οἱ μὲν γεννῶσιν οὐ γεννώμενοι, οἱ δὲ γεννῶνται μὲν, οὐ γεννῶσι δὲ, οἱ δὲ ἀμφότερα, καὶ γεννῶσι καὶ γεν-

νῶνται. Μόνη δὲ ἑβδομὰς ἐν οὐδενὶ μέρει θεωρεῖται. Τὴν δὲ ὑπόσχεσιν ἀποδείξει βεβαιωτέον. Τὸ μὲν οὖν ἓν γεννᾷ τοὺς ἑξῆς ἅπαντας ἀριθμοὺς, ὑπ' οὐδενὸς γεννώμενον τὸ παράπαν. Τὰ δὲ ὀκτὼ γεννᾶται μὲν ἀπὸ τοῦ δὶς τέσσαρα, γεννᾷ δὲ οὐδένα τῶν ἐν δεκάδι. Ὁ δὲ αὖ τέσσαρα τοῖν ἀμφοῖν καὶ γονέων καὶ ἐκγόνων ἔχει τάξιν. Γεννᾷ μὲν γὰρ ὀκτὼ, δὶς γεννώμενος· γεννᾶται δὲ ὑπὸ τοῦ δὶς δύο. Μόνος δὲ, ὡς ἔφην, ὁ ἑπτὰ, οὔτε γεννᾶν πέφυκεν, οὔτε
24 γεννᾶσθαι. Δι' ἣν αἰτίαν οἱ μὲν ἄλλοι φιλόσοφοι
M. τὸν ἀριθμὸν τοῦτον ἐξομοιοῦσι τῇ ἀμήτορι Νίκῃ καὶ Παρθένῳ, ἣν ἐκ τῆς τοῦ Διὸς κεφαλῆς ἀναφανῆναι λόγος ἔχει, οἱ δὲ Πυθαγόρειοι τῷ ἡγεμόνι τῶν συμπάντων. Τὸ γὰρ μήτε γεννῶν, μήτε γεννώμενον, ἀκίνητον μένει. Ἐν κινήσει γὰρ ἡ γένεσις, ἐπεὶ καὶ τὸ γεννώμενον οὐκ ἄνευ κινήσεως, τὸ μὲν ἵνα γεννήσῃ, τὸ δὲ ἵνα γέννηται. Μόνον δὲ οὔτε κινοῦν, οὔτε κινούμενον ὁ πρεσβύτερος ἄρχων καὶ ἡγεμὼν, οὗ λέγοιτ' ἂν προσηκόντως εἰκὼν ἑβδομάς. Μαρτυρεῖ δέ μου 23
τῷ λόγῳ καὶ Φιλόλαος ἐν τούτοις, "Ἔστι γὰρ," P.
φησὶν, "ὁ ἡγεμὼν καὶ ἄρχων ἁπάντων θεὸς, εἷς, ἀεὶ ὢν, μόνιμος, ἀκίνητος, αὐτὸς αὑτῷ ὅμοιος, ἕτερος τῶν ἄλλων."

§. 34. Ἐν μὲν οὖν τοῖς νοητοῖς τὸ ἀκίνητον καὶ ἀπαθὲς ἐπιδείκνυται ἑβδομὰς, ἐν δὲ τοῖς αἰσθητοῖς μεγάλην καὶ συνεκτικωτάτην δύναμιν, οἷς τὰ ἐπίγεια πάντα πέφυκε βελτιοῦσθαι, σελήνης τε περιόδοις. Ὃν δὲ τρόπον, ἐπισκεπτέον. Ἀπὸ μονάδος συντεθεὶς ἑξῆς ὁ ἑπτὰ ἀριθμὸς, γεννᾷ τὸν ὀκτὼ καὶ εἴκοσι, τέλειον καὶ τοῖς αὐτοῦ μέρεσιν ἰσούμενον. Ὁ δὲ γεννηθεὶς ἀριθμὸς ἀποκαταστατικός ἐστι σελήνης, ἀφ' οὗ ἤρξατο σχήματος λαμβάνειν αὔξησιν αἰσθητῶς, εἰς ἐκεῖνο κατὰ μείωσιν ἀνακαμπτούσης· αὔξεται μὲν γὰρ ἀπὸ τῆς πρώτης μηνοειδοῦς ἐπιλάμψεως ἄχρι διχοτόμου ἡμέραις ἑπτὰ, εἶθ' ἑτέραις τοσαύταις πλησιφαὴς γίνεται, καὶ πάλιν ὑποστρέφει διαυλοδρο-

*μοῦσα τὴν αὐτὴν ὁδὸν, ἀπὸ μὲν τῆς πλησιφαοῦς ἐπὶ τὴν διχότομον ἑπτὰ πάλιν ἡμέραις, εἶτ᾽ ἀπὸ ταύτης ἐπὶ τὴν μηνοειδῆ, ταῖς ἴσαις. Ἑξῆς ὁ λεχθεὶς ἀριθμὸς συμπεπλήρωται. Καλεῖται δὲ ἡ ἑβδομὰς ὑπὸ τῶν κυρίως ὀνόμασιν εἰωθότων χρῆσθαι καὶ τελεσφόρος, ἐπειδὴ ταύτῃ τελεσφορεῖται τὰ σύμπαντα. Τεκμηριώσαιτο δὲ ἄν τις ἐκ τοῦ πᾶν σῶμα ὀργανικὸν τρισὶ μὲν κεχρῆσθαι διαστάσεσι, μήκει, βάθει, καὶ πλάτει· τέσσαρσι δὲ πέρασι, σημείῳ καὶ γραμμῇ καὶ ἐπιφανείᾳ καὶ στερεῷ, δι᾽ ὧν συντεθέντων ἀποτελεῖται ἑβδομάς. Ἀμήχανον δὲ ἂν ἦν τὰ σώματα ἑβδομάδι μετρεῖσθαι, κατὰ τὴν ἐκ διαστάσεων τριῶν καὶ περάτων τεσσάρων σύνθεσιν, εἰ μὴ συνέβαινε τὰς τῶν πρώτων ἀριθμῶν ἰδέας ἑνὸς καὶ δυοῖν καὶ τριῶν καὶ τεττάρων, οἷς θεμελιοῦται δεκὰς, ἑβδομάδος φύσιν περιέχειν. Οἱ γὰρ λεχθέντες ἀριθμοὶ τέσσαρας μὲν ἔχουσιν ὅρους, τὸν πρῶτον, τὸν δεύτερον, τὸν τρίτον, τὸν τέταρτον· διαστάσεις δὲ τρεῖς. Πρώτη μὲν*
M *διάστασις ἀπὸ τοῦ ἑνὸς ἐπὶ τὰ δύο, δευτέρα, ἡ ἀπὸ τῶν δυοῖν ἐπὶ τὰ τρία, τρίτη, ἡ ἀπὸ τῶν τριῶν ἐπὶ τὰ τέσσαρα.*

§. 35. *Δίχα δὲ τῶν εἰρημένων ἐναργέστατα παριστᾶσι τὴν τελεσφόρον δύναμιν ἑβδομάδος καὶ αἱ ἐκ βρέφους ἄχρι γήρως ἀνθρώπων ἡλικίαι, μετρούμεναι ταύτῃ. Κατὰ μὲν οὖν τὴν πρώτην ἑπταετίαν ἔκφυσις ὀδόντων ἐστί. Κατὰ δὲ τὴν δευτέραν καιρὸς τοῦ δύνασθαι προΐεσθαι σπέρμα γόνιμον. Τρίτη δὲ γενείων αὔξησις. Καὶ τετάρτῃ πρὸς ἰσχὺν ἐπίδοσις. Πέμπτη τε αὖ γάμων ὥρα. Ἕκτη δὲ συνέσεως ἀκμή. Τῇ δὲ ἑβδόμῃ βελτίωσις ἀμφοῖν καὶ συναύξησις, νοῦ καὶ λόγου. Ὀγδόῃ δὲ ἡ ἐν ἑκατέρῳ τελείωσις. Κατὰ δὲ τὴν ἐνάτην ἐπιείκεια καὶ* 24
*πρᾳότης τῶν παθῶν ἐπὶ πλέον ἡμερωθέντων. Κατὰ* P.
*δὲ τὴν δεκάτην, τοῦ βίου τὸ εὐκταῖον τέλος, ἔτι τῶν ὀργανικῶν μελῶν συνεστηκότων· φιλεῖ γὰρ τὸ μακρὸν γῆρας ἕκαστον ὑποσκελίζειν καὶ παραιρεῖ-*

σθαι. Τὰς ἡλικίας ταύτας ἀνέγραψε καὶ Σόλων ὁ τῶν Ἀθηναίων νομοθέτης, ἐλεγεῖα ποιήσας τάδε·

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος, ἕρκος ὀδόντων
Φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσι.
Τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτοὺς,
Ἥβης ἐκφαίνει σήματα γεινομένης.
Τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
Λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης.
Τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδ' ἐστὶν ἄριστος
Ἰσχὺν, οἵ τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς.
Πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι,
Καὶ παίδων ζητεῖν εἰςοπίσω γενεήν.
Τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρὸς,
Οὐδ' ἔρδειν ἔθ' ὅμως ἔργ' ἀπάλαμνα θέλει.
Ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσι μέγ' ἄριστος,
Ὀκτώ τ', ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη.
Τῇ δ' ἐνάτῃ δύναται μὲν ἔτι, μαλακώτερα δ' αὐτοῦ,
Πρὸς μεγάλην ἀρετὴν σώματι καὶ σοφίῃ.
Τῇ δεκάτῃ δ', ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτοὺς,
Οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

§. 36. Ὁ μὲν οὖν Σόλων ἑβδομάσι δέκα ταῖς εἰρημέναις καταριθμεῖ τὸν ἀνθρώπινον βίον. Ὁ δὲ ἰατρὸς Ἱπποκράτης ἡλικίας ἑπτὰ εἶναί φησι, παιδίου,
26 παιδὸς, μειρακίου, νεανίσκου, ἀνδρὸς, πρεσβύτου, γέ-
M ροντος. Ταύτας δὲ μετρεῖσθαι μὲν ἑβδομάσιν, οὐ μὴν ταῖς κατὰ τὸ ἑξῆς. Λέγει δὲ οὕτως, "Ἐν ἀνθρώπου φύσει ἑπτά εἰσιν ὧραι, ἃς ἡλικίας καλέουσι, παιδίον, παῖς, μειράκιον, καὶ αἱ λοιπαί. Καὶ παιδίον μέν ἐστιν ἄχρις ἑπτὰ ἐτῶν, ὀδόντων ἐκβολῆς. Παῖς δὲ ἄχρι γονῆς ἐκφύσεως, εἰς τὰ δὶς ἑπτά. Μειράκιον δὲ ἄχρι γενείου λαχνώσεως, ἐς τὰ τρὶς ἑπτά. Νεανίσκος δὲ ἄχρις αὐξήσιος ὅλου τοῦ σώματος, ἐς τὰ τετράκις ἑπτά. Ἀνὴρ δὲ ἄχρις ἑνὸς δέοντος πεντήκοντα, εἰς τὰ ἑπτάκις ἑπτά. Πρεσβύτης δὲ ἄχρι πεντήκοντα ἓξ, ἐς τὰ ἑπτάκις ὀκτώ. Τὸ δὲ ἐντεῦθεν, γέρων." Λέγεται δὲ καὶ ἐκεῖνο πρὸς

διασύστασιν ἑβδομάδος, ὡς θαυμαστὴν ἐχούσης ἐν τῇ φύσει τάξιν, ἐπεὶ συνέστηκεν ἐκ τριῶν καὶ τεττάρων. Τὸν μὲν τρίτον ἀπὸ μονάδος εἰ διπλασιάζοι τις, εὑρήσει τετράγωνον, τὸν δὲ τέταρτον, κύβον. Τὸν δὲ ἐξ ἀμφοῖν ἕβδομον, κύβον ὁμοῦ καὶ τετρά- 25
γωνον. Ὁ μὲν οὖν ἀπὸ μονάδος τρίτος, ἐν διπλα- P.
σίονι λόγῳ τετράγωνός ἐστιν. Ὁ δὲ τέταρτος, ὀκτὼ, κύβος. Ὁ δὲ ἕβδομος τέσσαρα πρὸς τοῖς ἑξήκοντα, κύβος ὁμοῦ καὶ τετράγωνος, ὡς εἶναι τελεσφόρον ὄντως τὸν ἕβδομον ἀριθμὸν, ἀμφοτέρας τὰς ἰσότητας καταγγέλλοντα, τήν τε ἐπίπεδον διὰ τετραγώνου, κατὰ τὴν τριάδος συγγένειαν, καὶ τὴν στερεὰν διὰ κύβου, κατὰ τὴν πρὸς τετράδα οἰκειότητα. Ἐκ τριάδος δὲ καὶ τετράδος, ἑβδομάς.

§. 37. Ἔστι δὲ οὐ τελεσφόρος μόνον, ἀλλὰ καὶ, ὡς ἔπος εἰπεῖν, ἁρμονικωτάτη, καὶ τρόπον τινὰ πηγὴ τοῦ καλλίστου διαγράμματος, ὃ πάσας μὲν τὰς ἁρμονίας, τὴν διὰ τεττάρων, τὴν διὰ πέντε, τὴν διὰ πασῶν. Πάσας δὲ τὰς ἀναλογίας, τὴν ἀριθμητικὴν, τὴν γεωμετρικὴν, ἔτι δὲ τὴν ἁρμονικὴν περιέχει. Τὸ δὲ πλινθίον συνέστηκεν ἐκ τῶνδε τῶν ἀριθμῶν, ἓξ, ὀκτὼ, ἐννέα, δώδεκα. Ὁ μὲν ὀκτὼ πρὸς ἓξ ἐν ἐπιτρίτῳ λόγῳ, καθ᾽ ἣν ἡ διὰ τεττάρων ἁρμονία ἐστίν. Ὁ δὲ ἐννέα πρὸς ἓξ ἐν ἡμιολίῳ, καθ᾽ ἣν ἡ διὰ πέντε. Ὁ δὲ δώδεκα πρὸς ἓξ ἐν διπλασίονι, καθ᾽ ἣν ἡ διὰ πασῶν. Ἔχει δὲ, ὡς ἔλεγον, καὶ τὰς ἀναλογίας ἁπάσας. Ἀριθμητικὴν μὲν, ἐκ τῶν ἓξ καὶ ἐννέα καὶ δώδεκα· ὡς γὰρ ὑπερέχει ὁ μέσος τοῦ πρώτου τρισὶν, ὑπερέχεται ὑπὸ τοῦ τελευταίου. Γεωμετρικὴν δὲ, ἡ τῶν διὰ τεσσάρων· ὃν γὰρ λόγον ἔχει τὰ
27 ὀκτὼ πρὸς τὰ ἓξ, τοῦτον τὰ δώδεκα πρὸς τὸν ἐννέα·
M. ὁ δὲ λόγος ἐπίτριτος. Ἁρμονικὴν δὲ ἐκ τριῶν, τοῦ ἓξ καὶ ὀκτὼ καὶ δώδεκα. Ἁρμονικῆς δὲ ἀναλογίας διττὴ κρίσις. Μία μὲν, ὅταν, ὃν λόγον ἔχει ὁ ἔσχατος τοῦ μέσου πρὸς τὸν πρῶτον, τοῦτον ἔχῃ ἡ ὑπεροχὴ ᾗ ὑπερέχει ὁ ἔσχατος τοῦ μέσου πρὸς

τὴν ὑπεροχὴν, ἣν ὑπερέχεται ὑπὸ τοῦ μέσου ὁ πρῶτος. Ἐναργεστάτην δὲ πίστιν λάβοι τις ἂν ἐκ τῶν προκειμένων ἀριθμῶν, τοῦ ἓξ καὶ ὀκτὼ καὶ δώδεκα. Ὁ μὲν γὰρ τελευταῖος τοῦ πρώτου διπλάσιος, ἡ δὲ ὑπεροχὴ πάλιν διπλασία. Τὰ μὲν γὰρ δώδεκα τῶν ὀκτὼ τέταρσιν ὑπερέχει, τὰ δὲ ὀκτὼ τῶν ἓξ δυσί. Τὰ δὲ τέσσαρα τοῖν δυοῖν διπλάσια. Ἑτέρα δὲ βάσανος τῆς ἁρμονικῆς ἀναλογίας, ὅταν ὁ μέσος τῶν ἄκρων ἴσῳ μορίῳ ὑπερέχῃ καὶ ὑπερέχηται. Ὁ γὰρ ὄγδοος μέσος ὢν, ὑπερέχει μὲν τοῦ πρώτου τρίτῳ μορίῳ· ὑφαιρεθέντων γὰρ τῶν ἓξ, τὰ λοιπὰ δύο τρίτα ἐστὶ τοῦ πρώτου. Ὑπερέχεται δὲ ὑπὸ τοῦ τελευταίου τῷ ἴσῳ· εἰ γὰρ ὑφαιρεθείη τῶν δώδεκα τὰ ὀκτὼ, τὰ λοιπὰ τέσσαρα γίνεται τοῦ τελευταίου τρίτα.

§. 38. Ταῦτα μὲν ἀναγκαίως περὶ σεμνότητος, 26
ἣν ἔχει τὸ διάγραμμα ἢ πλινθίον, ἢ ὅ τι χρὴ κα- P.
λεῖν, προειρήσθω. Τοσαύτας ἰδέας καὶ ἔτι πλείους ἡ ἑβδομὰς ἐν ἀσωμάτοις καὶ νοητοῖς ἐπιδείκνυται. Διατείνει δὲ αὐτῆς ἡ φύσις καὶ ἐπὶ τὴν ὁρατὴν ἅπασαν οὐσίαν, οὐρανὸν καὶ γῆν, τὰ πέρατα τοῦ παντὸς, φθάσασα. Τί γὰρ οὐ φιλέβδομον τῶν ἐν τῷ κόσμῳ μέρος, ἔρωτι καὶ πόθῳ δαμασθὲν ἑβδομάδος; Αὐτίκα τὸν οὐρανόν φασιν ἑπτὰ διεζῶσθαι κύκλοις, ὧν ὀνόματα εἶναι τάδε, ἀρκτικὸν, ἀνταρκτικὸν, θερινὸν τροπικὸν, χειμερινὸν τροπικὸν, ἰσημερινὸν, ζωδιακὸν, καὶ προσέτι γαλαξίαν. Ὁ γὰρ ὁρίζων πάθος ἐστὶν ἡμέτερον, ὡς ἂν ὀξυωπίας ἔχῃ τις ἢ τὸ ἐναντίον, ἀποτεμνομένης τῆς αἰσθήσεως, τότε μὲν ἐλάττω, τότε δὲ μείζω περιγραφήν. Οἵγε μὴν πλάνητες, ἥ τε ἀντίῤῥοπος στρατιὰ τῆς τῶν ἀπλανῶν, ἑπτὰ διακοσμοῦνται τάξεσι, πλείστην ἐπιδεικνύμενοι συμπάθειαν πρὸς ἀέρα καὶ γῆν. Τὸν μὲν γὰρ εἰς τὰς ἐτησίους ἐπικαλουμένας ὥρας τρέπουσι, καθ᾽ ἑκάστην μυρίας ὅσας ἐμποιοῦντες μεταβολὰς, νηνεμίαις, αἰθρίαις, νεφώσεσι, βίαις ἐξαισίαις πνευμάτων. Πάλιν τε ποταμοὺς πλημμυροῦσι

καὶ μειοῦσι, καὶ πεδία λιμνάζουσι, καὶ τὸ ἐναντίον ἀφαναίνουσι. Καὶ πελαγῶν ἐργάζονται τροπὰς, ἐξ ἀναχωρούντων ἢ παλιῤῥοίαις χρωμένων. Εὐρείας γάρ ἐστιν ὅτε κόλπον θαλάττης ὑποσυράσαις ἀμπώτεσι, βαθὺς ἐξαίφνης αἰγιαλὸς εἴςεισι. Καὶ μικρὸν ὕστερον ἀναχθείσης, πελάγη βαθύτατα οὐ βραχείαις
28 ὁλκάσιν, ἀλλὰ μυριοφόροις ναυσὶν ἐμπλεόμενα. Καὶ
M μὲν δὴ τὰ ἐπίγεια πάντα ζῶά τε αὖ καὶ φυτὰ, καρποὺς γεννῶντα, αὔξουσι καὶ τελεσφοροῦσι, τὴν ἐν ἑκάστοις φύσιν δολιχεύειν παρασκευάζοντες, ὡς νέα παλαιοῖς ἐπανθεῖν, καὶ ἐπακμάζειν, πρὸς χορηγίας ἀφθόνους τῶν δεομένων.

§. 39. Ἄρκτος τε μὴν, ἥν φασι πλωτήρων εἶναι προπομπὸν, ἐξ ἑπτὰ ἀστέρων συνέστηκεν· εἰς ἣν ἀφορῶντες κυβερνῆται τὰς ἐν θαλάττῃ μυρίας ὁδοὺς ἀνέτεμον, πράγματι ἀπίστῳ καὶ μείζονι ἢ κατὰ γνώμην ἀνθρωπίνην ἐπιθέμενοι. Στοχασμῷ γὰρ τῶν εἰρημένων ἀστέρων τὰς πρὶν ἀδηλουμένας χώρας ἀνεῦρον, νήσους μὲν οἱ τὴν ἤπειρον οἰκοῦντες, νησιῶται δὲ ἠπείρους. Ἔδει γὰρ ὑπὸ τοῦ καθαρωτάτου τῆς οὐσίας, οὐρανοῦ, ζώῳ τῷ θεοφιλεῖ γῆς ὁμοῦ καὶ θαλάττης ἀναδειχθῆναι τοὺς μυχοὺς, ἀνθρώπων γένει. Πρὸς δὲ τοῖς εἰρημένοις καὶ ὁ τῶν πλειάδων χορὸς ἀστέρων ἑβδομάδι συμπεπλήρωται, ὧν αἱ ἐπιτολαὶ καὶ αἱ ἀποκρύψεις μεγάλων ἀγαθῶν αἴτιαι πᾶσι γίνονται. Δυομένων μὲν γὰρ, αὔλακες 27
ἀνατέμνονται πρὸς σπόρον· ἡνίκα δ᾽ ἂν μέλλωσιν P.
ἐπιτέλλειν, ἀμητὸν εὐαγγελίζονται, καὶ ἐπιτείλασαι χαίροντας γεωπόνους πρὸς συγκομιδὴν τῶν ἀναγκαίων ἐγείρουσιν. Οἱ δ᾽ ἄσμενοι τὰς τροφὰς ἀποτίθενται πρὸς τὴν καθ᾽ ἑκάστην ἡμέραν χρῆσιν. Ὅ τε ἡγεμὼν ἡμέρας ἥλιος, διττὰς καθ᾽ ἕκαστον ἐνιαυτὸν ἀποτελῶν ἰσημερίας, ἔαρι καὶ μετοπώρῳ, τὴν μὲν ἐαρινὴν ἐν κριῷ, τὴν δὲ μετοπωρινὴν ἐν ζυγῷ, ἐναργεστάτην παρέχεται πίστιν τοῦ περὶ τὴν ἑβδόμην θεοπρεποῦς. Ἑκατέρα γὰρ τῶν ἰσημεριῶν ἑβδόμῳ γίνεται μηνὶ, καθ᾽ ἃς

*καὶ ἑορτάζειν διείρηται νόμῳ τὰς μεγίστας καὶ δη-
μοτελεστάτας ἑορτάς· ἐπειδήπερ ἀμφοτέραις τὰ ὅσα
ἐκ γῆς τελεσφορεῖται, ἔαρι μὲν, ὁ τοῦ σίτου καρπὸς,
καὶ τῶν ἄλλων ὅσα σπαρτὰ, μετοπώρῳ δὲ ὁ τῆς
ἀμπέλου καὶ τῶν ἄλλων πλείστων ἀκροδρύων.*

§. **40.** *Ἐπεὶ δὲ ἐκ τῶν οὐρανίων τὰ ἐπίγεια ἤρτη-
ται κατά τινα φυσικὴν συμπάθειαν, ὁ τῆς ἑβδομάδος
λόγος ἄνωθεν ἀρξάμενος κατέβη καὶ πρὸς ἡμᾶς, τοῖς
θνητοῖς γένεσιν ἐπιφοιτήσας. Αὐτίκα τῆς ἡμετέρας
ψυχῆς τὸ δίχα τοῦ ἡγεμονικοῦ μέρος ἑπταχῇ σχίζεται,
πρὸς πέντε αἰσθήσεις καὶ τὸ φωνητήριον ὄργανον, καὶ
ἐπὶ πᾶσι τὸ γόνιμον. Ἃ δὴ πάντα, καθάπερ ἐν
τοῖς θαύμασιν ὑπὸ τοῦ ἡγεμονικοῦ νευροσπαστούμενα,
τότε μὲν ἠρεμεῖ, τότε δὲ κινεῖται, τὰς ἁρμοττούσας
σχέσεις καὶ κινήσεις ἕκαστον. Ὁμοίως δὲ καὶ τοῦ
σώματος εἴ τις ἐξετάζειν ἐπιχειρήσειε, τά τε ἐντὸς
καὶ ἐκτὸς μέρη, καθ᾽ ἑκάτερον ἑπτὰ εὑρήσει. Τὰ
μὲν οὖν ἐν φανερῷ ταῦτ᾽ ἐστὶ, κεφαλὴ, στέρνα, γα-*
29*στὴρ, διτταὶ χεῖρες, διτταὶ βάσεις· τὰ δ᾽ ἐντὸς λε-*
M *γόμενα σπλάγχνα, στόμαχος, καρδία, πνεύμων,
σπλὴν, ἧπαρ, νεφροὶ δύο. Πάλιν τε αὖ τὸ ἡγεμο-
νικώτατον ἐν ζώῳ, κεφαλὴ, τοῖς ἀναγκαιοτάτοις
ἑπτὰ χρῆται, δυσὶν ὀφθαλμοῖς, ἀκοαῖς ἴσαις, αὐλοῖς
μυκτῆρος δυσὶν, ἑβδόμῳ στόματι, δι᾽ οὗ γίνεται „θνη-
τῶν μὲν," ὥς ἔφη Πλάτων, „εἴσοδος, ἔξοδος δὲ
ἀφθάρτων." Ἐπεισέρχεται μὲν γὰρ αὐτῷ σιτία καὶ
ποτὰ, φθαρτοῦ σώματος φθαρταὶ τροφαί. Λόγοι
δὲ ἐξίασιν, ἀθανάτου ψυχῆς ἀθάνατοι νόμοι, δι᾽
ὧν ὁ λογικὸς βίος κυβερνᾶται.*

§. **41.** *Τὰ δὲ διὰ τῆς ἀρίστης τῶν αἰσθήσεων
ὄψεως κρινόμενα μετέχει τοῦ ἀριθμοῦ κατὰ γένος.
Ἑπτὰ γάρ ἐστι τὰ ὁρώμενα, σῶμα, διάστασις, σχῆμα,
μέγεθος, χρῶμα, κίνησις, στάσις. Καὶ παρὰ ταῦτα
οὐδὲν ἕτερον. Συμβέβηκε μέντοι καὶ τὰς τῆς φωνῆς με-
ταβολὰς ἁπάσας ἑπτὰ εἶναι, τὴν ὀξεῖαν, τὴν βαρεῖαν,
τὴν περισπωμένην, καὶ τέταρτον δασὺν φθόγγον,*

καὶ ψιλὸν πέμπτον, καὶ μακρὸν ἕκτον, καὶ βραχὺν ἕβδομον. Ἀλλὰ γὰρ καὶ κινήσεις ἑπτὰ εἶναι συμβέβηκε, τὴν ἄνω, τὴν κάτω, τὴν ἐπὶ δεξιὰ, τὴν ἐπ᾽ εὐώ- 28
νυμα, τὴν πρόσω, τὴν κατόπιν, τὴν ἐν κύκλῳ, ἃς ἐν P.
τοῖς μάλιστα τρανοῦσιν οἱ τὴν ὄρχησιν ἐπιδεικνύμενοι. Φασὶ δὲ καὶ τὰς διὰ τοῦ σώματος ἐκκρίσεις ὑπεστάλθαι τῷ λεχθέντι ἀριθμῷ. Διὰ μὲν γὰρ ὀφθαλμῶν δάκρυα προχεῖται, διὰ δὲ μυκτήρων αἱ ἐκ κεφαλῆς καθάρσεις, διὰ δὲ στόματος οἱ ἀποπτυόμενοι σίελοι. Εἰσὶ δὲ καὶ διτταὶ δεξάμεναι πρὸς τὰς τῶν περιττωμάτων ἀποχετεύσεις, ἡ μὲν ἔμπροσθεν, ἡ δὲ κατόπιν. Ἕκτη δὲ ἐστὶν, ἡ δι᾽ ὅλου τοῦ σώματος ἐν ἱδρῶτι πρόχυσις, καὶ ἡ φυσικωτάτη σπέρματος πρόεσις διὰ τῶν γεννητικῶν. Πάλιν τε αὖ γυναιξὶν ἡ καταφορὰ τῶν καταμηνίων εἰς ἑπτὰ τὰς πλείστας ἡμέρας χορηγεῖται. Καὶ τὰ κατὰ γαστρὸς βρέφη μησὶν ἑπτὰ ζωογονεῖσθαι πέφυκεν, ὡς παραδοξότατόν τι συμβαίνειν· γίνεται γὰρ τὰ ἑπτάμηνα γόνιμα, τῶν ὀκτωμηνιαίων ὡς ἐπίπαν ζωογονεῖσθαι μὴ δυναμένων. Αἵ τε βαρεῖαι νόσοι σωμάτων, καὶ μάλιστα ὅταν ἐκ δυςκρασίας τῶν ἐν ἡμῖν δυνάμεων πυρετοὶ συνεχεῖς ἐπισκήψωσιν, ἑβδόμῃ μάλιστά πως ἡμέρᾳ διακρίνονται. δικάζει γὰρ ἀγῶνα τὸν περὶ ψυχῆς, τοῖς μὲν σωτηρίαν ψηφιζομένη, τοῖς δὲ θάνατον.

§. 42. Ἡ δὲ δύναμις αὐτῆς οὐ μόνον τοῖς εἰρημένοις, ἀλλὰ καὶ ταῖς ἀρίσταις τῶν ἐπιστημῶν ἐπιπεφοίτηκε, γραμματικῇ καὶ μουσικῇ. Λύρα μὲν γὰρ ἡ ἑπτάχορδος, ἀναλογοῦσα τῇ τῶν ἑπτὰ πλανήτων χορείᾳ, τὰς ἐλλογίμους ἁρμονίας ἀποτελεῖ, σχεδόν τι τῆς
30 κατὰ μουσικὴν ὀργανοποιΐας ἁπάσης ἡγεμονὶς οὖσα·
M. στοιχείων τε τῶν ἐν γραμματικῇ τὰ λεγόμενα φωνήεντα ἐτύμως, ἑπτά ἐστιν, ἐπειδὴ καὶ ἐξ ἑαυτῶν ἔοικε φωνεῖσθαι, καὶ τοῖς ἄλλοις συνταττόμενα, φωνὰς ἐνάρθρους ἀποτελεῖ. Τῶν μὲν γὰρ ἡμιφώνων ἀναπληροῖ τὸ ἐνδέον, ὁλοκλήρους κατασκευάζοντα τοὺς

φθόγγους· τῶν δ᾽ ἀφώνων τρέπει καὶ μεταβάλλει τὰς φύσεις, ἐμπνέοντα τῆς ἰδίας δυνάμεως, ἵνα γένηται τὰ ἄῤῥητα ῥητά. Διό μοι δοκοῦσιν οἱ τὰ ὀνόματα τοῖς γράμμασιν ἐξ ἀρχῆς ἐπιφημίσαντες, ἅτε σοφοὶ, καλέσαι τὸν ἀριθμὸν ἑπτὰ ἀπὸ τοῦ περὶ αὐτὸν σεβασμοῦ, καὶ τῆς προςούσης σεμνότητος. Ῥωμαῖοι δὲ καὶ προστιθέντες τὸ ἐλλειφθὲν ὑφ᾽ Ἑλλήνων στοιχεῖον τὸ Σ, τρανοῦσιν ἔτι μᾶλλον τὴν ἔμφασιν ἐτυμωτέραν, σέπτεμ προςαγορεύοντες, ἀπὸ τοῦ σεμνοῦ, καθάπερ ἐλέχθη, καὶ σεβασμοῦ.

§. 43. Ταῦτα καὶ πλείω λέγεται καὶ φιλοσοφεῖται περὶ ἑβδομάδος, ὧν ἕνεκα τιμῆς μὲν ἔλαχεν ἐν τῇ φύσει τῇ ἀνωτάτω. Τιμᾶται δὲ καὶ παρὰ τοῖς 29
δοκιμωτάτοις τῶν Ἑλλήνων καὶ βαρβάρων, οἳ τὴν P.
μαθηματικὴν ἐπιστήμην διαπονοῦσιν. Ἐκτετίμηται δὲ ὑπὸ τοῦ φιλαρέτου Μωϋσέως, ὃς τὸ κάλλος αὐτῆς ἀνέγραψεν ἐν ταῖς ἱερωτάταις τοῦ νόμου στήλαις, ταῖς δὲ διανοίαις τῶν ὑφ᾽ αὐτὸν ἁπάντων ἐνεχάραξε, δι᾽ ἓξ ἡμερῶν κελεύσας ἄγειν ἱερὰν ἑβδόμην, ἀπὸ τῶν ἄλλων ἀνέχοντας ἔργων ὅσα κατὰ ζήτησιν βίου καὶ πορισμὸν, ἑνὶ μόνῳ σχολάζοντας τῷ φιλοσοφεῖν εἰς βελτίωσιν ἠθῶν, καὶ τὸν τοῦ συνειδότος ἔλεγχον. Ὃς ἐνιδρυμένος τῇ ψυχῇ, καθάπερ δικαστὴς, ἐπιπλήττων οὐ δυςωπεῖται, τὰ μὲν σφοδροτέραις ἀπειλαῖς, τὰ δὲ μετριωτέραις νουθεσίαις χρώμενος, περὶ μὲν ὧν ἔδοξεν ἀπειθεῖν ἐκ προνοίας, ἀπειλαῖς, περὶ δὲ ὧν ἀκούσια, διὰ τὸ ἀπροοράτως ἔχειν νουθεσίαις, ὑπὲρ τοῦ μηκέθ᾽ ὁμοίως ὀλισθεῖν.

§. 44. Ἐπιλογιζόμενος δὲ τὴν κοσμοποιΐαν, κεφαλαιώδει τύπῳ φησὶν, "Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένετο, ᾗ ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέσθαι ἐπὶ τῆς γῆς, καὶ πάντα

χόρτον ἀγροῦ πρὸ τοῦ ἀνατεῖλαι." *) Ἆρα οὐκ ἐμφανῶς τὰς ἀσωμάτους καὶ νοητὰς ἰδέας παρίστησιν, ἃς τῶν αἰσθητῶν ἀποτελεσμάτων σφραγῖδας εἶναι συμβέβηκε; Πρὶν γὰρ χλοῆσαι τὴν γῆν, αὐτὸ τοῦτο ἐν τῇ φύσει τῶν πραγμάτων χλόη, φησὶν, ἦν, καὶ πρὶν ἀνατεῖλαι χόρτον ἐν ἀγρῷ, χόρτος ἦν οὐχ ὁρατός. Ὑπονοητέον δὲ ὅτι καὶ ἑκάστου τῶν ἄλλων ἃ
31 δικάζουσιν αἰσθήσεις τὰ πρεσβύτερα εἴδη καὶ μέτρα,
M. οἷς εἰδοποιεῖται καὶ μετρεῖται τὰ γινόμενα, προϋπῆρχε. Καὶ γὰρ εἰ μὴ κατὰ μέρος, ἀθρόα πάντα διεξελήλυθε, φροντίζων εἴ καί τις ἄλλος βραχυλογίας, οὐδὲν ἧττον τὰ ῥηθέντα ὀλίγα δείγματα τῆς τῶν πάντων ἐστὶ φύσεως, ἥτις ἄνευ ἀσωμάτου παραδείγματος οὐδὲν τελεσιουργεῖ τῶν ἐν αἰσθήσει.

§. 45. Τῆς δὲ ἀκολουθίας ἐχόμενος, καὶ τὸν εἱρμὸν τῶν ἑπομένων πρὸς τὰ ἡγούμενα διατηρῶν, λέγει ἑξῆς, "Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τῆς γῆς, καὶ ἐπότιζε πᾶν τὸ πρόσωπον αὐτῆς." **) Οἱ μὲν γὰρ ἄλλοι φιλόσοφοι τὸ σύμπαν ὕδωρ ἓν στοιχεῖον εἶναί φασι τῶν τεττάρων, ἐξ ὧν ὁ κόσμος ἐδημιουργήθη. Μωϋσῆς δὲ ὀξυωπεστέροις ὄμμασι καὶ τὰ μακρὰν εἰωθὼς εὖ μάλα θεωρεῖν καὶ καταλαμβάνειν, στοιχεῖον μὲν οἴεται εἶναι τὴν μεγάλην θάλατταν, μοῖραν τετάρτην τῶν συμπάντων, ἣν οἱ μετ᾽ αὐτὸν ὠκεανὸν προσαγορεύοντες, τὰ παρ᾽ ἡμῖν πλωτὰ πελάγη λιμένων ἔχειν λόγον νομίζουσι. Τὸ δὲ γλυκὺ καὶ πότιμον ὕδωρ διέκρινεν ἀπὸ τοῦ θαλαττίου, προςκατατάξας αὐτὸ γῇ, καὶ μέρος ταύτης ὑπολαβὼν οὐκ ἐκείνου, διά γε τὴν λεχθεῖσαν αἰτίαν πρότερον, ἵν᾽ ὡς ἂν ὑπὸ δεσμοῦ συνέχηται γλυκείᾳ ποιότητι, κόλλης τρόπον ἑνούσῃ. Ξηρὰ γὰρ ἀπολειφθεῖσα, μὴ παραδυομένης ὑγρότητος διὰ τῶν ἀραιω-

*) Gen. 2, 4.

**) Gen. 2, 6.

μάτων καὶ πολυσχιδῶς ἐπιφοιτώσης, κἂν διεῖλεν αὐτό. Συνέχεται δὲ καὶ διαμένει, τὰ μὲν πνεύματος ἑνωτικοῦ δυνάμει, τὸ δὲ νοτίδος οὐκ ἐώσης ἀφαναινομένην καὶ κατὰ τρύφη μικρὰ καὶ μεγάλα θρύπτεσθαι. Μία μὲν αἰτία ἥδε. Λεκτέον δὲ καὶ ἑτέραν στοχαζομένην ὥςπερ τοῦ σκοποῦ τῆς ἀληθείας. Οὐδὲν τῶν γηγενῶν ἄνευ ὑγρᾶς οὐσίας συνίστασθαι πέφυκε. Μηνύουσι δὲ τοῦτο αἱ καταβολαὶ τῶν σπερμάτων, ἅπερ ἢ ὑγρά ἐστιν, ὡς τὰ τῶν ζώων, ἢ οὐκ ἄνευ ὑγρότητος βλαστάνει, τοιαῦτα δὲ τὰ τῶν φυτῶν ἐστιν. Ἐξ οὗ δῆλον, ὅτι ἀνάγκη τὴν λεχθεῖσαν ὑγρὰν οὐσίαν μέρος εἶναι γῆς τῆς πάντα τικτούσης, καθάπερ ταῖς γυναιξὶ τὴν φορὰν τῶν καταμηνίων. λέγεται γὰρ οὖν καὶ ταῦτα πρὸς ἀνδρῶν φυσικῶν οὐσία σωματικὴ βρεφῶν εἶναι. Τῶν δὲ εἰρημένων οὐκ ἀποδεῖ καὶ τὸ μέλλον λέγεσθαι. πάσῃ μητρὶ καθάπερ ἀναγκαιότατον μέρος ἡ φύσις πηγάζοντας ἀνέδωκε μαστοὺς, προευτρεπισαμένη τροφὰς τῷ γεννησομένῳ. Μήτηρ δὲ, ὡς ἔοικε, καὶ ἡ γῆ, παρ᾽ ὃ καὶ τοῖς πρώτοις ἔδοξεν αὐτὴν Δήμητραν καλέσαι,
2 τὸ μητρὸς καὶ γῆς ὄνομα συνθεῖσιν. Οὐ γὰρ γῆ
1. γυναῖκα, ὡς εἶπε Πλάτων, ἀλλὰ γυνὴ γῆν μεμίμηται, ἣν ἐτύμως τὸ ποιητῶν γένος παμμήτορα, καὶ καρποφόρον, καὶ πανδώραν εἴωθεν ὀνομάζειν, ἐπειδὴ πάντων αἰτία γενέσεως καὶ διαμονῆς ζώων ὁμοῦ καὶ φυτῶν ἐστιν. Εἰκότως οὖν καὶ γῇ τῇ πρεσβυτάτῃ καὶ γονιμωτάτῃ μητέρων ἀνέδωκεν ἡ φύσις, οἷα μαστοὺς, ποταμῶν ῥεῖθρα καὶ πηγῶν, ἵνα τὰ φυτὰ ἄρδοιτο, καὶ ποτὸν ἄφθονον ἔχοι πάντα τὰ ζῶα.

§. 46. Μετὰ δὲ ταῦτά φησιν, ὅτι "Ἔπλασεν ὁ θεὸς ἄνθρωπον, χοῦν λαβὼν ἀπὸ τῆς γῆς, καὶ ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνοὴν ζωῆς." *) Ἐναργέστατα καὶ διὰ τούτου παρίστησιν, ὅτι δια-

---

*) Gen. 2, 7.

φορὰ παμμεγέθης ἐστὶ τοῦ τε νῦν πλασθέντος ἀνθρώπου, καὶ τοῦ κατὰ τὴν εἰκόνα θεοῦ γεγονότος πρότερον. Ὁ μὲν γὰρ διαπλασθεὶς ἤδη, αἰσθητὸς, μετέχων ποιότητος, ἐκ σώματος καὶ ψυχῆς συνεστὼς, ἀνὴρ ἢ γυνὴ, φύσει θνητὸς ὤν· ὁ δὲ κατὰ τὴν εἰκόνα, ἰδέα τις, ἢ γένος, ἢ σφραγὶς, νοητὸς, ἀσώματος, οὔτ' ἄῤῥην οὔτε θῆλυς, ἄφθαρτος φύσει. Τοῦ δὲ αἰσθητοῦ καὶ ἐπὶ μέρους ἀνθρώπου τὴν κατασκευὴν σύνθετον εἶναί φησιν ἐκ γεώδους οὐσίας καὶ πνεύματος θείου, γεγενῆσθαι γὰρ τὸ μὲν σῶμα, χοῦν τοῦ τεχνίτου λαβόντος, καὶ μορφὴν ἀνθρωπί- 3
νην ἐξ αὐτοῦ διαπλάσαντος, τὴν δὲ ψυχὴν ἀπ' οὐ- E
δενὸς γενητοῦ τὸ παράπαν, ἀλλ' ἐκ τοῦ πατρὸς καὶ ἡγεμόνος τῶν ἁπάντων. Τὸ γὰρ "ἐνεφύσησεν" οὐδὲν ἦν ἕτερον, ἢ πνεῦμα θεῖον ἀπὸ τῆς μακαρίας καὶ εὐδαίμονος ἐκείνης φύσεως, ἀποικίαν τὴν ἐνθάδε στειλάμενον, ἐπ' ὠφελείᾳ τοῦ γένους ἡμῶν, ἵνα, εἰ καὶ θνητὸς ὁ ἄνθρωπός ἐστι κατὰ τὴν ὁρατὴν μερίδα, κατὰ γοῦν τὴν ἀόρατον ἀθανατίζηται. Διὸ καὶ κυρίως ἄν τις εἴποι τὸν ἄνθρωπον θνητῆς καὶ ἀθανάτου φύσεως εἶναι μεθόριον ἑκατέρας ὅσον ἀναγκαῖόν ἐστι μετέχοντα, καὶ γεγενῆσθαι θνητὸν ὁμοῦ καὶ ἀθάνατον· θνητὸν μὲν κατὰ τὸ σῶμα, κατὰ δὲ τὴν διάνοιαν ἀθάνατον.

§. 47. Ἐκεῖνος δὲ ὁ πρῶτος ἄνθρωπος, ὁ γηγενὴς, ὁ παντὸς τοῦ γένους ἡμῶν ἀρχηγέτης, ἑκάτερα ἄριστος ψυχήν τε καὶ σῶμα γεγενῆσθαί μοι δοκεῖ, καὶ μακρῷ τινι τοὺς ἔπειτα διενεγκεῖν κατὰ τὰς ἐν ἀμφοτέροις ὑπερβάσεις. ὁ γὰρ ἀληθείᾳ καλὸς καὶ ἀγαθὸς ὄντως οὗτος ἦν. Τεκμηριώσαιτο δ' ἄν τις τὴν μὲν τοῦ σώματος εὐμορφίαν ἐκ τριῶν, ὧν ἐστι πρῶτον τόδε. Ἄρτι τῆς
33 γῆς νεοκτίστου φανείσης κατὰ τὴν τοῦ πολλοῦ ὕδατος
M διάκρισιν, ὃ προσεῤῥήθη θάλασσα, τὴν ὕλην συνέβαινε τῶν γιγνομένων ἀμιγῆ καὶ ἄδολον καὶ καθαρὰν εἶναι, ἐξ ἧς τὰ ἐπιτελούμενα εἰκότως ἦν ἀνυπαίτια. Δεύτερον δὲ, οὐδὲ ἐκ τοῦ τυχόντος μέρους τῆς γῆς ἔοικεν

ὁ θεὸς χοῦν λαβὼν τὸν μὲν ἀνθρωποειδῆ τοῦτον ἀνδριάντα πλάττειν ἐθελῆσαι μετὰ τῆς ἀνωτάτω σπουδῆς, ἀλλὰ διακρίνας ἐξ ἁπάσης τὸ βέλτιστον, ἐκ καθαρᾶς ὕλης τὸ καθαρώτατον καὶ διηθημένον ἄκρως, ὃ πρὸς τὴν κατασκευὴν μάλιστα ἥρμοζεν. Οἶκος γάρ τις ἢ νεὼς ἱερὸς ἐτεκταίνετο ψυχῆς λογικῆς, ἣν ἔμελλεν ἀγαλματοφορήσειν, ἀγαλμάτων τὸ θεοειδέστατον. Τρίτον, ὃ μηδὲ σύγκρισιν ἔχει πρὸς τὰ λεχθέντα, ὁ δημιουργὸς ἀγαθὸς ἦν, τά τε ἄλλα καὶ τὴν ἐπιστήμην, ὡς ἕκαστον τῶν τοῦ σώματος μερῶν καὶ ἰδίᾳ καθ᾽ αὑτὸ τοὺς ἐπιβάλλοντας ἔχειν ἀριθμοὺς, καὶ πρὸς τὴν τοῦ ὅλου κοινωνίαν εὐαρμόστως ἀπηκριβῶσθαι. Μετὰ δὲ τῆς συμμετρίας καὶ εὐσαρκίαν προσέπλαττε, καὶ εὔχροιαν ἠνθογράφει, βουλόμενος, ὡς ἔνι μάλιστα, κάλλιστον ὀφθῆναι τὸν ἄνθρωπον.

§. 48. Ὅτι δὲ καὶ τὴν ψυχὴν ἄριστος ἦν, φανερόν. Οὐδενὶ γὰρ ἑτέρῳ παραδείγματι τῶν ἐν γενέσει πρὸς τὴν κατασκευὴν αὐτῆς ἔοικε χρήσασθαι, μόνῳ δὲ, ὥςπερ εἶπον, τῷ ἑαυτοῦ λόγῳ. Διό φησιν ἀπεικόνισμα καὶ μίμημα γεγενῆσθαι τοῦτον τὸν 32
ἄνθρωπον ἐμπνευσθέντα εἰς τὸ πρόςωπον, ἔνθα τῶν P.
αἰσθήσεων ὁ τόπος, αἷς τὸ μὲν σῶμα ἐψύχωσεν ὁ δημιουργός. Τὸν βασιλέα δὲ λογισμὸν ἐνιδρυσάμενος τῷ ἡγεμονικῷ, παρέδωκε δορυφορεῖσθαι πρὸς τὰς τῶν χρωμάτων καὶ φωνῶν χυλῶν τε αὖ καὶ ἀτμῶν καὶ τῶν παραπλησίων ἀντιλήψεις, ἃς ἄνευ αἰσθήσεως δι᾽ αὑτοῦ μόνου καταλαβεῖν οὐχ οἷός τε ἦν. Ἀνάγκη δὲ παγκάλου παραδείγματος πάγκαλον εἶναι μίμημα· θεοῦ δὲ λόγος καὶ αὐτοῦ κάλλους, ὅπερ ἐστὶν ἐν τῇ φύσει αἰσθητῷ κάλλος, ἀμείνων, οὐ κοσμούμενος κάλλει, κόσμος δὲ αὐτὸς ὢν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, εὐπρεπέστατος ἐκείνου.

§. 49. Τοιοῦτος μὲν οὖν ὁ πρῶτος ἄνθρωπος κατά τε σῶμα καὶ ψυχὴν γεγενῆσθαί μοι δοκεῖ, τούς τε νῦν ὄντας καὶ τοὺς πρὸ ἡμῶν διενεγκὼν ἅπαντας. Ἡ μὲν γὰρ ἡμετέρα γέννησις ἐξ ἀνθρώ-

πων, τὸν δὲ θεὸς ἐδημιούργησεν. Ἐφ᾽ ὅσον δὲ κρείττων ὁ ποιῶν, ἐπὶ τοσοῦτο καὶ τὸ γενόμενον ἄμεινον. Ὥςπερ γὰρ τὸ ἀκμάζον ἀεὶ τοῦ παρηβηκότος βέλτιόν ἐστιν, εἴτε ζῶον, εἴτε φυτὸν, εἴτε καρπὸς, εἴτ᾽ ἄλλο τι τῶν ἐν τῇ φύσει τυγχάνοι· οὕτως ἔοικεν ὁ μὲν πρῶτος διαπλασθεὶς ἄνθρωπος ἀκμὴ τοῦ ἡμετέρου παντὸς ὑπάρξαι γένους, οἱ δ᾽ ἔπειτα μηκέθ᾽ ὁμοίως ἐπακμάσαι, τῶν κατὰ γενεὰν ἀμαυροτέρας
34 ἀεὶ τάς τε μορφὰς καὶ τὰς δυνάμεις λαμβανόντων.
M. Ὅπερ ἐπί τε τῆς πλαστικῆς καὶ ζωγραφίας γινόμενον εἶδον· ἀποδεῖ γὰρ τὰ μιμήματα τῶν ἀρχετύπων. Τὰ δὲ ἀπὸ τῶν μιμημάτων γραφόμενα καὶ πλαττόμενα, πολὺ μᾶλλον, ἅτε μακρὰν ἀφεστῶτα τῆς ἀρχῆς. Παραπλήσιον δὲ πάθος καὶ ἡ μαγνῆτις ἐπιδείκνυται λίθος. Τῶν γὰρ σιδηρῶν δακτυλίων ὁ μὲν αὐτῆς ψαύσας, βεβαιότατα κρατεῖται, ὁ δὲ τοῦ ψαύσαντος ἧττον. Ἐκκρέμαται δὲ καὶ τρίτος δευτέρου, καὶ τέταρτος τρίτου, καὶ πέμπτος τετάρτου, καὶ ἑτέρων ἕτεροι κατὰ μακρὸν στοῖχον ὑπὸ μιᾶς ὁλκοῦ δυνάμεως συνεχόμενοι, πλὴν δὲ οὐ τὸν αὐτὸν τρόπον. Ἀεὶ γὰρ οἱ πόῤῥω τῆς ἀρχῆς ἀπηρτημένοι χαλῶνται, διὰ τὸ τὴν ὁλκὴν ἀνεῖσθαι, μηκέθ᾽ ὁμοίως σφίγγειν δυναμένην. Ὅμοιον δή τι πεπονθέναι καὶ τὸ γένος τῶν ἀνθρώπων φαίνεται, καθ᾽ ἑκάστην γενεὰν ἀμυδροτέρας λαμβανόντων τάς τε τοῦ σώματος καὶ τὰς τῆς ψυχῆς δυνάμεις καὶ ποιότητας· τὸν δὲ ἀρχηγέτην ἐκεῖνον, οὐ μόνον πρῶτον ἄνθρωπον, ἀλλὰ καὶ μόνον κοσμοπολίτην λέγοντες, ἀψευδέστατα ἐροῦμεν. Ἦν γὰρ οἶκος ὁ κόσμος αὐτῷ καὶ πόλις, μηδεμιᾶς χειροποιήτου κατασκευῆς δεδημιουργημένης ἐκ λίθων καὶ ξύλων ὕλης. Ὧι καθάπερ ἐν πατρίδι μετὰ πά- 33
σης ἀσφαλείας ἐνδιῃτᾶτο, φέβου μὲν ἐκτὸς ὤν, ἅτε P.
τῆς τῶν περιγείων ἡγεμονίας ἀξιωθεὶς, καὶ πάντων ὅσα θνητὰ κατεπτηχότων, καὶ ὡς δεσπότῃ ὑπακούειν δεδιδαγμένων, ἢ βιασθέντων, ἐν εὐπαθείαις δὲ ταῖς ἐν εἰρήνῃ ἀπολέμως ζῶν ἀνεπίληπτος.

§. 50. Ἐπεὶ δὲ πᾶσα πόλις ἔννομος ἔχει πολιτείαν, ἀναγκαίως ξυνέβαινε τῷ κοσμοπολίτῃ χρῆσθαι πολιτείᾳ ᾗ καὶ σύμπας ὁ κόσμος. Αὕτη δέ ἐστιν ὁ τῆς φύσεως ὀρθὸς λόγος, ὃς κυριωτέρᾳ κλήσει προσονομάζεται θεσμὸς, νόμος θεῖος ὢν, καθ᾽ ὃν τὰ προσήκοντα καὶ ἐπιβάλλοντα ἑκάστοις ἀπενεμήθη. Τῆς δὲ τῆς πόλεως καὶ πολιτείας ἔδει τινὰς εἶναι πρὸ ἀνθρώπου πολίτας, οἳ λέγοιντ᾽ ἂν ἐνδίκως μεγαλοπολῖται, τὸν μέγιστον περίβολον οἰκεῖν λαχόντες, καὶ τῷ μεγίστῳ καὶ τελειοτάτῳ πολιτεύματι ἐγγραφέντες. Οὗτοι δὲ τίνες ἂν εἶεν, ὅτι μὴ λογικαὶ θεῖαι φύσεις, αἱ μὲν ἀσώματοι καὶ νοηταὶ, αἱ δὲ οὐκ ἄνευ σωμάτων, ὁποίους συμβέβηκεν εἶναι τοὺς ἀστέρας; Οἷς προσομιλῶν καὶ συνδιαιτώμενος εἰκότως ἐν ἀκράτῳ διέτριβεν εὐδαιμονίᾳ. Συγγενής τε καὶ ἀγχίσπορος ὢν τοῦ ἡγεμόνος, ἅτε δὴ πολλοῦ ῥυέντος εἰς αὐτὸν τοῦ θείου πνεύματος, πάντα καὶ λέγειν καὶ πράττειν ἐσπούδαζεν εἰς ἀρέσκειαν τοῦ πατρὸς καὶ βασιλέως, ἑπόμενος αὐτῷ κατ᾽ ἴχνος ταῖς ὁδοῖς, ἃς ὡς λεω-
5φόρους ἀνατέμνουσιν ἀρεταὶ, δι᾽ ὧν μόναις ψυχαῖς
1.θέμις προσέρχεσθαι, τέλος ἡγουμέναις τὴν πρὸς τὸν γεννήσαντα θεὸν ἐξομοίωσιν.

§. 51. Τοῦ μὲν οὖν πρώτου φύντος ἀνθρώπου τὸ καθ᾽ ἑκάτερον καὶ ψυχὴν καὶ σῶμα κάλλος, εἰ καὶ πολλῷ τῆς ἀληθείας ἔλαττον, ἀλλ᾽ οὖν κατὰ τὴν ἡμετέραν δύναμιν, ὡς οἷόν τε ἦν, εἴρηται. Τοὺς δὲ ἀπογόνους τῆς ἐκείνου μετασχόντας ἰδέας, ἀναγκαῖον εἰ καὶ ἀμυδροὺς, ἀλλ᾽ οὖν ἔτι σώζειν τοὺς τύπους τῆς πρὸς τὸν πατέρα συγγενείας. Ἡ δὲ συγγένεια τίς; Πᾶς ἄνθρωπος κατὰ μὲν τὴν διάνοιαν ᾠκείωται θείῳ λόγῳ, τῆς μακαρίας φύσεως ἐκμαγεῖον ἢ ἀπόσπασμα ἢ ἀπαύγασμα γεγονὼς, κατὰ δὲ τὴν τοῦ σώματος κατασκευὴν ἅπαντι τῷ κόσμῳ. Συγκέκριται γὰρ ἐκ τῶν αὐτῶν, γῆς, καὶ ὕδατος, καὶ ἀέρος, καὶ πυρός· ἑκάστου τῶν στοιχείων εἰςενεγκόντος τὸ ἐπιβάλλον μέρος, πρὸς ἐκ-

*πλήρωσιν αὐταρκεστάτης ὕλης, ἣν ἔδει λαβεῖν τὸν δημιουργὸν, ἵνα τεχνιτεύσηται τὴν ὁρατὴν ταύτην εἰκόνα. Καὶ προςέτι πᾶσι τοῖς λεχθεῖσιν, ὡς οἰκειοτάτοις καὶ συγγενεστάτοις χωρίοις ἐνδιαιτᾶται, τόπους ἀμείβων καὶ ἄλλοτε ἄλλοις ἐπιφοιτῶν. Ὡς κυριώτατα φάναι τὸν ἄνθρωπον πάντα εἶναι, χερσαῖον, ἔνυδρον, πτηνὸν, οὐράνιον. Ἧι μὲν γὰρ οἰκεῖ καὶ βέβηκεν ἐπὶ γῆς, χερσαῖον ζῶόν ἐστιν, ᾗ δὲ δύεται* 3
*καὶ νήχεται καὶ πλεῖ πολλάκις, ἔνυδρον. Ἔμποροι* 1
*καὶ ναύκληροι καὶ πορφυρεῖς, καὶ ὅσοι τὴν ἐπ᾽ ὀστρέοις καὶ ἰχθύσιν ἄγραν μετίασι, τοῦ λεχθέντος εἰσὶ σαφεστάτη πίστις. Ἧι δὲ μετέωρον ἀπὸ γῆς ἀνώφοιτον ἐξήρτηται τὸ σῶμα, λέγοιτ᾽ ἂν ἐνδίκως ἀεροπόρον εἶναι. πρὸς δὲ καὶ οὐράνιον, διὰ τῆς ἡγεμονικωτάτης τῶν αἰσθήσεων, ὄψεως, ἡλίῳ καὶ σελήνῃ καὶ ἑκάστῳ τῶν ἄλλων ἀστέρων πλανήτων καὶ ἀπλανῶν συνεγγίζον.*

§. 52. *Παγκάλως δὲ καὶ τὴν θέσιν τῶν ὀνομάτων ἀνῆψε τῷ πρώτῳ, σοφίας γὰρ καὶ βασιλείας τὸ ἔργον. Σοφὸς δὲ ἐκεῖνος αὐτομαθὴς καὶ αὐτοδίδακτος χάρισι θείαις γενόμενος, καὶ προςέτι δὲ βασιλεύς. Ἐμπρεπὲς δὲ ἡγεμόνι προσαγορεύειν ἕκα-*
36 *στον τῶν ὑπηκόων. Ὑπερβάλλουσα δὲ ὡς εἰκὸς δύ-*
M. *ναμις ἀρχῆς ἦν περὶ τὸν πρῶτον ἐκεῖνον ἄνθρωπον, ὃν σπουδῇ διαπλάσας ὁ θεὸς ἠξίου δευτερείων, ὕπαρχον μὲν αὐτοῦ τῶν δὲ ἄλλων ἡγεμόνα πάντων τιθείς. Ὁπότε καὶ οἱ τοσαύταις γενεαῖς ὕστερον φύντες, ἤδη τοῦ γένους διὰ μακρὰς χρόνων περιόδους ἐξιτήλου ὄντος, οὐδὲν ἧττον ἔτι δεσπόζουσι τῶν ἀλόγων, καθάπερ λαμπάδιον ἀρχῆς καὶ δυναστείας ἀπὸ τοῦ πρώτου διαδοθὲν φυλάττοντες. Φησὶν οὖν ὅτι "Πάντα τὰ ζῶα ἤγαγεν ὁ θεὸς πρὸς τὸν ἄνθρωπον, ἰδεῖν βουλόμενος, τίνας θήσεται προςρήσεις ἑκάστοις," οὐχ ὅτι ἐνεδοίαζεν, ἄγνωστον γὰρ οὐδὲν θεῷ, ἀλλ᾽ ὅτι ᾔδει τὴν λογικὴν ἐν θνητῷ φύσιν κατεσκευακὼς αὐτοκίνητον, ὅπως ἀμέτοχος*

αὐτὸς ἢ κακίας. Ἀπεπειρᾶτο δὲ ὡς ὑφηγητὴς γνωρίμου, τὴν ἐνδιάθετον ἕξιν ἀνακινῶν, καὶ προσέτι τῶν οἰκείων ἀνακαλῶν ἔργων, ἵνα ἐπαυτοματίσῃ τὰς θέσεις, μήτ᾽ ἀνοικείους, μήτ᾽ ἀναρμόστους, ἀλλ᾽ ἐμφαινούσας εὖ μάλα τὰς τῶν ὑποκειμένων ἰδιότητας. Ἀκράτου γὰρ ἔτι τῆς λογικῆς φύσεως ὑπαρχούσης ἐν ψυχῇ, καὶ μηδενὸς ἀῤῥωστήματος ἢ νοσήματος ἢ πάθους παρεισεληλυθότος, ταῖς φαντασίαις τῶν σωμάτων καὶ πραγμάτων ἀκραιφνεστάταις χρώμενος, εὐθυβόλους ἐποιεῖτο τὰς κλήσεις, εὖ μάλα στοχαζόμενος τῶν δηλουμένων, ὡς ἅμα λεχθῆναί τε καὶ νοηθῆναι τὰς φύσεις αὐτῶν. Οὕτω μὲν ἐν ἅπασι τοῖς καλοῖς διέφερεν, ὡς ἐπ᾽ αὐτὸ τὸ πέρας φθάνειν τῆς ἀνθρωπίνης εὐδαιμονίας.

§. 53. Ἐπεὶ δὲ οὐδὲν τῶν ἐν γενέσει βέβαιον, τροπὰς δὲ καὶ μεταβολὰς ἀναγκαίας τὰ θνητὰ δέχεται, ἐχρῆν καὶ τὸν πρῶτον ἄνθρωπον ἀπολαῦσαί τινος κακοπραγίας. Ἀρχὴ δὲ τῆς ὑπαιτίου ζωῆς αὐτῷ γίνεται γυνή. Μέχρι μὲν γὰρ εἷς ἦν, ὡμοιοῦτο τῷ κατὰ τὴν γένεσιν κόσμῳ καὶ θεῷ, καὶ τῆς ἑκατέρου φύσεως ἀπεμάττετο τῇ ψυχῇ τοὺς χαρακτῆρας, 35
οὐ πάντας, ἀλλ᾽ ὅσους χωρῆσαι δυνατὸν θνητὴν σύ- P.
στασιν. Ἐπεὶ δὲ ἐπλάσθη καὶ γυνὴ, θεασάμενος ἀδελφὸν εἶδος, καὶ συγγενῆ μορφὴν, ἐνησμένισε τῇ θέᾳ, καὶ προσιὼν ἠσπάζετο. Ἡ δὲ οὐδὲν ἐκείνου προςβλέπουσα ζῶον ἐμφερέστερον ἑαυτῇ, γάννυταί τε καὶ ἀντιπροςφθέγγεται μετ᾽ αἰδοῦς. Ἔρως δ᾽ ἐπιγενόμενος, καθάπερ ἑνὸς ζώου διττὰ τμήματα διεστηκότα συναγαγὼν εἰς ταὐτὸν, ἁρμόττεται, πόθον ἐνιδρυσάμενος ἑκατέρῳ τῆς πρὸς θάτερον κοινωνίας εἰς τὴν τοῦ ὁμοίου γένεσιν. Ὁ δὲ πόθος οὗτος καὶ τὴν τῶν σωμάτων ἡδονὴν ἐγέννησεν, ἥτις
37 ἐστὶν ἀδικημάτων καὶ παρανομημάτων ἀρχὴ, δι᾽
M. οὗ ὑπαλλάττονται τὸν θνητὸν καὶ κακοδαίμονα βίον ἀντ᾽ ἀθανάτου καὶ εὐδαίμονος.

§. 54. Ἔτι δὲ τοῦ ἀνδρὸς μονήρη βίον ζῶντος, μήπω διαπλασθείσης γυναικὸς, φυτευθῆναι λόγος ἔχει παράδεισον ὑπὸ θεοῦ, τοῖς παρ᾽ ἡμῖν οὐδὲν προςεοικότα. Τῶν μὲν γάρ ἐστιν ἄψυχος ἡ ὕλη, παντοίων δένδρων κατάπλεως, τῶν μὲν ἀειθαλῶν πρὸς τὴν ὄψεως ἀδιάστατον ἡδονὴν, τῶν δὲ ταῖς ἐαριναῖς ὥραις ἡβώντων καὶ βλαστανόντων, καὶ τὸν μὲν ἥμερον καρπὸν ἀνθρώποις φερόντων, οὐ πρὸς ἀναγκαίαν μόνον χρῆσιν τροφῆς, ἀλλὰ καὶ πρὸς περιττὴν ἀπόλαυσιν ἁβροδιαίτου βίου, τὸν δὲ ἀνήμερον, ὃς ἀναγκαίως θηρίοις ἀπενεμήθη. Κατὰ δὲ τὸν θεῖον παράδεισον ἔμψυχα καὶ λογικὰ τὰ φυτὰ πάντ᾽ εἶναι συμβέβηκε, καρπὸν φέροντα τὰς ἀρετὰς, καὶ προσέτι τὴν ἀδιάφθορον σύνεσιν καὶ ἀγχίνοιαν, ᾗ γνωρίζεται τὰ αἰσχρὰ καὶ καλὰ, ζωήν τε ἄνοσον καὶ ἀφθαρσίαν, καὶ πᾶν εἴ τι τούτοις ὁμοιότροπον. Ταῦτα δέ μοι δοκεῖ συμβολικῶς μᾶλλον ἢ κυρίως φιλοσοφεῖσθαι· δένδρα γὰρ ἐπὶ γῆς οὔτε πέφηνέ πω πρότερον, οὔτ᾽ αὖθις εἰκὸς φανεῖσθαι, ζωῆς ἢ συνέσεως. Ἀλλ᾽ ὡς ἔοικεν αἰνίττεται, διὰ μὲν τοῦ παραδείσου τὸ τῆς ψυχῆς ἡγεμονικὸν, ὅπερ ἐστὶ κατάπλεων, οἷα φυτῶν, μυρίων ὅσων δοξῶν· διὰ δὲ τοῦ δένδρου τῆς ζωῆς τὴν μεγίστην τῶν ἀρετῶν, θεοσέβειαν, δι᾽ ἧς ἀθανατίζεται ἡ ψυχή· διὰ δὲ τοῦ τῶν καλῶν καὶ πονηρῶν γνωστικοῦ, φρόνησιν τὴν μέσην, ᾗ διακρίνεται τὰ ἐναντία φύσει.

§. 55. Θέμενος οὖν τοὺς ὅρους τούτους ἐν ψυχῇ, καθάπερ δικαστὴς ἐσκόπει πρὸς πότερον ἐπικλινῶς ἕξει. Ὡς δὲ εἶδε ῥέπουσαν μὲν πρὸς πανουργίαν, ὁσιότητος δὲ καὶ εὐσεβείας ὀλιγωροῦσαν, ἐξ ὧν ἡ ἀθάνατος ζωὴ ἐπιγίνεται, προεβάλετο κατ᾽ εἰκὸς καὶ ἐφυγάδευσεν ἐκ τοῦ παραδείσου· μηδ᾽ ἐλπίδα τῆς εἰςαῦθις ἐπανόδου δυσίατα καὶ ἀθεράπευτα πλημμελούσῃ ψυχῇ παρασχών· ἐπεὶ καὶ ἡ τῆς ἀπάτης πρό- 36
φασις ἐπίληπτος ἦν οὐ μετρίως, ἣν οὐκ ἄξιον πα- P.
ρασιωπῆσαι. Λέγεται τὸ παλαιὸν τὸ ἰοβόλον καὶ

γηγενὲς ἑρπετὸν, ὄφις, ἀνθρώπου φωνὴν προΐ-
εσθαι. Καί ποτε προσελθὼν τῇ τοῦ πρώτου φύν-
τος ἀνδρὸς γυναικὶ, τῆς βραδυτῆτος καὶ τῆς ἄγαν
εὐλαβείας ὀνειδίσαι, διότι μέλλει καὶ ὑπερτίθεται
πάγκαλον ὀφθῆναι καὶ ἥδιστον ἀπολαυσθῆναι καρ-
πὸν δρέπεσθαι, πρὸς δὲ καὶ ὠφελιμώτατον, ᾧ δυνή-
σεται γνωρίζειν ἀγαθά τε αὖ καὶ κακά. Τὴν δὲ ἀνεξε-
τάστως ἀπὸ γνώμης ἀβεβαίου καὶ ἀνιδρύτου συναι-
38 νέσασαν ἐμφαγεῖν τοῦ καρποῦ, καὶ τῷ ἀνδρὶ μετα-
M. δοῦναι, — καὶ τοῦτ᾽ ἐξαπιναίως ἀμφοτέρους ἐξ ἀκα-
κίας καὶ ἁπλότητος ἠθῶν εἰς πανουργίαν μετέβαλεν, —
ἐφ᾽ ᾧ τὸν πατέρα χαλεπήναντα — ἡ γὰρ πρᾶξις ὀργῆς
ἀξία, ἐπεὶ παρελθόντες τὸ ζωῆς ἀθανάτου φυτὸν, τὴν
ἀρετῆς παντέλειαν, ὑφ᾽ ἧς μακραίωνα καὶ εὐδαίμονα
βίον ἐδύναντο καρποῦσθαι, τὸν ἐφήμερον καὶ θνη-
τὸν, οὐ βίον, ἀλλὰ χρόνον κακοδαιμονίας μεστὸν εἵ-
λοντο — κολάσεις ὁρίσαι κατ᾽ αὐτῶν τὰς προσηκούσας.

§. 56. Ἔστι δὲ ταῦτα οὐ πλάσματα μύθων, οἷς τὸ ποιητικὸν καὶ σοφιστικὸν χαίρει γένος, ἀλλὰ τρόπον τύπων, ἐπ᾽ ἀλληγορίαν παρακαλούντων, κατὰ τὰς δι᾽ ὑπονοιῶν ἀποδόσεις. Ἑπόμενος δέ τις εἰκότι στοχασμῷ, φήσει προσηκόντως τὸν εἰρημένον ὄφιν ἡδονῆς εἶναι σύμβολον, ὅτι πρῶτον μὲν ἄπους ἐστὶ, πρηνὴς πεπτωκὼς ἐπὶ γαστέρα· δεύτερον δὲ, ὅτι γῆς βώλοις σιτίῳ χρῆται· τρίτον δὲ, ὅτι τὸν ἰὸν ἐπιφέρεται τοῖς ὀδοῦσιν, ᾧ τοὺς δηχθέντας ἀναιρεῖν πέφυκεν. Οὐδενὸς δὲ τῶν λεχθέντων ὁ φιλήδονος ἀμοιρεῖ. Μόλις τε γὰρ τὴν κεφαλὴν ἐπαίρει, βαρυνόμενος καὶ καθελκόμενος, ἐκτραχηλιζούσης καὶ ὑποσκελιζούσης τῆς ἀκρασίας. Σιτεῖταί τε οὐκ οὐράνιον τροφὴν, ἣν ὀρέγει τοῖς φιλοθεάμοσι διὰ λόγων καὶ δογμάτων σοφία· τὴν δ᾽ ἀναδιδομένην ἐκ γῆς κατὰ τὰς ἐτησίους ὥρας, ἐξ ἧς οἰνοφλυγίαι καὶ ὀψοφαγίαι καὶ λαιμαργίαι, τὰς γαστρὸς ἐπιθυμίας προσαναῤῥηγνύουσαι καὶ ἀναῤῥιπίζουσαι καὶ ἀνδραποδίζουσαι πρὸς γαστριμαργίαν, συναύξουσι

καὶ ἀναῤῥηγνύουσι τοὺς ὑπογαστρίους οἴστρους. Σιτοπόνων τε γὰρ καὶ ὀψαρτυτῶν κάματον περιλιχνεύουσι. Καί τις ἀπὸ τῶν ἡδυσμάτων κνίσσης ἐν κύκλῳ τὴν κεφαλὴν περιάγων μεταλαμβάνειν ἤδη τῆς θέας ὀρέγεται, καὶ ὁπότε πολυτελῆ τράπεζαν θεάσαιτο, ἐπιβαλὼν αὐτὸν ὅλον ἐπὶ τὰ εὐτρεπισθέντα ἐκχεῖται, πάντων ἀθρόον σπουδάζων ἐμφορεῖσθαι, τέλος οὐκ ἄλλο, ἢ τὸ μηδὲν ὑπολείπεσθαι τῶν εὐ- 3
τρεπισθέντων ποιούμενος. Ὅθεν οὐχ ἧττον ὄφεως P
αὐτοῖς ὀδοῦσιν ἐπιφέρεται τὸν ἰόν· οὗτοι γάρ εἰσιν ἀπληστίας ὑπηρέται καὶ ὑπουργοὶ, πάνθ᾽ ὅσα πρὸς ἐδωδὴν τέμνοντές τε καὶ λεαίνοντες, καὶ τὸ μὲν πρῶτον γλώττῃ παραδιδόντες τῇ χυλοὺς δικαζούσῃ
39 πρὸς ἐπίκρισιν, ἔπειτα δὲ φάρυγγι. Σιτίων δὲ ἀμε-
M. τρία θανατῶδες φύσει καὶ ἰοβόλον, ἅτε πέψιν οὐκ ἐνδεχομένων διὰ τὴν τῶν ἐπεισιόντων ἐπιφορὰν, ἣ γίνεται πρὶν ἐξικμασθῆναι καὶ τὰ πρότερα. Φωνὴν δὲ ἀνθρώπειον ὄφις λέγεται προΐεσθαι, διότι μυρίοις ὑπερμάχοις καὶ προαγωνισταῖς ἡδονὴ χρῆται τὴν ἐπιμέλειαν αὐτῆς ἀνειληφόσιν, οἳ τολμῶσιν ἀναδιδάσκειν, ὅτι τὸ πάντων κράτος ἀνῆπται μικρῶν τε καὶ μεγάλων οὐδενὸς ὑπεξῃρημένου τὸ παράπαν.

§. 57. Ἀλλ᾽ αἵ τε πρῶται τοῦ ἄῤῥενος πρὸς τὸ θῆλυ σύνοδοι ξεναγὸν ἔχουσιν ἡδονὴν, αἵ τε σποραὶ καὶ γενέσεις διὰ ταύτης συνίστανται. Τά τε γεννώμενα οὐδενὶ πρῶτον οἰκειοῦσθαι πέφυκεν ἢ ταύτῃ, χαίροντα μὲν ἡδονῇ, τὴν δὲ ἐναντίαν ἀλγηδόνα δυσχεραίνοντα. Παρὸ καὶ ἀποκλαίεται τὸ βρέφος ἀποκυηθὲν, ἀλγῆσαν, ὡς ἔοικε, τῇ περιψύξει. Ἐκ γὰρ θερμοτάτου καὶ πυρωδεστάτου χωρίου τοῦ κατὰ τὴν μήτραν, ᾧ πολὺν χρόνον ἐνδιῃτήθη, προελθὸν ἐξαπιναίως εἰς ἀέρα, ψυχρὸν καὶ ἀσυνήθη τόπον, ἐπλήχθη, καὶ τῆς ὀδύνης καὶ τοῦ δυσχεραίνειν ἀλγηδόνι τὰ κλαύματα δεῖγμα παρέχει ἐναργέστατον. Σπεύδει τε γὰρ, φασὶ, πᾶν ζῶον, ὡς ἐπὶ ἀναγκαιότατον καὶ συνεκτικώτατον τέλος, ἡδονὴν, καὶ μάλιστα ἄνθρω-

πος. Τὰ μὲν γὰρ διὰ γεύσεως μόνον καὶ τῶν γεν-
νητικῶν ἐφίεται ταύτης· ἄνθρωπος καὶ διὰ τῶν ἄλ-
λων αἰσθήσεων, ὅσα θεάματα ἢ ἀκούσματα τέρψιν δύ-
ναται παρασχεῖν ὠσὶ καὶ ὀφθαλμοῖς μεταδιώκων. Λέγε-
ται δὲ καὶ πρὸς ἔπαινον τοῦ πάθους ἄλλα παμπληθῆ,
καὶ ὡς ἐστιν οἰκειότατον καὶ συγγενέστατον ζώοις.

§. 58. Ἀπόχρη δὲ δείγματος ἕνεκα καὶ τὰ νῦν εἰ-
ρημένα, ὧν χάριν ἀνθρωπίνην φωνὴν ἔδοξεν ὁ ὄφις
προΐεσθαι. Διό μοι δοκεῖ καὶ ἐν τοῖς κατὰ μέρος
νόμοις, οὓς περὶ ζώων ἔγραψεν, ἅτε χρὴ προσφέρε-
σθαι, καὶ ἃ τὸ ἐναντίον, ἐπαινέσαι μάλιστα τὸν
ὀφιομάχην ἐπικαλούμενον. Ἑρπετὸν δέ ἐστιν ἔχον
ἀνωτέρω σκέλη τῶν ποδῶν, οἷς ἀπὸ γῆς πέφυκε
πηδᾶν καὶ μετέωρον αἴρεσθαι, καθάπερ τὸ τῶν
ἀκρίδων γένος. Ὁ γὰρ ὀφιομάχης οὐδὲν ἄλλο ἢ
συμβολικῶς ἐγκράτεια εἶναί μοι δοκεῖ, μάχην ἀκα-
θαίρετον καὶ πόλεμον ἄσπονδον ἐκφέρουσα πρὸς
ἀκρασίαν καὶ ἡδονήν. Ἡ μὲν γὰρ εὐτέλειαν καὶ ὀλι-
γοδείαν, καὶ ὅσον ἀναγκαῖον, φιλαυστήρῳ καὶ σεμνῷ
βίῳ, διαφερόντως ἀσπάζεται· ἡ δὲ πολυεργίαν καὶ 38
πολυτέλειαν, ἃ χλιδῆς καὶ θρύψεως αἴτια γίνεται τῇ P.
ψυχῇ τε καὶ τῷ σώματι, δι' ὧν τὴν ὑπαίτιον καὶ
θανάτου χαλεπωτέραν ζωὴν παρὰ τοῖς εὐφρονοῦσι
συμβέβηκε γίνεσθαι.

§. 59. Τὰς δὲ γοητείας καὶ ἀπάτας αὐτῆς ἡ
ἡδονὴ τῷ μὲν ἀνδρὶ οὐ τολμᾷ προσφέρειν, τῇ δὲ
40 γυναικὶ, καὶ διὰ ταύτης ἐκείνῳ· πάνυ προσφυῶς καὶ
M. εὐθυβόλως. Ἐν ἡμῖν γὰρ ἀνδρὸς μὲν ἔχει λόγον ὁ
νοῦς, γυναικὸς δὲ αἴσθησις. Ἡδονὴ δὲ προτέραις
ἐντυγχάνει καὶ ἐνομιλεῖ ταῖς αἰσθήσεσι, δι' ὧν καὶ
τὸν ἡγεμόνα νοῦν φενακίζει. Ἐπειδὰν γὰρ ἑκάστη
τῶν αἰσθήσεων τοῖς φίλτροις αὐτῆς ὑπαχθῇ, χαί-
ρουσα τοῖς προτεινομένοις, — ἐπὶ χρωμάτων μὲν
καὶ σχημάτων ποικιλίαις ὄψις, ἐπὶ δὲ φωνῶν ἐμμε-
λείαις ἀκοὴ, ἐν δὲ χυλῶν ἡδύτησι γεῦσις, καὶ ἐκ
τῆς τῶν ἀναδιδομένων ἀτμῶν εὐωδίας ὄσφρησις, —

δεξάμεναι τὰ δῶρα θεραπαινίδων τρόπον προσφέ-
ρουσιν οἷα δεσπότῃ, τῷ λογισμῷ, παράκλητον ἐπα-
γόμεναι πειθὼ, περὶ τοῦ μηδὲν ἀπώσασθαι τὸ πα-
ράπαν. Ὁ δὲ αὐτίκα δελεασθεὶς, ὑπήκοος ἀνθ᾽ ἡ-
γεμόνος, καὶ δοῦλος ἀντὶ δεσπότου, καὶ ἀντὶ πολί-
του φυγὰς, καὶ θνητὸς ἀντ᾽ ἀθανάτου γίνεται. Συν-
όλως γὰρ οὐκ ἀγνοητέον, ὅτι οἷα ἑταιρὶς καὶ μά-
χλος οὖσα ἡδονὴ γλίχεται τυχεῖν ἐραστοῦ, καὶ μα-
στροποὺς ἀναζητεῖ, δι᾽ ὧν τοῦτον ἀγκιστρεύσεται.
Μαστροπεύουσι δὲ αὐτῇ καὶ προξενοῦσι τὸν ἔρωτα
αἰσθήσεις, ἃς δελεάσασα ῥᾳδίως ὑπηγάγετο τὸν νοῦν·
ᾧ τὰ φανέντα ἐκτὸς εἴσω κομίζουσαι, διαγγέλλουσι
καὶ ἐπιδείκνυνται τοὺς τύπους ἑκάστων, ἐνσφραγιζό-
μεναι τὸ ὅμοιον πάθος. Κηρῷ γὰρ ἐοικὼς δέχεται
τὰς διὰ τῶν αἰσθήσεων φαντασίας, αἷς τὰ σώματα
καταλαμβάνει, δι᾽ αὐτοῦ μὴ δυνάμενος, καθάπερ
ἤδη εἶπον.

§. 60. Τὰ δὲ ἐπίχειρα τῆς ἡδονῆς εὐθὺς ἤραντο
οἱ πρότερον γενόμενοι δοῦλοι χαλεποῦ καὶ δυσιάτου
πάθους. Ἡ μὲν γυνὴ σφοδρὰς ἀνίας ἐνδεξαμένη,
τὰς ἐν ὠδῖσι, καὶ τὰς παρὰ τὸν ἄλλον βίον ἐπαλ-
λήλους λύπας, καὶ μάλιστα τὰς ἐπὶ τέκνοις γεννω-
μένοις καὶ τρεφομένοις, καὶ νοσοῦσι καὶ ὑγιαίνουσι,
καὶ εὐτυχοῦσι καὶ ἀτυχοῦσιν, εἰς ἀφαίρεσιν ἐλευθε-
ρίας καὶ τὴν ἀπὸ τοῦ συνόντος ἀνδρὸς δεσποτείαν,
οὗ τοῖς ἐπιτάγμασι πειθαρχεῖν ἀναγκαῖον. Ὁ δὲ
ἀνὴρ ἐν μέρει πόνους καὶ ταλαιπωρίας καὶ συνεχεῖς
ἱδρῶτας, ἕνεκα πορισμοῦ τῶν ἀναγκαίων, καὶ στέ-
ρησιν μὲν τῶν αὐτομάτων ἀγαθῶν, ἅπερ ἐδιδάχθη
φέρειν ἡ γῆ δίχα γεωργικῆς ἐπιστήμης, ἀτρύτων δὲ
μετουσίαν καμάτων εἰς ζήτησιν βίου καὶ τροφῆς,
ὑπὲρ τοῦ μὴ λιμῷ παραπολέσθαι. Οἶμαι γὰρ, ὥς- 39
περ ἥλιον καὶ σελήνην ἀεὶ φωσφορεῖν, ἅπαξ κελευ- P.
σθέντας ἅμα τῇ πρώτῃ γενέσει τοῦ παντὸς, καὶ
41 τὸ θεῖον πρόσταγμα διατηρεῖν, οὐδενὸς ἑτέρου χά-
M. ριν, ἢ ὅτι τῶν ὅρων οὐρανοῦ μακρὰν κακία πεφυ-

γάδευται· τὸν αὐτὸν τρόπον καὶ τῆς γῆς τὴν βαθεῖαν καὶ καρποφόρον, ἄνευ τέχνης καὶ συμπράξεως γεωπόνων ἀνδρῶν, φέρειν ἂν πολλὴν ἀφθονίαν κατὰ τὰς ἐτησίους ὥρας. Νυνὶ δὲ αἱ ἀέναοι πηγαὶ τῶν τοῦ θεοῦ χαρίτων ἐπεσχέθησαν, ὅτε ἤρξατο κακία τὰς ἀρετὰς παρευημερεῖν, ἵνα μὴ ὡς ἀναξίοις χορηγῶσιν. Ἔδει μὲν οὖν τὸ ἀνθρώπων γένος, εἰ τὴν ἁρμόττουσαν ἔμελλε δίκην ὑπομένειν, ἠφανίσθαι διὰ τὴν πρὸς τὸν εὐεργέτην καὶ σωτῆρα θεὸν ἀχαριστίαν. Ὁ δὲ, ἅτε τὴν φύσιν ἵλεως, οἶκτον λαβὼν ἐμετρίασε τὴν τιμωρίαν. Τὸ μὲν γένος ἐάσας διαμένειν, τὰς δὲ τροφὰς οὐκέθ᾽ ὁμοίως ἐξ ἑτοίμου παρασχὼν, ἵνα μὴ δυσὶ κακοῖς ἀργίᾳ καὶ κόρῳ χρώμενοι, πλημμελῶσι καὶ ὑβρίζωσι.

§. 61. Τοιοῦτος μὲν ὁ βίος τῶν ἐν ἀρχῇ μὲν ἀκακίᾳ καὶ ἁπλότητι χρωμένων· αὖθις δὲ κακίαν ἀντ᾽ ἀρετῆς προτιμώντων, ὧν ἄξιον ἀπέχεσθαι. Διὰ δὲ τῆς λεχθείσης κοσμοποιΐας πολλὰ μὲν καὶ ἄλλα ἡμᾶς ἀναδιδάσκει Μωϋσῆς, πέντε δὲ τὰ κάλλιστα καὶ πάντων ἄριστα. Πρῶτον μὲν, ὅτι ἔστι καὶ ὑπάρχει τὸ θεῖον, διὰ τοὺς ἀθέους. Ὧν οἱ μὲν ἐνεδοίασαν ἐπαμφοτερίσαντες περὶ τῆς ὑπάρξεως αὐτοῦ· οἱ δὲ τολμηρότεροι καὶ κατεθρασύναντο, φάμενοι μηδ᾽ ὅλως εἶναι, λέγεσθαι δὲ αὐτὸ μόνον πρὸς ἀνθρώπων πλάσμασι μυθικοῖς ἐπισκιασάντων τὴν ἀλήθειαν. Δεύτερον δὲ, ὅτι θεὸς εἷς ἐστι, διὰ τοὺς εἰσηγητὰς τῆς πολυθέου δόξης, οἳ οὐκ ἐρυθριῶσι τὴν φαυλοτάτην τῶν κακοπολιτειῶν ὀχλοκρατείαν ἀπὸ γῆς εἰς οὐρανὸν μετοικίζοντες. Τρίτον δὲ, ὡς ἤδη λέλεκται, ὅτι γενητὸς ὁ κόσμος, διὰ τοὺς οἰομένους αὐτὸν ἀγέννητον καὶ ἀΐδιον εἶναι, οἳ πλεῖον οὐδὲν ἀπονέμουσι θεῷ. Τέταρτον δὲ, ὅτι καὶ εἷς ἐστιν ὁ γεγονὼς κόσμος, ἐπειδὴ καὶ εἷς ὁ δημιουργὸς, ὃς ἐξομοιώσας αὑτῷ κατὰ τὴν μόνωσιν τὸ ἔργον, πάσῃ κατεχρήσατο τῇ οὐσίᾳ εἰς τὴν τοῦ ὅλου γένεσιν. Ὅλον γὰρ οὐκ ἂν ἦν, εἰ μὴ ἐξ ὅλων ἐπάγη

καὶ συνέστη τῶν μερῶν. Εἰσὶ γὰρ οἱ πλείους παραλαμβάνοντες κόσμους εἶναι, οἱ δὲ καὶ ἀπείρους, ἄπειροι καὶ ἀνεπιστήμονες αὐτοὶ πρὸς ἀλήθειαν ὄντες, ὧν καλὸν ἐπιστήμην ἔχειν. Πέμπτον δὲ, ὅτι καὶ προνοεῖ τοῦ κόσμου ὁ θεός. Ἐπιμελεῖσθαι γὰρ ἀεὶ τὸ πεποιηκὸς τοῦ γεγεννημένου, φύσεως νόμοις καὶ θεσμοῖς ἀναγ- 40
42 καῖον, καθὼς καὶ γονεῖς τέκνων προμηθοῦνται. Ὁ OP.
M. δὲ ταῦτα μὴ ἀκοῇ μᾶλλον ἢ διανοίᾳ προμαθὼν, καὶ ἐν τῇ αὐτοῦ ψυχῇ σφραγισάμενος, θαυμάσια καὶ περιμάχητα εἴδη, ὅτι τε ἔστι καὶ ὑπάρχει θεὸς, καὶ ὅτι εἷς ὁ ὢν ὄντως ἐστὶ, καὶ ὅτι πεποίηκε τὸν κόσμον, καὶ πεποίηκεν ἕνα, ὡς ἐλέχθη, κατὰ τὴν μόνωσιν ἐξομοιώσας ἑαυτῷ, καὶ ὅτι ἀεὶ προνοεῖ τοῦ γεγονότος· μακαρίαν καὶ εὐδαίμονα ζωὴν βιώσεται, δόγμασιν εὐσεβείας καὶ θειότητος χαραχθεῖσαν.

# ΝΟΜΩΝ ΙΕΡΩΝ

## ΑΛΛΗΓΟΡΙΑΙ ΠΡΩΤΑΙ

### ΤΩΝ ΜΕΤΑ ΤΗΝ ʽΕΞΑΗΜΕΡΟΝ.

# SACRARUM LEGUM

## ALLEGORIARUM

## POST SEX DIERUM OPUS.

### LIBER I.

---

## Argumentum.

(Cf. Gen. 2, 1 sqq.)

(1) Coeli et terrae creatione indicatur mentis sensuumque perfectio, quae (2) inde censenda, quod deus sex diebus illa absolvit; senarius enim numerus perfectus. Septimo die (3) deus quievit, — h. e. creatis alia addere desiit; deus enim agendo nunquam cessat, — propter septenarii (4 et 5) virtutes eximias. Ad huius (6 et 7) igitur numeri rationem mores sunt componendi. Libro (8) generationis verbum dei, (9) coelo intellectus, terrâ sensus (10), virente agri intelligibile, pluviâ efficacia dei, fonte (11) animus innuuntur. Hominis (12 et 13) natura duplex, cuius pars sublimior debetur afflatui divino. Paradisus (14) est sapientia terrena, i. e. virtus. Plantatio (15) paradisi figurate indicat, a deo amorem virtutis hominum animis inseri. Homo (16), quem deus in paradiso posuit, duplex, et corporeus et spiritualis, quorum ille eiectus est, hic mansit. Arbores (17) sunt virtutes; arbor vitae (18) virtus illa universalis, ex qua speciales procedunt, quae quatuor fluviis Edem (19 - 24) innuuntur, prudentia, fortitudo, temperantia, iustitia. Aurum (25) est prudentia illa, quae dei sapientiae inest. Carbunculus (26) et lapis prasinus referunt prudentiam et virtutem humanam. Physon et Geon (27) cir-

cummeant regiones quasdam, ut significetur, prudentiam cum fortitudine iunctam murum esse contra vitia opposita. Homo (28), quem deus apprehendit, purior est illa hominis pars, quam intra virtutes posuit, ut bona operetur; pars hominis terrena est, quae dicitur Adam (29). Hic cunctis animalibus nomina imposuit, sibi non; quod factum (30), quia homo se ipsum naturamque suam ignorat. Protoplastis (31) omnibus bonarum arborum, i. e. virtutum, fructus frui licuit; arbor (32), cuius fructus tangi vetuit, extra paradisum erat, utut malum extra bonum. Quam dum vitari iussit, homines voluit sapientiam sequi, quae maxime in abstinentia a rebus sensus excitantibus cernitur. (33) Mors, quam deus praecepta sua transgredientibus minatus est, non est mors corporis, sed animae, i. e. assumptio vitii, quae sola hominis perniciem efficit.

---

43 §. 1. "Καὶ ἐτελέσθησαν οἱ οὐρανοὶ καὶ ἡ γῆ,
M. καὶ πᾶς ὁ κόσμος αὐτῶν." *) Νοῦ καὶ αἰσθήσεως γένεσιν εἰπὼν πάλαι, νῦν δι᾽ ἀμφοτέρων τελείωσιν διασυνίστησιν. Οὔτε δὲ νοῦν τὸν ἄτομον, οὔτε αἴσθησιν τὴν ἐν μέρει πέρας εἰληφέναι φησὶν, ἀλλ᾽ ἰδέας, τὴν μὲν νοῦ τὴν δὲ αἰσθήσεως. Συμβολικῶς μὲν τὸν νοῦν οὐρανὸν, ἐπειδὴ αἱ νοηταὶ φύσεις ἐν οὐρανῷ, τὴν δὲ αἴσθησιν καλεῖ γῆν, ὅτι σύστασιν σωματοειδῆ καὶ γεωδεστέραν ἔλαχεν αἴσθησις. Κόσμος δὲ νοῦ μὲν, τὰ ἀσώματα καὶ νοητὰ πάντα· αἰσθήσεως δὲ, τὰ ἐνσώματα καὶ ὅσα συνόλως αἰσθητά.

44 §. 2. "Καὶ συνετέλεσεν ὁ θεὸς ἐν τῇ ἡμέρᾳ τῇ
M. ἕκτῃ ἔργον αὐτοῦ ὃ ἐποίησεν." Εὔηθες πάνυ τὸ 41
οἴεσθαι ἓξ ἡμέραις, ἢ καθόλου χρόνῳ κόσμον γεγο- P.
νέναι, διότι σύμπας ὁ χρόνος ἡμερῶν καὶ νυκτῶν ἐστι διάστημα, καὶ ταῦτα ἡλίου κίνησις ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἰόντος ἐξ ἀνάγκης ἀποτελεῖ. Ἥλιος δὲ

*) Gen. 2, 1 sqq.

μέρος οὐρανοῦ γέγονεν, ὥςτε χρόνον ἀνομολογεῖσθαι νεώτερον κόσμου. Λέγοιτ᾽ ἂν οὖν ὀρθῶς, ὅτι οὐκ ἐν χρόνῳ γέγονε κόσμος, ἀλλὰ διὰ κόσμου συνέστηκε χρόνος· ἡ γὰρ οὐρανοῦ κίνησις χρόνου φύσιν ἔδειξεν. Ὅταν οὖν λέγῃ, "Συνετέλεσεν ἕκτῃ ἡμέρᾳ τὰ ἔργα," νοητέον ὅτι οὐ πλῆθος ἡμερῶν παραλαμβάνει, τέλειον δὲ ἀριθμὸν τὸν ἕξ. ἐπειδὴ πρῶτος ἴσος ἐστὶ τοῖς ἑαυτοῦ μέρεσιν, ἡμίσει καὶ τρίτῳ, καὶ ἕκτῳ, καὶ ἀπὸ ἑτερομήκους συνίσταται, τοῦ δὶς τρία. Δυὰς μέντοι καὶ τριὰς ἐκβέβηκε τὴν κατὰ τὸ ἓν ἀσωματότητα, ὅτι ἡ τῆς μὲν ὕλης ἐστὶν εἰκὼν, διαιρουμένη καὶ τεμνομένη καθάπερ ἐκείνη· τριὰς δὲ στερεοῦ σώματος, ὅτιπερ τριχῆ τὸ στερεὸν διαιρετόν. Οὐ μὴν ἀλλὰ καὶ συγγενὴς ἐστι ταῖς τῶν ὀργανικῶν ζώων κινήσεσιν. Ἑξαχῆ γὰρ τὸ ὀργανικὸν σῶμα πέφυκε κινεῖσθαι, πρόσω, κατόπιν, ἄνω, κάτω, ἐπὶ δεξιὰ καὶ εὐώνυμα. Βούλεται γοῦν τά τε θνητὰ γένη, καὶ πάλιν αὖ τὰ ἄφθαρτα κατὰ τοὺς οἰκείους ἐπιδεῖξαι συστάντα ἀριθμούς. Τὰ μὲν θνητὰ ὡς ἔφην, καταμετρῶν ἑξάδι, τὰ δὲ μακάρια καὶ εὐδαίμονα ἑβδομάδι. Πρῶτον οὖν ἑβδόμῃ ἡμέρᾳ καταπαύσας τὴν τῶν θνητῶν σύστασιν, ἄρχεται ἑτέρων θειοτέρων διατυπώσεων.

§. 3. Παύεται γὰρ οὐδέποτε ποιῶν ὁ θεὸς, ἀλλ᾽ ὥςπερ ἴδιον τὸ καίειν πυρὸς, καὶ χιόνος τὸ ψύχειν, οὕτω καὶ θεοῦ τὸ ποιεῖν· καὶ πολύ γε μᾶλλον, ὅσῳ καὶ τοῖς ἄλλοις ἅπασιν ἀρχὴ τοῦ δρᾶν ἐστιν. Εὖ μέντοι καὶ τὸ φάναι "κατέπαυσεν," οὐχὶ "ἐπαύσατο." παύει μὲν γὰρ τὰ δοκοῦντα ποιεῖν, οὐκ ἐνεργοῦντα· οὐ παύεται δὲ ποιῶν αὐτός. Διὰ καὶ ἐπιφέρει, "Κατέπαυσεν ὧν ἤρξατο." Ὅσα μὲν γὰρ ταῖς ἡμετέραις τέχναις δημιουργεῖται, ταῦτα τελειωθέντα ἵσταται καὶ μένει, ὅσα δὲ ἐπιστήμῃ θεοῦ περαιωθέντα, πάλιν κινεῖται. Τὰ γὰρ τέλη αὐτῶν ἑτέρων εἰσὶν ἀρχαὶ, οἷον ἡμέρας τέλος, νυκτὸς ἀρχή.

45 Καὶ μῆνα δὲ καὶ ἐνιαυτὸν ἐνισταμένους, ἀρχὴν δή-
M. που τῶν ἑξῆς ἰόντων ὑποληπτέον. Φθειρομένων τε αὖ γένεσις ἑτέρων, καὶ φθορὰ γενομένων ἄλλων ἀποτελεῖται, ὥςτε ἀληθὲς εἶναι τὸ λεγόμενον, ὅτι

---- θνήσκει δὲ οὐδὲν
Τῶν γινομένων· διακρινόμενον
Δ' ἄλλο πρὸς ἄλλο
Μορφὴν ἑτέραν ἀπέδειξε.

§. 4. Χαίρει δὲ ἡ φύσις ἑβδομάδι· πλάνητές τε γὰρ ἑπτὰ γεγόνασιν, ἀντίῤῥοποι τῇ κατὰ ταὐτὰ καὶ ὡςαύτως ἐχούσῃ φορᾷ. Καὶ ἄρκτος ἑπτὰ ἄ- 4
στροις συμπληροῦται, κοινωνίας καὶ ἑνώσεως ἀνθρώ- P
πων, οὐκ ἐπιμιξίας αὐτὸ μόνον, οὖσα αἰτία. Καὶ τροπαὶ δὲ σελήνης ἑβδομάσι γίνονται, συμπαθεστάτου πρὸς τὰ ἐπίγεια τοῦ ἄστρου. Καὶ ἃς κατὰ τὸν ἀέρα μεταβολὰς ἐργάζεται, μάλιστα τοῖς κατὰ ἑβδομάδα σχηματισμοῖς ἀποτελεῖ. Τά γε μὴν θνητὰ, ὥς ἔφην, ἅπαντα σπάσαντα ἀπ' οὐρανοῦ θειοτέραν ἀρχὴν, κατὰ ἑβδομάδα σωτηρίως κινεῖται. Τίς γὰρ οὐκ οἶδεν, ὅτι τῶν βρεφῶν τὰ μὲν ἑπταμηνιαῖα γόνιμα, τὰ δὲ πλείω χρόνον προςλαβόντα, ὡς ὀκτὼ μῆνας ἐνδιαιτηθῆναι γαστρὶ, κατὰ τὸ πλεῖστον ἄγονα; Λογικόν τέ φασιν ἄνθρωπον κατὰ τὴν πρώτην ἑπταετίαν γίγνεσθαι, ὅτε ἤδη ἱκανός ἐστιν ἑρμηνεὺς εἶναι τῶν συνήθων ὀνομάτων καὶ ῥημάτων, λογικὴν ἕξιν περιποιούμενος. κατὰ δὲ τὴν δευτέραν ἑπταετίαν ἄκρως τελειοῦσθαι, τελείωσις δέ ἐστι δύναμις τῆς τοῦ ὁμοίου σπορᾶς· περὶ γὰρ τὴν τετταρεςκαιδεκάτην ἡλικίαν τὸ ὅμοιον γεννᾶν δυνάμεθα. Τρίτη πάλιν ἑπταετία πέρας ἐστὶν αὐξήσεως· ἄχρι γὰρ ἑνὸς καὶ εἴκοσιν ἐτῶν ἐπιδίδωσιν εἰς μέγεθος ἄνθρωπος, καὶ καλεῖται παρὰ πολλοῖς ὁ χρόνος οὗτος ἀκμή. Ψυχῆς γε μὴν τὸ ἄλογον ἑπταμερὲς, αἰσθήσεις πέντε, καὶ φωνητήριον ὄργανον, καὶ τὸ διῆκον ἄχρι παραστατῶν, ὃ δὴ γόνιμόν ἐστι. Πάλιν αὖ σώματος ἑπτὰ κινήσεις, ὀργανικαὶ μὲν ἕξ, ἑβδόμη δὲ ἡ

κύκλῳ. Σπλάγχνα γε μὴν ἑπτὰ, στόμαχος, καρδία,
σπλὴν, ἧπαρ, πνεύμων, νεφροὶ δύο. Μέλη δὲ σώ-
ματος ὁμοίως ἰσάριθμα, κεφαλὴ, τράχηλος, στέρ-
νον, χεῖρες, κοιλία, ἦτρον, πόδες. Τό γε ἡγεμονι-
κώτατον τοῦ ζώου πρόσωπον, ἑπταχῇ κατατέτρηται,
δυσὶν ὀφθαλμοῖς, καὶ ὠσὶ δυσὶν, ἴσοις μυκτῆρσιν,
ἑβδόμῳ στόματι. Αἵ τε ἀποκρίσεις ἑπτὰ, δάκρυα,
μύξαι, σίελος, σπέρμα, διττοὶ περιττωμάτων ὀχετοὶ,
καὶ δι' ὅλου τοῦ σώματος ἱδρώς. Ἐν μὲν οὖν ταῖς
νόσοις κριτικωτάτη ἑβδομάς. Καὶ γυναιξὶ δὲ αἱ κα-
ταμήνιοι καθάρσεις ἄχρις ἑβδομάδος παρατείνουσι.

46 §. 5. Διελήλυθε δὲ ἡ δύναμις αὐτῆς καὶ ἐπὶ
M. τὰς ὠφελιμωτάτας τῶν τεχνῶν, τὴν γραμματικήν.
Τὰ γοῦν ἐν γραμματικῇ ἄριστα τῶν στοιχείων καὶ
πλείστην ἔχοντα δύναμιν, ἑπτά ἐστι φωνήεντα. Κα-
τά τε μουσικὴν ἡ ἑπτάχορδος λύρα, πάντων σχεδὸν
ὀργάνων ἀρίστη· διότι τὸ ἐναρμόνιον, ὃ δὴ τῶν με-
λῳδουμένων γενῶν ἐστι τὸ σεμνότατον, κατ' αὐτὴν
μάλιστά πως θεωρεῖται. Τάς τε τῶν φθόγγων τάσεις
ἑπτὰ εἶναι συμβέβηκεν, ὀξὺν, βαρὺν, περισπώμενον,
δασὺν, ψιλὸν, μακρὸν, βραχύν. Καὶ πρῶτός ἐστιν
ἀπὸ τελείου τοῦ ἓξ καὶ μονάδος. Κατά τινα λόγον 43
οἱ ἐντὸς δεκάδος ἀριθμοὶ γεννῶνται ἢ γεννῶσι τοὺς P.
ἐντὸς δεκάδος καὶ αὐτήν· ἡ δέ γε ἑβδομὰς οὔτε
γεννᾷ τινα τῶν ἐντὸς δεκάδος ἀριθμῶν, οὔτε γεννᾶ-
ται ὑπό τινος. Παρ' ὃ μυθεύοντες οἱ Πυθαγόρειοι
τῇ ἀειπαρθένῳ καὶ ἀμήτορι αὐτὴν ἀπεικάζουσιν, ὅτι
οὔτε ἀπεκυήθη, οὔτε ἀποτέξεται.

§. 6. "Κατέπαυσεν οὖν τῇ ἑβδόμῃ ἡμέρᾳ ἀπὸ
πάντων τῶν ἔργων αὐτοῦ ὧν ἐποίησε."*) Τοῦτο δὲ
ἐστὶ τοιοῦτο· τὰ θνητὰ γένη παύεται πλάττων ὁ θεὸς,
ὅταν ἄρχηται ποιεῖν τὰ θεῖα, καὶ ἑβδομάδος φύσει
οἰκεῖα. Ἡ δὲ πρὸς τὸ ἦθος ἀπόδοσίς ἐστι τοιαύτη·
ὅταν ἐπιγίνηται τῇ ψυχῇ ὁ κατὰ ἑβδομάδα ἅγιος

*) Gen. 2, 2 sqq.

λόγος, ἐπέχεται ἡ ἑξῆς καὶ ὅσα θνητὰ τουτὶ ποιεῖν δοκεῖ.

§. 7. „Καὶ ηὐλόγησεν ὁ θεὸς τὴν ἡμέραν τὴν ἑβδόμην, καὶ ἡγίασεν αὐτήν." Τοὺς κατὰ τὸ ἕβδομον καὶ θεῖον ὡς ἀληθῶς φῶς ποιηθέντας τρόπους εὐλογεῖ τε ὁ θεὸς, καὶ εὐθὺς ἁγίους ἀποφαίνει. Συγγενέστατοι γὰρ ἀλλήλοις ὅ τε εὐλόγιστος καὶ ὁ ἅγιος. Διὰ τοῦτο ἐπὶ τοῦ τὴν μεγάλην εὐχὴν εὐξαμένου φησὶν, ὅτι „Ἐὰν τροπὴ κατασκήψασα αἰφνίδιος μιάνῃ τὸν νοῦν, οὐκ ἔτ' ἔσται ἅγιος." *) Ἀλλ' αἱ ἡμέραι αἱ πρότεραι ἄλογοι, κατὰ τὸ εἰκός· ἀλόγιστος γὰρ ὁ μὴ ἅγιος τρόπος, ὥστε ὁ εὐλόγιστος ἅγιος. Ὀρθῶς οὖν ἔφη, ὅτι „τὴν ἑβδόμην ηὐλόγησέ τε καὶ ἡγίασεν, ὅτι ἐν αὐτῇ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ ὧν ἤρξατο ὁ θεὸς ποιῆσαι." Αἰτία δι' ἣν εὐλόγιστός τε καὶ ἅγιος γέγονεν ὁ κατὰ τὸ ἕβδομον καὶ τέλειον φῶς ἄγων ἑαυτὸν, ἐπεὶ ἐν ταύτῃ τῇ φύσει παύεται ἡ τῶν θνητῶν σύστασις. Καὶ γὰρ οὕτως ἔχει· ὅταν ἀνατείλῃ φέγγος τῆς ἀρετῆς τὸ λαμπρὸν καὶ θεῖον ὄντως, ἐπέχεται τῆς ἐναν-
47 τίας φύσεως ἡ γένεσις. Ἐδηλώσαμεν δὲ ὅτι ποιῶν
M. ὁ θεὸς οὐ παύεται, ἀλλ' ἑτέρων γενέσεως ἄρχεται, ἅτε οὐ τεχνίτης μόνον, ἀλλὰ καὶ πατὴρ ὢν τῶν γιγνομένων.

§. 8. „Αὕτη ἡ βίβλος γενέσεως οὐρανοῦ καὶ γῆς, ὅτε ἐγένοντο." **) Οὗτος ὁ κατὰ ἑβδομάδα κινούμενος τέλειος λόγος, ἀρχὴ γενέσεως τοῦ τε κατὰ τὰς ἰδέας τεταγμένου νοῦ, καὶ τῆς κατὰ τὰς ἰδέας τεταγμένης νοητῆς, εἰ οἷόν τε τοῦτο εἰπεῖν, αἰσθήσεως. Βιβλίον δὲ εἴρηκε τὸν τοῦ θεοῦ λόγον, ᾧ συμβέβηκεν ἐγγράφεσθαι καὶ ἐγχαράττεσθαι τὰς τῶν ἄλλων συστάσεις. Ἵνα δὲ μὴ καθ' ὡρισμένας χρόνων περιόδους ὑπολάβῃς τὸ θεῖόν τι ποιεῖν, ἀλλ'

*) Cf. Num. 6, 9.

**) Gen. 2, 4 sqq.

ἀειδῆ, ἄδηλα, ἀτέκμαρτα καὶ ἀκατάληπτα τῷ θνη-
τῷ γένει τὰ δημιουργούμενα, ἐπιφέρει τὸ "ὅτε ἐγένε- 44
το," τὸ πότε κατὰ περιγραφὴν οὐ διορίζων· ἀπερι- P.
γράφως γὰρ γίνεται τὰ γινόμενα ὑπὸ τοῦ αἰτίου.
Ἀνῄρηται τοίνυν τὸ ἐν ἓξ ἡμέραις γεγενῆσθαι τὸ
πᾶν.

§. 9. "Ἧι ἡμέρᾳ ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν
καὶ τὴν γῆν, καὶ πᾶν χλωρὸν ἀγροῦ πρὸ τοῦ γενέ-
σθαι ἐπὶ τῆς γῆς, καὶ πάντα χόρτον ἀγροῦ πρὸ
τοῦ ἀνατεῖλαι· οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν,
καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν." Τὴν
ἡμέραν ταύτην ἐπάνω βιβλίον εἴρηκεν, εἴγε ἐν ἀμ-
φοτέροις οὐρανοῦ καὶ γῆς ὑπογράφει γένεσιν. Τῷ
γὰρ περιφανεστάτῳ καὶ τηλαυγεστάτῳ ἑαυτοῦ λόγῳ
ῥήματι ὁ θεὸς ἀμφότερα ποιεῖ, τήν τε ἰδέαν τοῦ
νοῦ, ὃν συμβολικῶς οὐρανὸν κέκληκε, καὶ τὴν ἰδέαν
τῆς αἰσθήσεως, ἣν διὰ σημείου γῆν ὠνόμασεν. Ἀ-
γροῖς δὲ ἀπεικάζει δυσὶ τήν τε ἰδέαν τοῦ νοῦ, καὶ
τὴν ἰδέαν τῆς αἰσθήσεως. Φέρει γὰρ ὁ μὲν νοῦς
καρποὺς, τὰ ἐν τῷ νοεῖν· ἡ δὲ αἴσθησις, τὰ ἐν τῷ
αἰσθάνεσθαι. Ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· ὥςπερ
τοῦ ἐπὶ μέρους καὶ ἀτόμου νοῦ προϋπάρχει τις ἰδέα,
ὡς ἂν ἀρχέτυπος καὶ παράδειγμα τούτου, καὶ πάλιν
τῆς κατὰ μέρος αἰσθήσεως, σφραγῖδος λόγον ἔχουσα,
εἴδη τυπούσης· πρὶν μὲν γενέσθαι τὰ ἐπὶ μέρους
νοητὰ, ἦν τὸ αὐτὸ τοῦτο νοητὸν, οὗ κατὰ μετο-
χὴν καὶ τὰ ἄλλα ὠνόμασται· πρὶν δὲ γενέσθαι τὰ
κατὰ μέρος αἰσθητὰ, ἦν τὸ αὐτὸ τοῦτο γενικὸν αἰ-
σθητὸν, οὗ κατὰ μετουσίαν καὶ τὰ ἄλλα αἰσθητὰ
48 γέγονε. "Χλωρὸν μὲν ἀγροῦ" τὸ νοητὸν εἴρηκε τοῦ
M. νοῦ. ὡς γὰρ ἐν ἀγρῷ τὰ χλωρὰ βλαστάνει καὶ ἀν-
θεῖ, οὕτω βλάστημα τοῦ νοῦ τὸ νοητόν ἐστι. Πρὶν
οὖν τὸ κατὰ μέρος νοητὸν γενέσθαι, τὸ αὐτὸ τοῦτο
νοητὸν ἀπετέλει γενικὸν, ὃ δὴ καὶ "πᾶν" κέκληκεν
ὑγιῶς. Τὸ μὲν γὰρ κατὰ μέρος νοητὸν ἀτελὲς ὂν,
οὐ πᾶν, τὸ δὲ γενικὸν, ἅπαν, ἅτε πλῆρες ὄν.

§. 10. „Καὶ πάντα,“ φησὶ, „χόρτον ἀγροῦ πρὶν ἀνατεῖλαι.“ Τουτέστι· πρὶν ἀνατεῖλαι κατὰ μέρος αἰσθητὰ ἦν τὸ γενικὸν αἰσθητὸν προμηθείᾳ τοῦ πεποιηκότος, ὃ δὴ πάλιν „ἅπαν“ εἴρηκεν. Εἰκότως μέντοι τὸ αἰσθητὸν ἀπείκασε χόρτῳ. Ὡς γὰρ ὁ χόρτος ἀλόγου τροφὴ, οὕτως τὸ αἰσθητὸν τῷ ἀλόγῳ μέρει τῆς ψυχῆς προςκεκλήρωται. Ἐπεὶ διὰ τί „χλωρὸν ἀγροῦ“ προειπὼν ἐπιφέρει καὶ „πάντα χόρτον,“ ὡς οὐ γινομένου χόρτου χλωροῦ τὸ παράπαν; Ἀλλὰ τὸ μὲν ἀγροῦ χλωρὸν, τὸ νοητόν ἐστιν, ἐκβλάστημα νοῦ· ὁ δὲ χόρτος τὸ αἰσθητὸν, τοῦ ἀλόγου τῆς ψυχῆς καὶ αὐτὸ βλάστημα. „Οὐ γὰρ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν γῆν, καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν.“ Φυσικώτατα· ἐὰν γὰρ μὴ ἐπομβρήσῃ ταῖς αἰσθήσεσι τὰς ἀντιλήψεις τῶν ὑποκειμένων ὁ θεὸς, οὐδὲ ὁ νοῦς ἐργάσεται καὶ πραγματεύσεταί τι περὶ αἴσθησιν. Ἄπρακτος γὰρ αὐτὸς ἐξ ἑαυτοῦ ὢν, μὴ ὥςπερ ὕοντος καὶ ἐπιψεκάζοντος, ὁράσει μὲν χρώματα, φωνὰς δὲ ἀκοῇ, γεύσει δὲ χυλοὺς, καὶ ταῖς ἄλλαις τὰ οἰκεῖα τοῦ αἰτίου. Ὅταν 4.
δὲ ἄρδειν ἄρξηται ὁ θεὸς τὴν αἴσθησιν αἰσθητοῖς, P
τηνικαῦτα καὶ ὁ νοῦς, ἐργάτης οἷα πίονος γῆς, ἀνευρίσκεται. Ἡ δὲ ἰδέα τῆς αἰσθήσεως, ἣν κατὰ σύμβολον γῆν εἴρηκεν, οὐ δεῖται τροφῆς. Τροφὴ δὲ αἰσθήσεως, τὰ ἐπὶ μέρους αἰσθητὰ, ἃ δὴ σώματά ἐστιν. Ἰδέα δὲ σωμάτων ἀλλότριον. Πρὶν οὖν γενέσθαι τὰ κατὰ μέρος συγκρίματα, οὐκ ἔβρεξεν ὁ θεὸς ἐπὶ τὴν ἰδέαν τῆς αἰσθήσεως ἣν εἴρηκε γῆν. Τοῦτο δέ ἐστιν, τροφὴν οὐ παρέσχεν αὐτῇ· οὐδὲ γὰρ ἐδεῖτο αἰσθητοῦ τὸ παράπαν οὐδενός. Τὸ δὲ „Καὶ ἄνθρωπος οὐκ ἦν ἐργάζεσθαι τὴν γῆν“ τοιοῦτόν ἐστιν· ἡ ἰδέα τοῦ νοῦ τὴν ἰδέαν τῆς αἰθήσεως οὐκ εἰργάζετο. Ὁ μὲν γὰρ ἐμὸς καὶ σὸς νοῦς ἐργάζεται τὴν αἴσθησιν διὰ τῶν αἰσθητῶν· ἡ δὲ τοῦ νοῦ ἰδέα, ἅτε ἂν μηδενὸς ὄντος ἐπὶ μέρους οἰκείου σώματος, οὐκ ἐργάζεται τὴν ἰδέαν τῆς αἰσθήσεως.

Εἰ γὰρ εἰργάζετο, διὰ τῶν αἰσθητῶν ἂν εἰργάζετο· αἰσθητὸν δὲ ἐν ἰδέαις οὐδέν.

§. 11. "Πηγὴ δὲ ἀνέβαινεν ἀπὸ τῆς γῆς, καὶ
ἐπότιζε πᾶν τὸ πρόςωπον τῆς γῆς." Τὸν μὲν νοῦν
49 εἴρηκε γῆς πηγὴν, τὰς δὲ αἰσθήσεις πρόςωπον. Ὅτι
M χωρίον αὐταῖς ἐξ ἅπαντος τοῦ σώματος πρὸς τὰς
ἰδίας ἐνεργείας ἐπιτηδειότατον, ἡ πάντα προμηθουμένη φύσις ἀπένειμε τοῦτο. Πηγῆς δὲ τρόπον ἄρδει τὰς αἰσθήσεις ὁ νοῦς, ἐπιπέμπων τὰ πρόςφορα ἑκάστῃ ῥεύματα. Ἴδε οὖν πῶς ἀλύσεως τρόπον αἱ τοῦ ζώου δυνάμεις ἀλλήλων ἔχονται. Νοῦ γὰρ, καὶ αἰσθήσεως, ἔτι δὲ καὶ αἰσθητοῦ, τριῶν ὄντων, μέση μέν ἐστιν αἴσθησις, ἄκρον δὲ ἑκάτερον ὅ τε νοῦς καὶ τὸ αἰσθητόν. Ἀλλ᾽ οὐδὲ νοῦς δυνατὸς ἐργάζεσθαι, τουτέστιν ἐνεργῆσαι κατὰ αἴσθησιν, ἐὰν μὴ βρέξῃ καὶ ὕσῃ τὸ αἰσθητὸν ὁ θεὸς, οὔτε ὑσθέντος αἰσθητοῦ ὄφελός ἐστιν, ἐὰν μὴ πηγῆς τρόπον ὁ νοῦς, τείνας ἑαυτὸν ἄχρι τῆς αἰσθήσεως, κινήσῃ τε αὐτὴν ἠρεμοῦσαν καὶ ἀναγάγῃ πρὸς ἀντίληψιν τοῦ ὑποκειμένου. Ὥςτε ἀντίδοσιν ὁ νοῦς καὶ τὸ αἰσθητὸν ἀεὶ μελετῶσι, τὸ μὲν προϋποκείμενον αἰσθήσει, ὡς ἂν ὕλη, ὁ δὲ κινῶν τὴν αἴσθησιν πρὸς τὸ ἐκτὸς, ὡς ἂν τεχνίτης, ἵνα γένηται ὁρμή. Τὸ γὰρ ζῶον τοῦ μὴ ζώου δυσὶ προέχει, φαντασίᾳ καὶ ὁρμῇ. Ἡ μὲν οὖν φαντασία συνίσταται, κατὰ τὴν τοῦ ἐκτὸς πρόςοδον τυποῦντος νοῦν δι᾽ αἰσθήσεως. Ἡ δὲ ὁρμὴ τὸ ἀδελφὸν τῆς φαντασίας, κατὰ τὴν τοῦ νοῦ τονικὴν δύναμιν, ἣν τείνας δι᾽ αἰσθήσεως ἅπτεται τοῦ ὑποκειμένου, καὶ πρὸς αὐτὸ χωρεῖ, γλιχόμενος ἐφικέσθαι καὶ συλλαβεῖν αὐτό.

§. 12. "Καὶ ἔπλασεν ὁ θεὸς τὸν ἄνθρωπον
χοῦν λαβὼν ἀπὸ τῆς χθονὸς, καὶ ἐνεφύσησεν εἰς τὸ
πρόςωπον αὐτοῦ πνοὴν ζωῆς. Καὶ ἐγένετο ὁ ἄν-
θρωπος εἰς ψυχὴν ζῶσαν." Διττὰ ἀνθρώπων γένη· 46
ὁ μὲν γάρ ἐστιν οὐράνιος ἄνθρωπος, ὁ δὲ γήϊνος. P.
Ὁ μὲν οὖν οὐράνιος, ἅτε κατ᾽ εἰκόνα θεοῦ γεγονὼς,

φθαρτῆς καὶ συνόλως γεώδους οὐσίας ἀμέτοχος· ὁ
δὲ γήϊνος ἐκ σποράδος ὕλης, ἣν χοῦν κέκληκεν, ἐπά-
γη. Διὸ τὸν μὲν οὐράνιόν φησιν οὐ πεπλάσθαι,
κατ' εἰκόνα δὲ τετυπῶσθαι θεοῦ· τὸ δὲ γήϊνον πλά-
σμα, ἀλλ' οὐ γέννημα εἶναι τοῦ τεχνίτου. Ἄνθρω-
πον δὲ τὸν ἐκ τῆς λογιστέον εἶναι νοῦν εἰςκρινόμε-
50 νον σώματι, οὔπω δὲ εἰςκεκριμένον. Ὁ δὲ νοῦς οὗ-
M. τος γεώδης ἐστὶ τῷ ὄντι καὶ φθαρτὸς, εἰ μὴ ὁ θεὸς
ἐνέπνευσεν αὐτῷ δύναμιν ἀληθινῆς ζωῆς. Τότε γὰρ
„γίνεται" καὶ οὐκέτι πλάττεται εἰς ψυχὴν, οὐκ ἀρ-
γὴν καὶ ἀδιατύπωτον, ἀλλ' εἰς νοερὰν καὶ ζῶσαν ὄν-
τως, „Εἰς ψυχὴν γὰρ," φησὶ, „ζωῆς ἐγένετο ὁ
ἄνθρωπος."

§. 13. Ζητήσειε δ' ἄν τις, διὰ τί ἠξίωσεν ὁ θεὸς τὸν γηγενῆ καὶ φιλοσώματον νοῦν πνεύματος θείου, ἀλλ' οὐχὶ τὸν κατὰ τὴν ἰδέαν γεγονότα καὶ τὴν εἰκόνα ἑαυτοῦ. Δεύτερον δὲ, τί ἐστι τὸ „ἐνεφύσησε." Τρίτον, διὰ τί εἰς τὸ πρόσωπον ἐμπνεῖται. Τέταρτον, διὰ τί, πνεύματος ὄνομα εἰδὼς, ὅταν λέγῃ, „Καὶ πνεῦμα θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος" *), πνοῆς νῦν ἀλλ' οὐχὶ πνεύματος μέμνηται. Πρὸς μὲν οὖν τὸ πρῶτον λεκτέον· ἓν μὲν, ὅτι φιλόδωρος ὢν ὁ θεὸς, χαρίζεται τὰ ἀγαθὰ πᾶσι καὶ τοῖς μὴ τελείοις, προκαλούμενος αὐτοὺς εἰς μετουσίαν καὶ ζῆλον ἀρετῆς, ἅμα καὶ τὸν περιττὸν πλοῦτον ἐπιδεικνύμενος αὐτοῦ, ὅτι ἐξαρκεῖ καὶ τοῖς μὴ λίαν ὠφεληθησομένοις. Τοῦτο δὲ καὶ ἐπὶ τῶν ἄλλων ἐμφαντικώτατα παρίστησιν. Ὅταν γὰρ ὕῃ μὲν κατὰ θαλάττης, πηγὰς δὲ ἐν τοῖς ἐρημοτάτοις ἐπομβρῇ, τὴν δὲ λεπτόγεων καὶ τραχεῖαν καὶ ἄγονον γῆν ἄρδῃ, ποταμοὺς ἀναχέων ταῖς πλημμύραις, τί ἕτερον παρίστησιν, ἢ τὴν ὑπερβολὴν τοῦ τε πλούτου καὶ τῆς ἀγαθότητος αὐτοῦ; Ἥδ' ἐστὶν ἡ αἰτία, δι' ἣν ἄγονον μὲν οὐδεμίαν ψυχὴν ἐδημιούργησεν ἀγα-

*) Gen. 1, 2.

θοῦ, καὶ ἂν ἀδύνατος ἡ χρῆσις ἐνίοις ἦν αὐτοῦ. Ἕ-
τερον δὲ λεκτέον ἐκεῖνο. Βούλεται τὰ θεῖα δίκαια
εἰςαγαγεῖν· ὁ μὲν οὖν μὴ ἐμπνευσθεὶς τὴν ἀληθινὴν
ζωὴν, ἀλλ' ἄπειρος ὢν ἀρετῆς, κολαζόμενος ἐφ' οἷς
ἥμαρτεν εἶπεν ἂν ὡς ἀδίκως κολάζεται, ἀπειρίᾳ γὰρ
τοῦ ἀγαθοῦ σφάλλεσθαι περὶ αὐτό. Αἴτιον δὲ εἶναι
τὸν μηδεμίαν ἐμπνεύσαντα ἔννοιαν αὐτοῦ. Τάχα δὲ
μηδ' ἁμαρτάνειν φήσει τὸ παράπαν, εἴ γε τὰ ἀκού-
σια καὶ τὰ κατὰ ἄγνοιαν οὐδὲ ἀδικημάτων λόγον ἔχειν
φασί τινες. Τό γε μὴν "ἐνεφύσησεν" ἴσον ἐστὶ τῷ
"ἐνέπνευσεν" ἢ "ἐψύχωσε" τὰ ἄψυχα. Μὴ γὰρ 47
τοσαύτης ἀτοπίας ἀναπλησθείημεν, ὥστε νομίσαι P.
θεὸν στόματος ἢ μυκτήρων ὀργάνοις χρῆσθαι πρὸς
τὸ ἐμφυσῆσαι· ἄποιος γὰρ ὁ θεὸς οὐ μόνον, ἀλλ'
οὐδ' ἀνθρωπόμορφος. Ἐμφαίνει δέ τι καὶ φυσικώ-
τερον ἡ προφορά. Τρία γὰρ εἶναι δεῖ, τὸ ἐμπνέον,
τὸ δεχόμενον, τὸ ἐμπνεόμενον. Τὸ μὲν οὖν ἐμπνέον
ἐστὶν ὁ θεὸς, τὸ δὲ δεχόμενον ὁ νοῦς, τὸ δὲ ἐμπνεό-
51 μενον τὸ πνεῦμα. Τί οὖν ἐκ τούτων συνάγεται; Ἕνω-
M. σις γίνεται τῶν τριῶν, τείνοντος τοῦ θεοῦ τὴν ἀφ'
ἑαυτοῦ δύναμιν διὰ τοῦ μέσου πνεύματος ἄχρι τοῦ
ὑποκειμένου. Τίνος ἕνεκα, ἢ ὅπως ἔννοιαν αὐτοῦ
λάβωμεν; Ἐπεὶ πῶς ἂν ἐνόησεν ἡ ψυχὴ θεὸν, εἰ μὴ
ἐνέπνευσε καὶ ἥψατο αὐτῆς κατὰ δύναμιν; Οὐ γὰρ
ἂν ἐπετόλμησε τοσοῦτον ἀναδραμεῖν ὁ ἀνθρώπινος
νοῦς, ὡς ἀντιλαβέσθαι θεοῦ φύσεως, εἰ μὴ αὐτὸς
ὁ θεὸς ἀνέσπασεν αὐτὸν πρὸς ἑαυτὸν, ὡς ἐνῆν ἀν-
θρώπινον νοῦν ἀνασπασθῆναι, καὶ ἐτύπωσε κατὰ
τὰς ἐφικτὰς νοηθῆναι δυνάμεις. Εἰς δὲ τὸ προς-
ωπον ἐμπνεῖ καὶ φυσικῶς καὶ ἠθικῶς. Φυσικῶς
μὲν, ὅτι ἐν προσώπῳ τὰς αἰσθήσεις ἐδημιούργει·
τοῦτο δὲ μάλιστα τοῦ σώματος τὸ μέρος ἐψύχωται
καὶ ἐμπέπνευσται. Ἠθικῶς δὲ οὕτως· ὥςπερ σώμα-
τος ἡγεμονικόν ἐστι τὸ πρόσωπον, οὕτω ψυχῆς ἡγε-
μονικόν ἐστιν ὁ νοῦς. Τούτῳ μόνῳ ἐμπνεῖ ὁ θεὸς,
τοῖς δὲ ἄλλοις μέρεσιν οὐκ ἀξιοῖ, ταῖς τε αἰσθήσεσι

καὶ τῷ λόγῳ καὶ τῷ γονίμῳ· δεύτερα γάρ ἐστι τῇ δυνάμει. Ὑπὸ τίνος οὖν καὶ ταῦτα ἐνεπνεύσθη; Ὑπὸ τοῦ νοῦ δηλονότι. Οὗ γὰρ μετέσχεν ὁ νοῦς παρὰ τοῦ θεοῦ, τούτου μεταδίδωσι τῷ ἀλόγῳ μέρει τῆς ψυχῆς· ὥστε τὸν μὲν νοῦν ἐψυχῶσθαι ὑπὸ θεοῦ, τὸ δὲ ἄλογον ὑπὸ τοῦ νοῦ. Ὡσανεὶ γὰρ θεός ἐστι τοῦ ἀλόγου ὁ νοῦς, παρ᾽ ὃ καὶ Μωϋσῆν οὐκ ὤκνησεν εἰπεῖν "θεὸν τοῦ Φαραώ." *) Τῶν γὰρ γινομένων τὰ μὲν καὶ ὑπὸ θεοῦ γίγνεται, καὶ δι᾽ αὐτοῦ· τὰ δὲ ὑπὸ θεοῦ μὲν οὔ, δι᾽ αὐτοῦ δέ· τὰ μὲν ἄριστα καὶ ὑπὸ θεοῦ γέγονε, καὶ δι᾽ αὐτοῦ. Προελθὼν γοῦν ἐρεῖ, ὅτι ἐφύτευσεν ὁ θεὸς παράδεισον. Τούτων καὶ ὁ νοῦς ἐστι. Τὸ δὲ ἄλογον, ὑπὸ θεοῦ μὲν γέγονεν, οὐ διὰ θεοῦ δέ, ἀλλὰ διὰ τοῦ λογικοῦ τοῦ ἄρχοντός τε καὶ βασιλεύοντος ἐν ψυχῇ. Πνοὴν δέ, ἀλλ᾽ οὐ πνεῦμα εἴρηκεν, ὡς διαφορᾶς οὔσης. Τὸ μὲν γὰρ πνεῦμα νενόηται κατὰ τὴν ἰσχὺν καὶ εὐτονίαν καὶ δύναμιν· ἡ δὲ πνοὴ ὡς ἂν αὖρά τίς ἐστι καὶ ἀναθυμίασις ἠρεμαία καὶ πραεῖα. Ὁ μὲν οὖν κατὰ τὴν εἰκόνα γεγονὼς καὶ τὴν ἰδέαν νοῦς, πνεύματος ἂν λέγοιτο κεκοινωκέναι. Ῥώμην γὰρ ἔχει ὁ λογισμὸς αὐτοῦ. Ὁ δὲ ἐκ τῆς ὕλης, τῆς κούφης καὶ ἐλαφροτάτης αὔρας, ὡς ἂν ἀποφορᾶς τινος, ὁποῖαι γίνονται ἀπὸ τῶν ἀρωμάτων. Φυλαττομένων γὰρ οὐδὲν 4
ἧττον καὶ μὴ ἐκθυμιωμένων, εὐωδία τις γίνεται. F

§. 14. "Καὶ ἐφύτευσεν ὁ θεὸς παράδεισον ἐν Ἐδὲμ κατὰ ἀνατολάς· καὶ ἔθετο ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασε." **) Τὴν μὲν γὰρ θείαν καὶ οὐράνιον σοφίαν πολλοῖς ὠνόμασεν ὀνόμασι, καὶ πολυώνυμον
52 οὖσαν δεδήλωκε· καὶ γὰρ ἀρχὴν καὶ εἰκόνα καὶ ὅρασιν
M. θεοῦ κέκληκε. Ταύτης δὲ ὡς ἂν ἀρχετύπου μίμημα, τὴν ἐπίγειον σοφίαν νυνὶ παρίστησι διὰ τῆς τοῦ παραδείσου φυτουργίας. Μὴ γὰρ τοσαύτη κατάσχοι τὸν

*) Exod. 7, 1.

**) Gen. 2, 8.

ἡμέτερον λογισμὸν ἀσέβεια, ὡς ὑπολαβεῖν ὅτι θεὸς γεωπονεῖ καὶ φυτεύει παραδείσους, ἐπεὶ καὶ τίνος ἕνεκα εὐθὺς διαπορήσομεν. Οὐ γὰρ ὅπως ἀναπαύλας εὐδιαγώγους καὶ ἡδονὰς ἑαυτῷ πορίζῃ· μηδὲ εἰς νοῦν ἔλθοι ποτὲ τὸν ἡμέτερον ἡ τοιαύτη μυθοποιΐα. Θεοῦ γὰρ οὐδὲ ὁ σύμπας κόσμος ἄξιον ἂν εἴη χωρίον καὶ ἐνδιαίτημα, ἐπεὶ αὐτὸς ἑαυτῷ τόπος, καὶ αὐτὸς ἑαυτοῦ πλήρης, καὶ ἱκανὸς αὐτὸς ἑαυτῷ ὁ θεός· τὰ μὲν ἄλλα ἐπιδεῆ καὶ ἔρημα καὶ κενὰ ὄντα πληρῶν καὶ περιέχων, αὐτὸς δὲ ὑπ' οὐδενὸς ἄλλου περιεχόμενος, ἅτε εἷς καὶ τὸ πᾶν αὐτὸς ὤν. Τὴν οὖν ἐπίγειον ἀρετὴν σπείρει καὶ φυτεύει τῷ θνητῷ γένει ὁ θεὸς, μίμημα καὶ ἀπεικόνισμα οὖσαν τῆς οὐρανίου. Ἐλεήσας γὰρ ἡμῶν τὸ γένος, καὶ κατιδὼν ὅτι ἐξ ἀφθόνων καὶ πλουσίων κακῶν συνέστη, ἐπίκουρον καὶ ἀρωγὸν τῶν ψυχῆς νόσων ἀρετὴν ἐπίγειον ἐῤῥίζου, μίμημα, ὡς ἔφην, τῆς οὐρανίου καὶ ἀρχετύπου, ἣν πολλοῖς ὀνόμασι καλεῖ. Παράδεισος μὲν δὴ τροπικῶς εἴρηται ἡ ἀρετὴ, τόπος δὲ οἰκεῖος τῷ παραδείσῳ Ἐδὲμ, τοῦτο δέ ἐστι τρυφή. Ἀρετῇ δὲ ἁρμόττον εἰρήνη καὶ εὐπάθεια καὶ χαρὰ, ἐν οἷς τὸ τρυφᾶν ὡς ἀληθῶς ἐστι. Καὶ μὴν κατὰ ἀνατολάς ἐστιν ἡ φυτουργία τοῦ παραδείσου. Οὐ γὰρ δύεται καὶ σβέννυται, ἀλλ' ἀεὶ πέφυκεν ἀνατέλλειν ὁ ὀρθὸς λόγος. Καὶ ὥσπερ, οἶμαι, ἀνατείλας ἥλιος τὸν ζόφον τοῦ ἀέρος φωτὸς ἀνέπλησεν, οὕτω καὶ ἀρετὴ ἀνατείλασα ἐν ψυχῇ τὴν ἀχλὺν αὐτῆς ἐναυγάζει, καὶ τὸν πολὺν σκότον σκεδάννυσι. "Καὶ ἔθετο," φησὶν, "ἐκεῖ τὸν ἄνθρωπον ὃν ἔπλασεν." Ἀγαθὸς γὰρ ὢν ὁ θεὸς, καὶ ἐπ' ἀρετὴν ὡς οἰκειότατον ἔργον ἀσκῶν τὸ γένος ἡμῶν, τὸν νοῦν τίθησιν ἐν τῇ ἀρετῇ, ἵνα δηλονότι μηδὲν ἄλλο ἢ ταύτην, καθάπερ γεωργὸς ἀγαθὸς, τημελῇ καὶ περιέπῃ.

§. 15. Ζητήσειε δ' ἄν τις, διὰ τί, τοῦ μιμεῖσθαι τὰ θεοῦ ἔργα ὄντος ὁσίου, ἐμοὶ μὲν ἀπηγόρευται φυτεύειν ἄλσος παρὰ τῷ θυσιαστηρίῳ, τὸν δὲ

*παράδεισον ὁ θεὸς φυτεύει; Φησὶ γὰρ, "Οὐ φυτεύσεις σεαυτῷ ἄλσος, πᾶν ξύλον παρὰ τὸ θυσιαστή-*
53*ριον κυρίου τοῦ θεοῦ σου οὐ ποιήσεις σεαυτῷ."* *)
M.*Τί οὖν λεκτέον; Ὅτι πρέπει τῷ θεῷ φυτεύειν καὶ οἰκοδομεῖν ἐν ψυχῇ τὰς ἀρετάς. Φίλαυτος δὲ καὶ ἄθεος ὁ νοῦς οἰόμενος ἴσος εἶναι θεῷ, καὶ ποιεῖν* 4
*δοκῶν ἐν τῷ πάσχειν ἐξεταζόμενος· θεοῦ δὲ σπεί-* P
*ροντος καὶ φυτεύοντος ἐν ψυχῇ τὰ καλὰ, ὁ λέγων νοῦς ὅτι "ἐγὼ φυτεύω" ἀσεβεῖ. Οὐ φυτεύσεις οὖν, ὅταν ὁ θεὸς φυτουργῇ· ἐὰν δὲ καὶ φυτὰ ἐν ψυχῇ καταβάλῃς, ὦ διάνοια, καρποτόκα φύτευε πάντα, ἀλλὰ μὴ ἄλσος. Ἐν ἄλσει γὰρ καὶ ἀγρίας ὕλης ἐστὶ καὶ ἡμέρου δένδρα· κακίαν δὲ τὴν ἄγονον ἐν ψυχῇ μετὰ τῆς ἡμέρου καὶ καρποτόκου φυτεύειν ἀρετῆς, λέπρας ἐστὶ τῆς διφυοῦς καὶ μιγάδος οἰκεῖον. Ἐὰν μέντοι γε τὰ ἄμικτα εἰς ταὐτὸ ἀγάγῃς, χώριζε καὶ διάκρινε τῆς καθαρᾶς καὶ ἀμιάντου φύσεως, τῆς ἀναφερούσης τὰ ἄμωμα τῷ θεῷ, αὕτη δέ ἐστι τὸ θυσιαστήριον. Τούτου γὰρ ἀλλότριον, τὸ λέγειν ἔργον τι εἶναι ψυχῆς, ἐπὶ θεὸν πάντων λαμβανόντων τὴν ἀναφορὰν, καὶ τὸ τὰ ἄκαρπα τοῖς καρποτόκοις ἀναμιγνύναι· μῶμος γὰρ τοῦτό γε, τὰ δὲ ἄμωμα τῷ θεῷ προσάγεται. Ἐὰν οὖν τι τούτων παραβῇς, ὦ ψυχὴ, σαυτὴν βλάψεις, οὐ θεόν. Διὰ τοῦτό φησιν, "Οὐ φυτεύσεις σεαυτῷ." θεῷ γὰρ οὐδεὶς ἐργάζεται, καὶ μάλιστα τὰ φαῦλα. Καὶ ἐπιφέρει πάλιν, "Οὐ ποιήσεις σεαυτῷ·" λέγει δὲ καὶ ἐν ἑτέροις, "Οὐ ποιήσετε μετ᾽ ἐμοῦ θεοὺς ἀργυροῦς, καὶ θεοὺς χρυσοῦς οὐ ποιήσετε ὑμῖν ἑαυτοῖς." Ὁ γὰρ ἢ ποιότητα οἰόμενος ἔχειν τὸν θεὸν, ἢ μὴ ἕνα εἶναι, ἢ μὴ ἀγέννητον καὶ ἄφθαρτον, ἢ μὴ ἄτρεπτον, ἑαυτὸν ἀδικεῖ, οὐ θεόν· "ἑαυτοῖς γὰρ," φησὶν, "οὐ ποιήσετε." Δεῖ γὰρ ἡγεῖσθαι καὶ ἄποιον αὐτὸν εἶναι, καὶ ἄφθαρτον καὶ ἄτρεπτον· ὁ δὲ μὴ οὕτω διανοούμενος ἑαυτοῦ τὴν*

---

*) Deuter. 16, 21.

ψυχὴν ψευδοῦς καὶ ἀθέου δόξης ἀναπίμπλησιν. Οὐχ ὁρᾷς ὅτι καὶ ἂν εἰςάγῃ ἡμᾶς εἰς τὴν ἀρετὴν, καὶ εἰςαχθέντες φυτεύσωμεν ἄκαρπον μὲν οὐδὲν, πᾶν δὲ ξύλον βρώσιμον, κελεύει „καθαρίσαι τὴν ἀκαθαρσίαν αὐτοῦ," *) τοῦτο δέ ἐστι, τὸ δοκεῖν φυτεύειν. Ἀποτεμεῖν γὰρ οἴησιν ἐπαγγέλλεται, οἴησις δὲ ἀκάθαρτον φύσει.

§. 16. „Ὃν δ' ἔπλασεν ἄνθρωπον τιθέναι φησὶν ἐν τῷ παραδείσῳ," **) νυνὶ μόνον. τίς οὖν ἐστιν ἐφ' οὗ ὕστερόν φησιν, ὅτι „ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἐποίησε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ ἐργάζεσθαι αὐτὸν καὶ φυλάττειν;" ***) Μήποτ' οὖν ἕτερός ἐστιν ἄνθρωπος οὗτος ὁ κατὰ τὴν εἰκόνα καὶ τὴν ἰδέαν γεγονώς; Ὥςτε δύο ἀνθρώπους εἰς τὸν παράδεισον εἰςάγεσθαι, τὸν μὲν πεπλασμένον, τὸν δὲ κατ' εἰκόνα. Ὁ μὲν οὖν κατὰ
54 τὴν ἰδέαν γεγονὼς οὐ μόνον ἐν ταῖς φυτουργίαις
M. τῶν ἀρετῶν ἐξετάζεται, ἀλλὰ καὶ ἐργάτης ἐστὶν αὐτῶν καὶ φύλαξ· τοῦτο δ' ἐστὶ μνήμων ὧν ἤκουσε καὶ ἤσκησεν. Ὁ δὲ πλαστὸς οὐδὲ ἐργάζεται τὰς ἀρετὰς, οὐδὲ φυλάττει, ἀλλὰ μόνον εἰςάγεται εἰς τὰ δόγματα, ἀφθονίᾳ θεοῦ, μέλλων αὐτίκα φυγὰς ἀρετῆς ἔσεσθαι. Διὰ τοῦτο ὃν μὲν μόνον τίθησιν 50
ἐν τῷ παραδείσῳ, πλαστὸν καλεῖ· ὃν δὲ καὶ ἐργά- P.
την καὶ φύλακα ἀποδείκνυσιν, οὐ πλαστὸν, ἀλλ' ὃν ἐποίησε. Καὶ τοῦτον μὲν λαμβάνει, ἐκεῖνον δὲ ἐκβάλλει. Ὃν δὲ λαμβάνει, τριῶν ἀξιοῖ, ἐξ ὧν συνέστηκεν ἡ εὐφυΐα, εὐθιξίας, ἐπιμονῆς, μνήμης. Ἡ μὲν οὖν εὐθιξία θέσις ἐστὶν ἐν τῷ παραδείσῳ, ἡ δὲ μνήμη φυλακὴ καὶ διατήρησις τῶν ἁγίων δογμάτων, ἡ δὲ ἐπιμονὴ πρᾶξις τῶν καλῶν, τὸ ἐργάζεσθαι τὰ καλά. Ὁ δὲ πλαστὸς νοῦς, οὔτε μνημονεύει τὰ κα-

*) Lev. 19, 23.
**) Gen. 2, 8.
***) Gen. 2, 15.

λὶ, οὔτε ἐργάζεται, μόνον δὲ εὔθικτός ἐστι· παρ᾽ ὃ καὶ τεθεὶς ἐν τῷ παραδείσῳ, μικρὸν ὕστερον ἀποδιδράσκει καὶ ἐκβάλλεται.

§. 17. „Καὶ ἐξανέτειλεν ὁ θεὸς ἐκ τῆς γῆς πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν, καὶ τὸ ξύλον τῆς ζωῆς ἐν μέσῳ τοῦ παραδείσου, καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ." *) Ἃ φυτεύει ἐν τῇ ψυχῇ δένδρα ἀρετῆς νῦν ὑπογράφει· ἔστι δὲ ταῦτα αἵ τε κατὰ μέρος ἀρεταὶ, καὶ αἱ κατὰ ταύτας ἐνέργειαι, καὶ τὰ κατορθώματα, καὶ τὰ λεγόμενα παρὰ τοῖς φιλοσοφοῦσι καθήκοντα, ταῦτά ἐστι τοῦ παραδείσου τὰ φυτά. Χαρακτηρίζει μέντοι γε αὐτὰ ταῦτα, δηλῶν ὅτι τὸ ἀγαθὸν καὶ ὀφθῆναι κάλλιστόν ἐστι καὶ ἀπολαυθῆναι. Ἔνιαι γὰρ τῶν τεχνῶν θεωρητικαὶ μέν εἰσιν, οὐ πρακτικαὶ δὲ, γεωμετρία, ἀστρονομία. ἔνιαι δὲ πρακτικαὶ μὲν, οὐ θεωρητικαὶ δὲ, τεκτονικὴ, χαλκευτικὴ, καὶ ὅσαι βάναυσοι λέγονται. Ἡ δὲ ἀρετὴ καὶ θεωρητική ἐστι καὶ πρακτική. Καὶ γὰρ θεωρίαν ἔχει, ὁπότε καὶ ἡ ἐπ᾽ αὐτὴν ὁδὸς φιλοσοφία διὰ τῶν τριῶν αὐτῆς μερῶν, τοῦ λογικοῦ, τοῦ ἠθικοῦ, τοῦ φυσικοῦ. Καὶ πρᾶξιν· ὅλου γὰρ τοῦ βίου ἐστὶ τέχνη ἡ ἀρετὴ, ἐν ᾧ καὶ αἱ σύμπασαι πράξεις. Ἀλλὰ καίτοι θεωρίαν ἔχουσα καὶ πρᾶξιν, πάλιν ἐν ἑκατέρῳ ὑπερβάλλει κατὰ τὸ κρεῖττον. Καὶ γὰρ ἡ θεωρία τῆς ἀρετῆς παγκάλη, καὶ ἡ πρᾶξις καὶ ἡ τήρησις περιμάχητος. Διὸ καί φησιν, ὅτι καὶ εἰς ὅρασίν ἐστιν ὡραῖον, ὅπερ ἦν τοῦ θεωρητικοῦ σύμβολον. Καὶ καλὸν εἰς βρῶσιν, ὅπερ ἐστὶν χρηστικοῦ καὶ πρακτικοῦ σημεῖον.

§. 18. Τὸ δὲ ξύλον τῆς ζωῆς ἐστιν ἡ γενικωτάτη ἀρετὴ, ἥν τινες ἀγαθότητα καλοῦσιν, ἀφ᾽ ἧς αἱ κατὰ μέρος ἀρεταὶ συνίστανται. Τούτου χάριν καὶ μέσον ἱδρύεται τοῦ παραδείσου, τὴν συνεκτικωτάτην χώραν ἔχον, ἵνα ὑπὸ τῶν ἑκατέρωθεν βασι-

---

*) Gen. 2, 9.

55 λέως τρόπον δορυφορῆται. Οἱ δὲ λέγουσι τὴν καρ-
M. δίαν ξύλον εἰρῆσθαι ζωῆς, ἐπειδὴ αἰτία τε τοῦ ζῆν ἐστι, καὶ τὴν μέσην τοῦ σώματος χώραν ἔλαχεν, ὡς ἂν κατ᾽ αὐτοὺς ἡγεμονικὸν ὑπάρχουσα. Ἀλλ᾽ οὗτοι μὲν ἰατρικὴν δόξαν ἐκτιθέμενοι μᾶλλον ἢ φυσικὴν, μὴ 51
λανθανέτωσαν· ἡμεῖς δὲ, ὡς καὶ πρότερον ἐλέχθη, P.
τὴν γενικωτάτην ἀρετὴν ξύλον εἰρῆσθαι ζωῆς λέγομεν. Τοῦτο μὲν οὖν ῥητῶς φησιν ὅτι ἐστὶν ἐν μέσῳ τῷ παραδείσῳ· τὸ δὲ ἕτερον ξύλον, τὸ τοῦ γινώσκειν καλὸν καὶ πονηρὸν, οὐ δεδήλωκεν οὔτ᾽ εἰ ἐντὸς οὔτ᾽ εἰ ἐκτός ἐστι τοῦ παραδείσου· ἀλλ᾽ εἰπὼν οὕτω, "Καὶ τὸ ξύλον τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ," εὐθὺς ἡσύχασεν, οὐ δηλώσας ὅπου τετύχηκεν ὂν, ἵνα μὴ ὁ φυσιολογίας ἀμύητος τὸν ὄντα τῆς ἐπιστήμης θαυμάζῃ. Τί οὖν χρὴ λέγειν; Ὅτι τοῦτο τὸ ξύλον καὶ ἐν τῷ παραδείσῳ ἐστὶ, καὶ ἐκτὸς αὐτοῦ. Οὐσίᾳ μὲν ἐν αὐτῷ, δυνάμει δὲ ἐκτός. Πῶς; Τὸ ἡγεμονικὸν ἡμῶν πανδεχές ἐστι, καὶ ἔοικε κηρῷ πάντας τοὺς τύπους καλούς τε καὶ αἰσχροὺς δεχομένῳ. Παρ᾽ ὃ καὶ ὁ πτερνιστὴς Ἰακὼβ ὁμολογεῖ φάσκων, "Ἐπ᾽ ἐμὲ ἐγένετο ταῦτα πάντα." *) Ἐπὶ γὰρ μίαν οὖσαν τὴν ψυχὴν αἱ ἀμύθητοι τυπώσεις ἁπάντων τῶν ἐν τῷ παντὶ ἀναφέρονται. Ὅταν μὲν οὖν δέξηται τὸν τῆς τελείας ἀρετῆς χαρακτῆρα, ἐγένετο τὸ τῆς ζωῆς ξύλον· ὅταν δὲ τὸν τῆς κακίας, ἐγένετο τοῦ εἰδέναι γνωστὸν καλοῦ καὶ πονηροῦ. Ἡ δὲ κακία πεφυγάδευται θείου χοροῦ. Τὸ δεδεγμένον οὖν αὐτὴν ἡγεμονικὸν ἐν τῷ παραδείσῳ ἐστὶ κατὰ τὴν οὐσίαν· ἐν αὐτῷ γάρ ἐστι καὶ ὁ τῆς ἀρετῆς χαρακτὴρ, οἰκεῖος ὢν τῷ παραδείσῳ. Δυνάμει δὲ πάλιν οὐκ ἔστιν ἐν αὐτῷ, ὅτι ὁ τύπος ὁ κακίας ἀλλότριός ἐστι θείων ἀνατολῶν. Ὃ δὲ λέγω καὶ οὕτως ἄν τις καταμάθοι. Νῦν ἐν τῷ σώματί μου τὸ ἡγεμονικόν ἐστι κατὰ τὴν οὐσίαν, δυ-

*) **Gen. 42, 36.**

*νάμει δὲ ἐν Ἰταλίᾳ, ἢ Σικελίᾳ, ὁπότε περὶ τῶν χωρῶν τούτων ἐπιλογίζεται, καὶ ἐν οὐρανῷ, ὁπότε περὶ οὐρανοῦ σκοπεῖται. Παρ᾽ ὃ καὶ πολλάκις ἐν βεβήλοις ὄντες χωρίοις τινὲς κατὰ τὴν οὐσίαν, ἐν ἱερωτάτοις ὑπάρχουσι, φαντασιούμενοι τὰ ἀρετῆς· καὶ ἔμπαλιν ἐν τοῖς ἀδύτοις ὑπάρχοντες ἄλλοι τὴν διάνοιάν εἰσι βέβηλοι, τῷ τροπὰς πρὸς τὸ χεῖρον καὶ τύπους αὐτὴν λαμβάνειν φαύλους. Ὥςτε οὔτε ἐν τῷ παραδείσῳ ἡ κακία ἐστὶν, οὔτε οὐχί ἐστι· δύναται μὲν γὰρ εἶναι κατὰ οὐσίαν, δυνάμει δὲ οὐ δύναται.*

§. 19. *"Ποταμὸς δὲ ἐκπορεύεται ἐξ Ἐδὲμ, τοῦ ποτίζειν τὸν παράδεισον. Ἐκεῖθεν ἀφορίζεται εἰς*
56*τέτταρας ἀρχάς. Ὄνομα τῷ ἑνὶ Φυσών· οὗτος ὁ*
M.*κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλὰτ, ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν· ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος ὁ πράσινος. Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ, Γεών· οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας. Καὶ ὁ ποταμὸς ὁ τρίτος ὁ Τίγρις· οὗτος ὁ πορευόμενος κατέναντι Ἀσσυρίων.* 5
*Ὁ δὲ ποταμὸς ὁ τέταρτος, οὗτος ὁ Εὐφράτης."* *) P
*Διὰ τούτων βούλεται τὰς κατὰ μέρος ἀρετὰς ὑπογράφειν. Εἰσὶ δὲ τὸν ἀριθμὸν τέσσαρες, φρόνησις, σωφροσύνη, ἀνδρία, δικαιοσύνη. Ὁ μὲν δὴ μέγιστος ποταμὸς, οὗ αἱ τέτταρες ἀπόῤῥοιαι γεγόνασιν, ἡ γενική ἐστιν ἀρετὴ, ἣν ὠνομάσαμεν ἀγαθότητα, αἱ δὲ τέσσαρες ἀπόῤῥοιαι, ἰσάριθμοι ἀρεταί. Λαμβάνει μὲν οὖν τὰς ἀρχὰς ἡ γενικὴ ἀρετὴ ἀπὸ τῆς Ἐδὲμ, τῆς τοῦ θεοῦ σοφίας, — ἣ χαίρει καὶ γάνυται καὶ τρυφᾷ, ἐπὶ μόνῳ τῷ πατρὶ αὐτῆς ἀγαλλομένη καὶ σεμνυνομένη θεῷ, — αἱ δὲ ἐν εἴδει τέτταρες ἀπὸ τῆς γενικῆς, ἥτις ποταμοῦ δίκην ἄρδει τὰ κατορθώματα ἑκάστης πολλῷ ῥεύματι καλῶν πράξεων. Ἴδωμεν δὲ καὶ τὰς λέξεις. "Ποταμὸς"*

*) Gen. 2, 13 sqq.

δέ φησιν "ἐκπορεύεται ἐξ Ἐδὲμ, τοῦ ποτίζειν τὸν παράδεισον." Ποταμὸς ἡ γενική ἐστιν ἀγαθότης. αὕτη ἐκπορεύεται ἐκ τῆς Ἐδὲμ τοῦ θεοῦ σοφίας. Ἡ δέ ἐστιν ὁ θεοῦ λόγος· κατὰ γὰρ τοῦτον πεποίηται ἡ γενικὴ ἀρετή. Τὸν δὲ παράδεισον ποτίζει ἡ γενικὴ ἀρετὴ, τουτέστι τὰς κατὰ μέρος ἀρετὰς ἄρδει. Ἀρχὰς δὲ οὐ τὰς τοπικὰς λαμβάνει, ἀλλὰ τὰς ἡγεμονικάς· ἑκάστη γὰρ τῶν ἀρετῶν ἡγεμονὶς καὶ βασιλὶς ὡς ἀληθῶς ἐστι. Τὸ δὲ "ἀφορίζεται" ἴσον ἐστὶ τῷ ὅροις πεπεράτωται. ἡ μὲν φρόνησις περὶ τὰ ποιητέα ὅρους αὐτοῖς τιθεῖσα· ἡ δὲ ἀνδρία τοῖς ὑπομενετέοις· ἡ δὲ σωφροσύνη τοῖς αἱρετέοις· ἡ δὲ δικαιοσύνη τοῖς ἀπονεμητέοις.

§. 20. "Ὄνομα τῷ ἑνὶ Φεισών· οὗτος ὁ κυκλῶν πᾶσαν τὴν γῆν Εὐιλὰτ, ἐκεῖ οὗ ἐστι τὸ χρυσίον· τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν. οὗ ἐστιν ὁ ἄνθραξ, καὶ ὁ λίθος ὁ πράσινος." Τῶν τεττάρων ἀρετῶν ἓν εἶδός ἐστιν, ἡ φρόνησις, ἣν Φεισὼν ὠνόμασε, παρὰ τὸ φείδεσθαι καὶ φυλάττειν τὴν ψυχὴν ἀπὸ ἀδικημάτων. Χορεύει δὲ κύκλῳ, καὶ περίησι τὴν γῆν Εὐιλὰτ, τοῦτο δέ ἐστι τὴν εὐμενῆ καὶ πραεῖαν καὶ ἵλεων κατάστασιν περιέπει. Καθά-
57περ δὲ τῆς χυτῆς οὐσίας ἡ κρατίστη καὶ δοκιμω-
M.τάτη χρυσός ἐστιν, οὕτω καὶ ψυχῆς ἡ δοκιμωτάτη
ἀρετὴ φρόνησις γέγονε. Τὸ δὲ "Ἐκεῖ οὗ ἐστι τὸ χρυσίον" οὐκ ἔστι τοπικὸν τοιοῦτο, ἐκεῖ ὅπου ἐστὶ τὸ χρυσίον, ἀλλ' ἐκεῖ οὗ κτῆμά ἐστιν ἡ χρυσαυγὴς καὶ πεπυρωμένη καὶ τιμία φρόνησις. Κτῆμα δὲ θεοῦ κάλλιστον ἤδε ἀνωμολόγηται. Κατὰ δὲ τὸν τόπον τῆς φρονήσεως δύο εἰσὶ ποιοὶ, ὅ τε φρόνιμος καὶ ὁ φρονῶν, οὓς ἄνθρακι καὶ πρασίνῳ παραβέβληκε.

§. 21. "Καὶ ὄνομα τῷ ποταμῷ τῷ δευτέρῳ Γεών· οὗτος κυκλοῖ πᾶσαν τὴν γῆν Αἰθιοπίας." Συμβολικῆς ἐστιν ὁ ποταμὸς οὗτος ἡ ἀνδρία· ἑρμηνευθὲν γὰρ τὸ Γεὼν ὄνομά ἐστι στῆθος ἢ κερατί-

ζῶν. Ἑκάτερον δὲ ἀνδρίας μηνυτικόν· περί τε πὸν γὰρ τὰ στήθη, ὅπου καὶ ἡ καρδία, διατρίβει, καὶ 53
πρὸς ἄμυναν ηὐτρέπισται. Ἐπιστήμη γάρ ἐστιν ὑπο- P.
μενετέων, καὶ οὐχ ὑπομενετέων, καὶ οὐδετέρων. Περικυκλοῖ δὲ καὶ περικάθηται προσπολεμοῦσα τὴν Αἰθιοπίαν, ἧς ἐστιν ἑρμηνευθὲν τὸ ὄνομα ταπείνωσις. Ταπεινὸν δὲ ἡ δειλία· ἡ δὲ ἀνδρία ταπεινώσει καὶ δειλίᾳ πολέμιον. "Καὶ ὁ ποταμὸς ὁ τρίτος Τίγρις, οὗτος ὁ κατέναντι Ἀσσυρίων πορευόμενος." Τρίτη ἐστὶν ἀρετὴ σωφροσύνη, ἀντιστατοῦσα τῇ κατευθύνειν δοκούσῃ τὴν ἀνθρωπίνην ἀσθένειαν ἡδονῇ. Ἀσσύριοι γὰρ εὐθύνοντες ἑλλάδι γλώττῃ καλοῦνται. Τίγριδι δὲ τῷ ἀτιθασσοτάτῳ ζώῳ τὴν ἐπιθυμίαν εἴκασε, περὶ ἣν σωφροσύνη πραγματεύεται.

§. 22. Ἄξιον μὲν οὖν ἀπορῆσαι, διὰ τί δευτέρα μὲν ἀνδρία, τρίτη δὲ σωφροσύνη, πρώτη δὲ φρόνησις εἴρηται, καὶ οὐχ ἑτέρων τῶν ἀρετῶν πρᾶξιν δεδήλωκε. Νοητέον οὖν, ὅτι ἐστὶν ἡμῶν ἡ ψυχὴ τριμερὴς, καὶ ἔχει μέρος, τὸ μὲν λογικὸν, τὸ δὲ θυμικὸν, τὸ δὲ ἐπιθυμητικόν. Καὶ συμβέβηκε τοῦ μὲν λογικοῦ χωρίον εἶναι καὶ ἐνδιαίτημα, κεφαλὴν, τοῦ δὲ θυμικοῦ, τὰ στέρνα, τοῦ δὲ ἐπιθυμητικοῦ, τὸ ἦτρον. Ἀρετὴν δὲ ἑκάστῳ τῶν μερῶν οἰκείαν προσηρμόσθαι. τῷ μὲν λογικῷ, φρόνησιν· λογισμοῦ γάρ ἐστιν, ἐπιστήμην ἔχειν ὧν τε δεῖ ποιεῖν, καὶ ὧν μή. τῷ δὲ θυμικῷ, ἀνδρίαν. τῷ δὲ ἐπιθυμητικῷ, σωφροσύνην· σωφρο-
58 σύνη γὰρ τὰς ἐπιθυμίας ἀκούμεθα καὶ ἰώμεθα.
M. Ὥςπερ οὖν κεφαλὴ μὲν πρῶτον τοῦ ζώου καὶ ἀνωτάτω μέρος ἐστὶ, δεύτερον δὲ στέρνα, τρίτον δὲ ἧπαρ, καὶ πάλιν ψυχῆς, πρῶτον μὲν τὸ λογικὸν, δεύτερον δὲ τὸ θυμικὸν, τρίτον δὲ τὸ ἐπιθυμητικόν· οὕτω καὶ τῶν ἀρετῶν πρώτη μὲν, ἡ περὶ τὸ πρῶτον τῆς ψυχῆς, ὃ δὴ λογικόν ἐστι, καὶ τοῦ σώματος διατρίβουσα κεφαλὴν, φρόνησις. Δευτέρα δὲ ἀνδρία ὅτι περὶ τὸ δεύτερον μέρος, ψυχῆς μὲν θυ-

μὸν, σώματος δὲ τὰ στέρνα φωλεύει. Τρίτη δὲ σωφροσύνη, ὅτι περὶ τὸ ἦτρον, ὃ δὴ τρίτον ἐστὶ τοῦ σώματος, καὶ περὶ τὸ ἐπιθυμητικὸν, ὃ τρίτην εἴληχε χώραν ἐν ψυχῇ, πραγματεύεται.

§. 23. "Ὁ δὲ ποταμὸς," φησὶν, "ὁ τέταρτος Εὐφράτης." Καρποφορία καλεῖται οὗτος ὁ Εὐφράτης, ἔστι δὲ συμβολικῶς ἀρετὴ τετάρτη, δικαιοσύνη, καρποφόρος τῷ ὄντι, καὶ εὐφραίνουσα τὴν διάνοιαν. Πότε οὖν γίνεται; Ὅταν τὰ τρία μέρη τῆς ψυχῆς συμφωνίαν ἔχῃ. Συμφωνία δὲ αὐτοῖς ἐστιν ἡ τοῦ κρείττονος ἡγεμονία, οἷον, ὅταν τὰ δύο, τό τε θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν, ἡνιοχῶνται ὑπὸ τοῦ λογικοῦ, τότε γίνεται δικαιοσύνη. Δίκαιον γὰρ, τὸ μὲν κρεῖττον ἄρχειν ἀεὶ καὶ πανταχοῦ, τὸ δὲ χεῖρον ἄρχεσθαι. κρεῖττον μὲν δὴ τὸ λογικὸν, χεῖρον δὲ τὸ ἐπιθυμητικὸν καὶ θυμικόν. Ὅταν δὲ ἔμπαλιν ἀφηνιάσῃ καὶ ἀναχαιτίσῃ ὁ θυμὸς καὶ ἡ 54
ἐπιθυμία, καὶ τὸν ἡνίοχον, λέγω δὲ τὸν λογισμὸν, P.
τῇ βίᾳ τῆς ὁρμῆς κατασύρῃ καὶ ὑποζεύξῃ, ἑκάτερον δὲ πάθος λάβηται τῶν ἡνιῶν, ἀδικία κρατεῖ. Ἀνάγκη γὰρ καὶ ἀπειρίᾳ καὶ κακίᾳ ἡνιόχου τὰ ὑπεζευγμένα κατὰ κρημνῶν φέρεσθαι καὶ βαράθρων, ὥςπερ ἐμπειρίᾳ καὶ ἀρετῇ διασώζεσθαι.

§. 24. Ἔτι καὶ οὕτως ἴδωμεν τὸ προκείμενον. Φεισὼν ἑρμηνεύεται στόματος ἀλλοίωσις, Εὐιλὰτ δὲ ὠδίνουσα. καὶ διὰ τούτων ἡ φρόνησις ἐμφαίνεται. Οἱ μὲν γὰρ πολλοὶ φρόνιμον νομίζουσι τὸν εὑρέτην λόγων σοφιστικῶν καὶ δεινὸν ἑρμηνεῦσαι τὸ νοηθὲν, Μωϋσῆς δὲ λογοφίλην μὲν αὐτὸν οἶδε, φρόνιμον δὲ οὐδαμῶς. Ἐν ἀλλοιώσει γὰρ τοῦ στόματος, τουτέστι τοῦ ἑρμηνευτικοῦ λόγου, ἡ φρόνησις θεωρεῖται. Ὅπερ ἦν μὴ ἐν λόγῳ τὸ φρονεῖν, ἀλλ' ἐν ἔργῳ θεωρεῖσθαι καὶ σπουδαίαις πράξεσι. Κύκλον δὲ περιτίθησι καὶ ὡςανεὶ τεῖχος Εὐιλὰτ τῇ ὠδινούσῃ ἡ φρόνησις πρὸς πολιορκίαν αὐτῆς καὶ καθαίρεσιν. Ἀφρο-

59 σύνη δέ ἐστι κύριον ὄνομα ὠδίνουσα, ὅτι ὁ ἄφρων
M. νοῦς ἀνεφίκτων ἐρῶν ἑκάστοτε ἐν ὠδῖσίν ἐστιν. Ὅταν
χρημάτων ἐρᾷ, ὠδίνει, ὅτε δόξης, ὅτε ἡδονῆς, ὅτε
ἄλλου τινός. Ἐν ὠδῖσι δὲ ὢν, οὐδέποτε τίκτει. Οὐ
γὰρ πέφυκε γόνιμον οὐδὲν τελεσφορεῖν ἡ τοῦ φαύλου
ψυχή. Ἃ δὲ ἂν δοκῇ προσφέρειν, ἀμβλωθρίδια εὑ-
ρίσκεται καὶ ἐκτρώματα, "κατεσθίοντα τὸ ἥμισυ
τῶν σαρκῶν αὐτῆς, ἴσα θανάτῳ ψυχικῷ." *) Παρ'
ὃ καὶ δεῖται ὁ ἱερὸς λόγος Ἀαρὼν τοῦ θεοφιλοῦς
Μωϋσέως ἰάσασθαι τὴν τροπὴν τῆς Μαριὰμ, ἵνα
μὴ γένηται ἐν ὠδῖνι κακῶν ἡ ψυχή. Διὸ καί φησι,
"Μὴ γένηται ὡς ἴσον θανάτῳ, ὡς ἔκτρωμα ἐκπο-
ρευόμενον ἐκ μήτρας μητρὸς, καὶ κατεσθίῃ τὸ ἥμισυ
τῶν σαρκῶν αὐτῆς." **)

§. 25. "Ἐκεῖ οὖν," φησὶν, "οὗ ἐστι τὸ χρυσίον."
Οὐ λέγει ἐκεῖ εἶναι τὸ χρυσίον μόνον, ἀλλ' "ἐκεῖ οὗ
ἐστιν." Ἡ γὰρ φρόνησις, ἣν εἴκασε χρυσίῳ, ἀδόλῳ
καὶ καθαρᾷ καὶ πεπυρωμένῃ καὶ δεδοκιμασμένῃ καὶ
τιμίᾳ φύσει, ἐκεῖ μέν ἐστιν ἐν τῇ τοῦ θεοῦ σοφίᾳ.
Ἐκεῖ δὲ οὖσα, οὐκ ἔστι τῆς σοφίας κτῆμα, ἀλλὰ οὗ
καὶ ἡ σοφία ἐστὶν αὕτη, τοῦ δημιουργοῦ καὶ κεκτημέ-
νου θεοῦ. "Τὸ δὲ χρυσίον τῆς γῆς ἐκείνης καλόν."
Οὐκ οὖν ἐστιν ἕτερον χρυσίον οὐχὶ καλόν; Πάνυ γε·
διττὸν γὰρ φρονήσεως γένος, τὸ μὲν καθόλου, τὸ
δὲ ἐπὶ μέρους. Ἡ μὲν οὖν ἐν ἐμοὶ φρόνησις ἐπὶ
μέρους οὖσα, οὐ καλή· φθαρέντος γάρ μου συμ-
φθείρεται. Ἡ δὲ καθόλου φρόνησις, ἡ οἰκοῦσα
τὴν θεοῦ σοφίαν καὶ τὸν οἶκον αὐτοῦ, καλή· ἄφθαρ-
τος γὰρ ἐν ἀφθάρτῳ οἴκῳ διαμένει.

§. 26. "Καὶ ἐκεῖ ἐστιν ὁ ἄνθραξ καὶ ὁ λίθος
ὁ πράσινος." Οἱ δύο ποιοὶ, ὅ τε φρόνιμος καὶ ὁ
φρονῶν, ὁ μὲν συνιστάμενος κατὰ τὴν φρόνησιν, ὁ 55
δὲ φρονῶν κατὰ τὸ φρονεῖν. Τούτων γὰρ ἕνεκα P.

*) Num. 12, 12.

**) Ibid.

τῶν ποιῶν ἔσπειρεν ὁ θεὸς τῷ γηγενεῖ φρόνησίν τε καὶ ἀρετήν. Τί γὰρ ὄφελος ἦν αὐτῆς, εἰ μὴ οἱ δεξόμενοι λογισμοὶ ὑπῆρχον, καὶ τοὺς τύπους αὐτῆς ἐναπομαξόμενοι; Ὥςτε εἰκότως ἐκεῖ εἰσιν ὅπου ἡ φρόνησις, ὅ τε φρόνιμος καὶ ὁ φρονῶν, οἱ δύο λίθοι. Μήποτε δὲ Ἰούδας καὶ ὁ Ἰσσάχαρ. Ὁ γὰρ τῆς τοῦ θεοῦ φρονήσεως ἀσκητὴς ἐξομολογεῖται εὐχαριστικῶς τῷ τὸ ἀγαθὸν ἀφθόνως δωρησαμένῳ, ὁ δὲ καὶ τὰ καλὰ καὶ σπουδαῖα ἐργάζεται. Τοῦ μὲν οὖν ἐξομολογουμένου ὁ Ἰούδας σύμβολον, „ἐφ᾽ οὗ καὶ ἵσταται τίκτουσα ἡ Λεία." *) τοῦ δὲ ἐργαζομένου τὰ καλὰ, ὁ Ἰσσάχαρ, „ὑπέθηκε γὰρ τὸν ὦμον εἰς τὸ πονεῖν, καὶ ἐγένετο ἀνὴρ γεωργός," **) ἐφ᾽ οὗ φησι Μωϋσῆς σπαρέντος καὶ φυτευθέντος ἐν ψυχῇ ἐστι μισθὸς, ὅπερ ἦν οὐκ ἀτελὴς πόνος, ἀλλὰ στεφανούμενος ὑπὸ θεοῦ καὶ μισθοδοτούμενος.
60 Ὅτι δὲ τούτων ποιεῖται μνήμην, δι᾽ ἑτέρων δη-
M. λοῖ, ὅταν ἐπὶ τοῦ ποδήρους φῇ, „Καὶ συνυφανεῖς ἐν αὐτῷ λίθον τετράστιχον. Λίθων στίχος ἔσται, σάρδιον, τοπάζιον, καὶ σμάραγδος, ὁ στίχος ὁ εἷς." Ῥουβὴν, Συμεὼν, Λευί. „Καὶ ὁ στίχος," φησὶν, „ὁ δεύτερος, ἄνθραξ, καὶ σάπφειρος." ***) Ὁ δὲ σάπφειρος πράσινος λίθος ἐστίν. Ἐγγέγλυπται δὲ τῷ μὲν ἄνθρακι ὁ Ἰούδας, τέταρτος γὰρ, τῷ δὲ σαπφείρῳ ὁ Ἰσσάχαρ. Διὰ τί οὖν οὐχ ὥςπερ λίθον πράσινον εἴρηκεν, οὕτω καὶ λίθον ἀνθράκινον; Ὅτι ὁ μὲν Ἰούδας, ἐξομολογητικὸς τρόπος, ἄϋλός ἐστι καὶ ἀσώματος. καὶ γὰρ αὐτὸ τὸ ὄνομα τὸ τῆς ἐξομολογήσεως ἐμφαίνει τὴν ἐκτὸς ἑαυτοῦ ὁμολογίαν. Ὅταν γὰρ ἐκβῇ ὁ νοῦς ἑαυτοῦ, καὶ ἑαυτὸν ἀνενέγκῃ θεῷ, ὥςπερ ὁ γέλως Ἰσαὰκ, τηνικαῦτα ὁμολογίαν τὴν πρὸς τὸν ὄντα ποιεῖται. Ἕως δὲ αὐτὸν ὑπο-

*) Gen. 29, 35.
**) Gen. 48, 15.
***) Exod. 28, 17.

τίθηται ὡς αἴτιόν τινος, μακρὰν ἀφέστηκε τοῦ παραχωρεῖν θεῷ καὶ ὁμολογεῖν αὐτῷ. Καὶ γὰρ αὐτὸ τοῦτο τὸ ἐξομολογεῖσθαι νοητέον, ὅτι ἔργον ἐστὶν οὐχὶ τῆς ψυχῆς, ἀλλὰ τοῦ φαίνοντος αὐτῇ θεοῦ τὸ εὐχάριστον· ἄϋλος μὲν δὴ ὁ ἐξομολογούμενος Ἰούδας. Τῷ δὲ ἐκ πόνου προςεληλυθότι Ἰσσάχαρ δεῖ καὶ ὕλης σωματικῆς. Ἐπεὶ πῶς ἀναγνώσεται χωρὶς ὀμμάτων ὁ ἀσκητής; Πῶς δὲ ἀκούσεται τῶν προτρεπτικῶν λόγων, χωρὶς ἀκοῆς; Πῶς δὲ σιτίων καὶ ποτῶν ἐφίξεται, δίχα γαστρὸς καὶ τῆς περὶ αὐτὴν τερατουργίας; Διὰ τοῦτο λίθῳ ἀπεικάσθη. Καὶ τὰ χρώματα μέν τοι διάφορα. Τῷ μὲν γὰρ ἐξομολογητικῷ οἰκεία χροιὰ ἡ τοῦ ἄνθρακος· πεπύρωται γὰρ ἐν εὐχαριστίᾳ θεοῦ, καὶ μεθύει τὴν νήφουσαν μέθην. Τῷ δὲ ἔτι πονοῦντι, ἡ τοῦ πρασίνου λίθου· ὠχροὶ γὰρ οἱ ἐν ἀσκήσει, διά τε τὸν τρύχοντα 56
πόνον, καὶ διὰ δέος τοῦ μὴ τυχεῖν ἂν ἴσως τοῦ κατ' P.
εὐχὴν τέλους.

§. 27. Ἄξιον δὲ διαπορῆσαι, διὰ τί οἱ μὲν δύο ποταμοὶ, ὁ Φεισὼν καὶ ὁ Γεὼν κυκλοῦσι χώρας τινὰς, ὁ μὲν τὴν Εὐιλὰτ, ὁ δὲ τὴν Αἰθιοπίαν, τῶν δὲ λοιπῶν οὐδέτερος. Ἀλλ' ὁ μὲν Τίγρις κατέναντι Ἀσσυρίων λέγεται εἶναι, ὁ δὲ Εὐφράτης οὐδενός. Καίτοιγε πρὸς τὸ ἀληθὲς ὁ Εὐφράτης καὶ περιῤῥεῖ τινας χώρας, καὶ ἀντικρὺς ἔχει πολλάς. Ἀλλ' οὐκ ἔστι περὶ τοῦ ποταμοῦ ὁ λόγος, ἀλλὰ περὶ ἐπανορθώσεως ἤθους. Λεκτέον οὖν ὅτι ἡ μὲν φρόνησις καὶ ἀνδρία δύνανται τεῖχος καὶ κύκλον βαλέσθαι κατὰ τῶν ἐναντίων κακιῶν, ἀφροσύνης τε καὶ δειλίας, καὶ ἑλεῖν αὐτάς· ἀσθενεῖς γὰρ καὶ εὐάλωτοι ἀμφότεραι. Καὶ γὰρ ὁ ἄφρων εὔληπτος τῷ φρονίμῳ, καὶ ὁ δειλὸς ὑποπέπτωκε τῷ ἀνδρείῳ. Ἡ δὲ σω-
61 φροσύνη ἀδυνατεῖ κυκλώσασθαι τὴν ἐπιθυμίαν καὶ
M. ἡδονήν· χαλεπαὶ γὰρ ἀντίπαλοι καὶ δυςκαθαίρετοι. Οὐχ ὁρᾷς, ὅτι καὶ οἱ ἐγκρατέστατοι ἀνάγκῃ τοῦ θνητοῦ παραγίνονται ἐπὶ σιτία καὶ ποτὰ, ἐξ ὧν αἱ

γαστρὸς ἡδοναὶ συνίστανται; Ἀγαπητὸν οὖν ἐστιν ἀντιβῆναι καὶ μαχέσασθαι τῷ γένει τῆς ἐπιθυμίας. Διὸ κατέναντι Ἀσσυρίων ἐστὶν ὁ Τίγρις ποταμὸς, ἡ σωφροσύνη τῆς ἡδονῆς. Ἡ δέ γε δικαιοσύνη, καθ᾽ ἣν ὁ Εὐφράτης ποταμὸς συνίσταται, οὔτε πολιορκεῖ καὶ περιτειχίζει τινὰ οὔτε ἀντιστατεῖ. Διὰ τί; Ὅτι ἀπονεμητικὴ τῶν κατ᾽ ἀξίαν ἐστὶν ἡ δικαιοσύνη, καὶ τέτακται οὔτε κατὰ τὸν κατήγορον, οὔτε κατὰ τὸν ἀπολογούμενον, ἀλλὰ κατὰ τὸν δικαστήν. Ὥςπερ οὖν ὁ δικαστὴς οὔτε νικῆσαί τινας προήρηται, οὔτε πολεμῆσαί τισι καὶ ἐναντιωθῆναι, γνώμην δὲ ἀποφηνάμενος βραβεύει τὸ δίκαιον, οὕτω καὶ ἡ δικαιοσύνη, οὐδενὸς οὖσα ἀντίδικος, ἀπονέμει τὸ κατ᾽ ἀξίαν ἑκάστῳ πράγματι.

§. 28. „Καὶ ἔλαβε κύριος ὁ θεὸς τὸν ἄνθρωπον ὃν ἐποίησε, καὶ ἔθετο αὐτὸν ἐν τῷ παραδείσῳ, ἐργάζεσθαι αὐτὸν καὶ φυλάσσειν.“ *) Τοῦ πλασθέντος διαφέρει ὃν ἐποίησεν ὁ θεὸς ἄνθρωπον, ὡς εἶπον. Ὁ μὲν γὰρ πλασθεὶς νοῦς ἐστι γεωδέστερος, ὁ δὲ ποιηθεὶς ἀϋλώτερος, φθαρτῆς ὕλης ἀμέτοχος, καθαρωτέρας καὶ εἰλικρινεστέρας τετυχηκὼς συστάσεως. Τοῦτον οὖν τὸν καθαρὸν νοῦν λαμβάνει τε ὁ θεὸς, οὐκ ἐῶν ἐκτὸς ἑαυτοῦ βαίνειν, καὶ λαβὼν τίθησιν ἐν ταῖς ἐῤῥιζωμέναις καὶ βλαστανούσαις ἀρεταῖς, ἵνα ἐργάζηται αὐτὰς καὶ φυλάττῃ. Πολλοὶ γὰρ ἀσκηταὶ γενόμενοι τῆς ἀρετῆς, ἐπὶ τοῦ τέλους μετέβαλον· ᾧ δὲ παρέχει ὁ θεὸς ἐπιστήμην βεβαίαν, τούτῳ δίδωσιν ἀμφότερα, τὸ ἐργάζεσθαι τὰς ἀρετὰς καὶ μηδέποτε αὐτῶν ἀφίστασθαι, ἀλλ᾽ ἀεὶ ταμιεύειν
καὶ φυλάττειν ἑκάστην. Τὸ μὲν οὖν „ἐργάζεσθαι“ 57
ἀντὶ τοῦ „πράττειν,“ τὸ δὲ „φυλάττειν“ ἀντὶ τοῦ P.
„μνημονεύειν.“

§. 29. „Καὶ ἐνετείλατο κύριος ὁ θεὸς τῷ Ἀδὰμ, λέγων, Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ· ἀπὸ δὲ τοῦ ξύλου τοῦ εἰδέναι γνω-

---

*) Gen. 2, 15.

στὸν καλοῦ καὶ πονηροῦ, οὐ φάγεσθε· ᾗ δ' ἂν ἡμέ-
ρᾳ φάγητε ἀπ' αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε.” *)
Ποίῳ Ἀδὰμ ἐντέλλεται, καὶ τίς ἐστιν οὗτος, διαπο-
ρητέον· οὐ γὰρ μέμνηται πρότερον αὐτοῦ, νυνὶ δὲ
πρῶτον ὠνόμασεν αὐτόν. Μήποτ' οὖν βούλεταί σοι
τοῦ πλαστοῦ ἀνθρώπου παραστῆσαι τὸ ὄνομα; Κα-
62 λεῖ δὲ, φησὶν, αὐτὸν γῆν· τοῦτο γὰρ Ἀδὰμ ἑρμη-
M. νεύεται. Ὥςτε, ὅταν ἀκούῃς Ἀδὰμ, γήϊνον καὶ
φθαρτὸν εἶναι νόμιζε. Ὁ γὰρ κατ' εἰκόνα, οὐ γή-
ϊνος, ἀλλ' οὐράνιος. Ζητητέον δὲ, διὰ τί πᾶσιν ἐπι-
θεὶς τοῖς ἄλλοις τὰ ὀνόματα οὐκ ἐπιτέθεικε καὶ ἑαυ-
τῷ. Τί οὖν λεκτέον; Ὁ νοῦς ὁ ἐν ἑκάστῳ ἡμῶν
τὰ μὲν ἄλλα δύναται καταλαβεῖν, ἑαυτὸν δὲ γνωρί-
σαι ἀδυνάτως ἔχει. Ὥςπερ γὰρ ὁ ὀφθαλμὸς τὰ μὲν
ἄλλα ὁρᾷ, ἑαυτὸν δὲ οὐχ ὁρᾷ· οὕτω καὶ ὁ νοῦς τὰ
μὲν ἄλλα νοεῖ, ἑαυτὸν δὲ οὐ καταλαμβάνει. Εἰπάτω
γὰρ, τίς τέ ἐστι καὶ ποταπὸς, πνεῦμα ἢ αἷμα ἢ πῦρ
ἢ ἀὴρ ἤ τι ἕτερον σῶμα· ἢ τοσοῦτόν γε, ἢ ὅτι σῶ-
μά ἐστιν, ἢ πάλιν ἀσώματον. Εἶτα οὐκ εὐήθεις οἱ
περὶ θεοῦ σκεπτόμενοι οὐσίας; Οἱ γὰρ τῆς ἰδίας
ψυχῆς τὴν οὐσίαν οὐκ ἴσασι, πῶς ἂν περὶ τῆς τῶν
ὅλων ψυχῆς ἀκριβώσαιεν; Ἡ γὰρ τῶν ὅλων ψυχὴ
θεός ἐστι κατὰ ἔννοιαν.

§. 30. Εἰκότως οὖν ὁ Ἀδὰμ, τουτέστιν ὁ νοῦς, τὰ ἄλλα ὀνομάζων καὶ καταλαμβάνων, ἑαυτῷ ὄνομα οὐκ ἐπιτίθησιν, ὅτι ἑαυτὸν ἀγνοεῖ καὶ τὴν ἰδίαν φύσιν. Ἐντέλλεται δὲ τούτῳ, ἀλλ' οὐχὶ τῷ κατ' εἰκόνα καὶ τὴν ἰδέαν γεγονότι. Ἐκεῖνος μὲν γὰρ καὶ δίχα προτροπῆς τὴν ἀρετὴν ἔχει αὐτομαθῶς, οὗτος δὲ ἄνευ διδασκαλίας οὐκ ἂν φρονήσεως ἐπιλάχοι. Διαφέρει δὲ τρία ταῦτα, πρόσταξις, ἀπαγόρευσις, παραίνεσις. Ἡ μὲν γὰρ ἀπαγόρευσις περὶ ἁμαρτημάτων γίνεται καὶ πρὸς φαῦλον, ἡ δὲ πρόσταξις κατορθωμάτων, ἡ δὲ παραίνεσις πρὸς τὸν μέσον, τὸν

*) Gen. 2, 16.

μήτε φαῦλον μήτε σπουδαῖον. Οὔτε γὰρ ἁμαρτάνει, ὡς ἀπαγορεύειν ἄν τινα αὐτῷ, οὔτε κατορθοῖ κατὰ τὴν τοῦ ὀρθοῦ λόγου πρόσταξιν· ἀλλὰ χρείαν ἔχει παραινέσεως, τῆς ἀνέχειν μὲν τῶν φαύλων διδασκούσης, προτρεπούσης δὲ ἐφίεσθαι τῶν ἀστείων. Τῷ μὲν οὖν τελείῳ καὶ κατ᾽ εἰκόνα προστάττειν ἢ ἀπαγορεύειν ἢ παραινεῖν οὐχὶ δεῖ· οὐδενὸς γὰρ τούτων ὁ τέλειος δεῖται· τῷ δὲ φαύλῳ προστάξεώς
ἐστι καὶ ἀπαγορεύσεως χρεία, τῷ δὲ νηπίῳ παραι- 58
νέσεως καὶ διδασκαλίας. Ὥςπερ τῷ τελείῳ γραμ- P.
ματικῷ ἢ μουσικῷ οὐδενὸς δεῖ παραγγέλματος τῶν εἰς τὰς τέχνας, τῷ δὲ σφαλλομένῳ περὶ τὰ θεωρήματα ὡσανεὶ τινων νόμων προστάξεις καὶ ἀπαγορεύ-
63 σεις ἐχόντων, τῷ δὲ ἄρτι μανθάνοντι διδασκαλίας.
M. Εἰκότως οὖν τῷ γηΐνῳ νοΐ, μήτε φαύλῳ ὄντι μήτε σπουδαίῳ ἀλλὰ μέσῳ, ταννῦν ἐντέλλεται καὶ παραινεῖ. Ἡ δὲ παραίνεσις γίνεται δι᾽ ἀμφοτέρων τῶν κλήσεων, καὶ τοῦ Κυρίου καὶ τοῦ Θεοῦ. Ἐνετείλατο γὰρ Κύριος ὁ Θεὸς, ἵνα εἰ μὲν πείθοιτο ταῖς παραινέσεσιν, ὑπὸ τοῦ Θεοῦ εὐεργεσιῶν ἀξιωθείη· εἰ δὲ ἀφηνιάζοι, ὑπὸ τοῦ Κυρίου, ὡς δεσπότου καὶ ἐξουσίαν ἔχοντος, σκορακίζοιτο. Διόπερ καὶ, ὅτε ἐκβάλλεται τοῦ παραδείσου, τὰς αὐτὰς κλήσεις παρείληφε· λέγει γὰρ, "Καὶ ἐξαπέστειλεν αὐτὸν Κύριος ὁ Θεὸς ἐκ τοῦ παραδείσου τῆς τρυφῆς, ἐργάζεσθαι τὴν γῆν ἐξ ἧς ἐλήφθη." *) Ἵνα ἐπεὶ καὶ ὡς δεσπότης ὁ Κύριος, καὶ ὡς εὐεργέτης ὁ Θεὸς ἐνετέλλετο, πάλιν ὡς ἀμφότερα ὢν τὸν παρακούσαντα τιμωρῆται· δι᾽ ὧν γὰρ προέτρεπε δυνάμεων, διὰ τούτων τὸν ἀπειθοῦντα ἀποπέμπεται.

§. 31. Ἃ δὲ παραινεῖ ταῦτά ἐστιν, "Ἀπὸ παντὸς ξύλου τοῦ ἐν τῷ παραδείσῳ βρώσει φαγῇ." **) Προτρέπει τὴν τοῦ ἀνθρώπου ψυχὴν μὲν μὴ ἀφ᾽

---

*) Gen. 3, 23.

**) Gen. 2, 16.

ἑνὸς ξύλου, μηδὲ ἀπὸ μιᾶς ἀρετῆς, ἀλλ' ἀπὸ πασῶν τῶν ἀρετῶν ὠφελεῖσθαι. Τὸ γὰρ φαγεῖν σύμβολόν ἐστι τροφῆς ψυχικῆς. Τρέφεται δὲ ἡ ψυχὴ ἀναλήψει τῶν καλῶν, καὶ πράξει τῶν κατορθωμάτων. Μὴ μόνον δέ φησι "φαγῇ," ἀλλὰ καὶ "βρώσει," τουτέστι, καταλέσας καὶ ἐπιλεάνας μὴ ἰδιώτου ἀλλ' ἀθλητοῦ τρόπον τὴν τροφὴν, ἰσχὺν καὶ δύναμιν περιποιήσῃ. Καὶ γὰρ τοῖς ἀθληταῖς οἱ ἀλεῖπται παραγγέλλουσι, μὴ κόπτειν ἀλλὰ κατὰ σχολὴν λεαίνειν, ἵνα πρὸς ἰσχὺν ἐπιδιδῶσιν. Ἑτέρως γὰρ ἐγὼ καὶ ὁ ἀθλητὴς τρεφόμεθα· ἐγὼ μὲν γὰρ, ἕνεκα τοῦ ζῆν μόνον, ὁ δὲ ἀθλητὴς καὶ ἕνεκα τοῦ πιαίνεσθαι καὶ ῥώννυσθαι· παρ' ὃ καὶ ἕν τι τῶν ἀσκητικῶν ἐστι τὸ λεαίνεσθαι τροφήν. Τὸ "βρώσει φαγεῖν" ἐστι τοιοῦτον. Ἔτι δὲ ἀκριβέστερον διατυπώσωμεν αὐτό. Τιμᾶν τοὺς γονεῖς ἐδώδιμον καὶ τρόφιμόν ἐστιν. Ἀλλ' ἑτέρως οἱ ἀγαθοὶ καὶ οἱ φαῦλοι τιμῶσιν. Οἱ μὲν γὰρ διὰ τὸ ἔθος, οἵτινες οὐ βρώσει ἐσθίουσιν, ἀλλὰ μόνον ἐσθίουσι. Πότε οὖν καὶ βρώσει; Ὅταν ἀναπτύξαντες καὶ τὰς αἰτίας ἐρευνήσαντες κρίνωσιν ἑκουσίως, ὅτι καλὸν τοῦτ' ἔστιν. Αἱ δὲ αἰτίαι τοιαῦται· ἐγέννησαν ἡμᾶς, ἔθρεψαν, ἐπαίδευσαν, πάντων αἴτιοι γεγόνασιν ἀγαθῶν. Πάλιν ἐδώδιμον τὸν ὄντα τιμᾶσθαι· τὸ δὲ "βρώσει," ὅταν καὶ μετὰ τῆς
τοῦ κεφαλαίου ἀναπτύξεως, καὶ τῆς τῶν αἰτιῶν 59
ἀποδόσεως. P.

§. 32. "Ἀπὸ δὲ τοῦ ξύλου γινώσκειν καλὸν καὶ πονηρὸν οὐ φάγεσθε ἐξ αὐτοῦ." *) Οὐκοῦν οὐκ
64 ἔστιν ἐν τῷ παραδείσῳ τὸ ξύλον τοῦτο· εἴπερ ἀπὸ
M. παντὸς ἐσθίειν παραγγέλλει τῶν ἐν τῷ παραδείσῳ.
Ἀπὸ δὲ τούτου μὴ φαγεῖν, δῆλον ὅτι οὐκ ἔστιν ἐν τῷ παραδείσῳ. Καὶ φυσικῶς· ἔστι γὰρ οὐσία, ὡς ἔφην, καὶ οὐκ ἔστι δυνάμει. Ὥσπερ γὰρ ἐν τῷ κηρῷ δυνάμει μέν εἰσι πᾶσαι αἱ σφραγῖδες, ἐντελεχείᾳ

*) Gen. 2, 16.

δὲ μόνη ἡ τετυπωμένη, οὕτω καὶ ἐν τῇ ψυχῇ κηροειδεῖ ὑπαρχούσῃ, πάντες οἱ τύποι περιέχονται δυνάμει· ἀποτελέσματι δὲ κρατεῖ ὁ εἷς χαραχθεὶς ἐν αὐτῷ, ἕως μὴ ἀπαλείφεται ὑφ᾽ ἑτέρου ἐνεργέστερον καὶ ἐκδήλως μᾶλλον ἐπιχαράξαντος. Ἑξῆς καὶ ἐκεῖνο διαπορητέον. Ὅτε μὲν πoραινεῖ ἀπὸ παντὸς ξύλου ἐν τῷ παραδείσῳ ἐσθίειν, ἕνα προτρέπει· ὅτε δὲ ἀπαγορεύει χρῆσθαι τῷ πονηροῦ καὶ καλοῦ αἰτίῳ, ὡς πλείοσι διαλέγεται. Ἐκεῖ μὲν γάρ φησιν, "Ἀπὸ παντὸς φαγῇς," ἐνταῦθα δὲ, "Οὐ φάγεσθε· καὶ ᾗ δ᾽ ἂν ἡμέρᾳ φάγητε," οὐχὶ φαγῇ, καὶ "ἀποθανεῖσθε," οὐχὶ ἀποθανῇ. Λεκτέον οὖν τάδε, ὅτι πρῶτον μὲν σπάνιόν ἐστι τὸ ἀγαθὸν, τὸ δὲ κακὸν πολύχουν. Διὰ τοῦτο σοφὸν καὶ πιστὸν μὲν εὑρεῖν ἕνα μόνον ἔργον, φαύλων δὲ τὸ πλῆθος ἀναρίθμητον. Εἰκότως οὖν ἑνὶ παραγγέλλει ταῖς ἀρεταῖς ἐντρέφεσθαι, πολλοῖς δὲ περιττοῦ πανουργίας ἀπέχεσθαι· ταύτῃ γὰρ μυρίοι χρῶνται. Δεύτερον, εἰς ἀρετῆς ἀνάληψίν τε καὶ χρῆσιν, ἑνὸς μόνου δεῖται, τοῦ λογισμοῦ. Τὸ δὲ σῶμα οὐχ οἷον οὐ συνεργεῖ πρὸς τοῦτο, ἀλλὰ καὶ κωλυσιεργεῖ. Σχεδὸν γὰρ σοφίας ἔργον τοῦτ᾽ ἔστιν, ἀλλοτριοῦσθαι πρὸς τὸ σῶμα καὶ τὰς ἐπιθυμίας αὐτοῦ· εἰς δὲ ἀπόλαυσιν κακίας, οὐ μόνον δεῖ πως ἔχειν τὸν νοῦν, ἀλλὰ καὶ τὴν αἴσθησιν καὶ τὸν λόγον καὶ τὸ σῶμα. Ὁ γὰρ φαῦλος δεῖται τούτων ἁπάντων πρὸς ἐκπλήρωσιν τῆς ἰδίας κακίας. Ἐπεὶ πῶς ἐκλαλήσει μυστήρια, φωνητήριον οὐκ ἔχων ὄργανον; Πῶς δὲ ταῖς ἡδοναῖς χρήσεται, γαστρὸς καὶ τῶν αἰσθητηρίων στερούμενος; Δεόντως οὖν ἑνὶ μὲν τῷ λογισμῷ διαλέγεται περὶ κτήσεως ἀρετῆς· μόνου γὰρ, ὡς ἔφην, ἐστὶν αὐτοῦ χρεία πρὸς τὴν ἀνάληψιν αὐτῆς. Περὶ δὲ κακίας πλείοσι, ψυχῇ, λόγῳ, αἰσθήσεσι σώματος· διὰ πάντων γὰρ τούτων ἐμφαίνεται.

§. 33. Λέγει γε μὴν, "Ἧι ἂν ἡμέρᾳ φάγητε ἀπ᾽ αὐτοῦ, θανάτῳ ἀποθανεῖσθε." Καὶ φαγόντες

οὐχ οἷον οὐκ ἀποθνήσκουσιν, ἀλλὰ καὶ παιδοποιοῦν-
ται, καὶ ἑτέροις τοῦ ζῆν αἴτιοι καθίστανται. Τί
οὖν λεκτέον; Ὅτι διττός ἐστι θάνατος, ὁ μὲν ἀν-
65 θρώπου, ὁ δὲ ψυχῆς ἴδιος. Ὁ μὲν οὖν ἀνθρώπου, 60
M χωρισμός ἐστι ψυχῆς ἀπὸ σώματος, ὁ δὲ ψυχῆς θά- P.
νατος ἀρετῆς μὲν φθορά ἐστι, κακίας δὲ ἀνάληψις.
Παρ' ὃ καί φησιν οὐκ ἀποθανεῖν αὐτὸ μόνον, ἀλλὰ
"θανάτῳ ἀποθανεῖν," δηλῶν οὐ τὸν κοινὸν, ἀλλὰ
τὸν ἴδιον καὶ κατ' ἐξοχὴν θάνατον, ὅς ἐστι ψυχῆς
ἐντυμβευομένης πάθεσι καὶ κακίαις ἁπάσαις. Καὶ
σχεδὸν οὗτος ὁ θάνατος μάχεται ἐκείνῳ. Ἐκεῖνος μὲν
γὰρ διάκρισίς ἐστι τῶν συγκριθέντων, σώματός τε καὶ
ψυχῆς· οὗτος δὲ τὸ ἐναντίον, σύνοδος ἀμφοῖν, κρα-
τοῦντος μὲν τοῦ χείρονος, σώματος, κρατουμένου δὲ
τοῦ κρείττονος, τῆς ψυχῆς. Ὅπου δ' ἂν οὖν λέγῃ
"θανάτῳ ἀποθανεῖν," παρατήρει ὅτι θάνατον τὸν ἐπὶ
τιμωρίᾳ λαμβάνει, οὐ τὸν φύσει γινόμενον. Φύσει
μὲν οὖν ἐστι, καθ' ὃν χωρίζεται ψυχὴ ἀπὸ σώμα-
τος· ὁ δ' ἐπὶ τιμωρίᾳ συνίσταται, ὅταν ἡ ψυχὴ τὸν
ἀρετῆς βίον θνήσκῃ, τὸν δὲ κακίας ζῇ μόνον. Εὖ
καὶ ὁ Ἡράκλειτος κατὰ τοῦτο Μωϋσέως ἀκολουθή-
σας τῷ δόγματι· φησὶ γὰρ, "Ζῶμεν τὸν ἐκείνων
θάνατον, τεθνήκαμεν δὲ τὸν ἐκείνων βίον," ὡς νῦν
μὲν, ὅτε ἐνζῶμεν, τεθνηκυίας τῆς ψυχῆς, καὶ ὡς ἂν
ἐν σήματι τῷ σώματι ἐντετυμβευμένης· εἰ δὲ ἀπο-
θάνοιμεν, τῆς ψυχῆς ζώσης τὸν ἴδιον βίον, καὶ ἀπηλ-
λαγμένης κακοῦ καὶ νεκροῦ τοῦ συνδέτου σώματος.

# ΝΟΜΩΝ ΙΕΡΩΝ

## ΑΛΛΗΓΟΡΙΑΙ ΔΕΥΤΕΡΑΙ

ΤΩΝ

ΜΕΤΑ ΤΗΝ ʽΕΞΑΗΜΕΡΟΝ.

# SACRARUM LEGUM

## ALLEGORIARUM

## POST SEX DIERUM OPUS.

### LIBER II.

---

## Argumentum.

(Cf. Gen. 2, 17 sqq. 3, 1 sqq.)

Mulierem auxiliarem deus homini dedit, i. e. animae corpus sensibus praeditum iunxit (1 et 2), ut homo mente percipere posset, quae extra ipsum sunt (3), quod non nisi corpore fieri potest. Bestias et volucres deinceps creavit deus (4); his indicantur affectus, quorum impetu animus laeditur (5). Deus Adamum cunctis rebus creatis nomina imponere iussit, ut inde cognosceret, quas ex omnibus hominis mens potissimum amplexura foret, quas non (6). Sopore, quem deus Adamo immisit (7), indicatur, sensus esse deprimendos, ut mens libere agere possit, feminâque e costâ creatâ sensus in actu, ad quem deus hominem perpulit (8—11); mulier enim denotat sensum, vir mentem, per quam sensus ope, deo quidem cooperante, efficitur actus (12 et 13). Homo derelinquet patrem et matrem, ut sequatur uxorem, i. e. homo indulgebit affectibus, neque mentem, uti debebat, sequetur (14). Nuditate protoplastorum triplex animae habitus indicatur, quorum primus est is, quo homo omni vitio expers est, alter, quo virtute caret, tertius, medius quidam, quo, ut infantes, neque virtutis, neque vitii particeps est (15 et 16); hic erat status primorum hominum, quamobrem non erubuisse dicuntur; mens enim illo-

rum adhuc boni et mali discrimen non intellexerat (17). Serpens typus est voluptatis animum mordentis (18), quod sentiunt omnes, etiam ii, qui loca deserta petunt, ut ibi clausis oculis de rebus coelestibus meditentur (19). Huic serpenti Evae oppositus est aeneus ille, quem iubente deo erexit Moyses. Hic signum est temperantiae, qua profligatur voluptas (20 et 21); hoc etiam indicatur, qua via voluptatem insidiantem animo fugere possis (22 et 23). Eadem vis ac potestas est serpentis, qualis Dan fieri debuit (24), quo iterum typice temperantia significatur, quam potissimum sequi debemus. In fine libri lector excitatur, ut voluptati animum ὀφιομάχον opponat, et certamine cum illa fortiter inito pulcherrimam et prae omnibus insignem coronam, quam temperantia voluptatem devincentibus porrigit, parare studeat (25 et 26).

---

66 §. 1. *Καὶ εἶπε κύριος ὁ θεὸς, "Οὐ καλὸν* 1087
M. *εἶναι τὸν ἄνθρωπον μόνον, ποιήσωμεν αὐτῷ βοηθὸν* P.
*κατ' αὐτόν."* *) *Διὰ τί τὸν ἄνθρωπον, ὦ προφῆτα, οὐκ ἔστι καλὸν εἶναι μόνον; Ὅτι, φησὶ, καλόν ἐστι, τὸν μόνον εἶναι μόνον. Μόνος δὲ, καὶ καθ' αὑτὸν, εἷς ὢν, ὁ θεὸς, οὐδὲν δὲ ὅμοιον θεῷ. Ὥςτε, ἐπεὶ τὸ μόνον εἶναι τὸν ὄντα καλόν ἐστιν, — ὃ γὰρ περὶ μόνον αὐτὸν τὸ καλόν, — οὐκ ἂν εἴη καλὸν, τὸ εἶναι τὸν ἄνθρωπον μόνον. Τὸ δὲ, μόνον εἶναι τὸν θεὸν, ἔστι μὲν ἐκδέξασθαι καὶ οὕτως, ὅτι οὔτε πρὸ γενέσεως ἦν τι σὺν τῷ θεῷ, οὔτε κόσμου γενομένου συντάττεταί τι αὐτῷ· χρῄζει γὰρ οὐδενὸς τὸ παράπαν. Ἀμείνων δὲ ἥδε ἡ ἐκδοχή. Ὁ θεὸς μόνος ἐστὶ, καὶ ἓν, οὐ σύγκριμα, φύσις ἁπλῆ· ἡμῶν δὲ ἕκαστος, καὶ τῶν ἄλλων ὅσα γέγονε, πολλά· οἷον, ἐγὼ, πολλά εἰμι· ψυχὴ, σῶμα· καὶ ψυχῆς, ἄλογον, λογικόν· πάλιν σώματος, θερμὸν, ψυχρὸν, βαρὺ, κοῦφον, ξηρὸν, ὑγρόν. Ὁ δὲ θεὸς, οὐ σύγκριμα, οὐδὲ*

*) Gen. 2, 18 sqq.

ἐκ πολλῶν συνεστὼς, ἀλλ᾽ ἀμιγὴς ἄλλῳ. Ὃ γὰρ
67 ἂν προςκριθῇ θεῷ ἢ κρεῖσσόν ἐστιν αὐτοῦ, ἢ ἔλασ-
M. σον ἢ ἴσον αὐτῷ. Οὔτε δὲ ἴσον οὔτε κρεῖσσόν ἐστι θεοῦ, ἔλασσόν γε μὴν οὐδὲν αὐτῷ προςκρίνεται· εἰ δὲ μὴ, καὶ αὐτὸς ἐλαττωθήσεται· εἰ δὲ τοῦτο, καὶ φθαρτὸς ἔσται, ὅπερ οὐδὲ θέμις νοῆσαι. Τέτακται οὖν ὁ θεὸς κατὰ τὸ ἓν καὶ τὴν μονάδα· μᾶλλον δὲ καὶ ἡ μονὰς, κατὰ τὸν ἕνα θεὸν, πᾶς γὰρ ἀρι-
θμὸς νεώτερος κόσμου, ὡς καὶ χρόνος· ὁ δὲ θεὸς 1088
πρεσβύτερος κόσμου καὶ δημιουργός. P.

§. 2. Οὐδένα δὲ ἄνθρωπον καλόν ἐστιν εἶναι μόνον. Δύο γὰρ ἀνθρώπων γένη, τό τε κατὰ τὴν εἰκόνα γεγονὸς, καὶ τὸ πεπλασμένον ἐκ γῆς· ἐφίεται γὰρ τῆς εἰκόνος. Ἡ γὰρ εἰκὼν τοῦ θεοῦ, ἀρχέτυπος ἄλλων ἐστί. Πᾶν δὲ μίμημα ποθεῖ τοῦτο, οὗπέρ ἐστι μίμημα, καὶ μετ᾽ ἐκείνου τάττεται. Οὔτε δὲ τῷ κατ᾽ εἰκόνα ἀνθρώπῳ καλόν ἐστιν εἶναι μόνῳ, οὔτε τῷ πλαστῷ πολὺ μᾶλλον καλόν ἐστιν εἶναι μόνῳ, ἀλλὰ καὶ ἀδύνατον. Καὶ γὰρ αἰσθήσεις καὶ πάθη καὶ κακίαι καὶ μυρία ἄλλα τούτῳ τῷ νῷ συνέζευκται καὶ συνήρμοσται. Τῷ δὲ δευτέρῳ ἀνθρώπῳ βοηθὸς συνίσταται, πρῶτον μὲν γεννητός· "ποιήσω γὰρ," φησὶν, "αὐτῷ βοηθόν." Ἔπειτα δὲ νεώτερος τοῦ βοηθουμένου. Πρότερον μὲν γὰρ ἔπλασε τὸν νοῦν, μέλλει δὲ πλάττειν τὸν βοηθὸν αὐτοῦ. Ἀλλὰ καὶ ταῦτα φυσικῶς ἀλληγορεῖται· ἡ γὰρ αἴσθησις, καὶ τὰ πάθη τῆς ψυχῆς, εἰσὶ νεώτεροι τῆς ψυχῆς. Πῶς μὲν οὖν βοηθοῦσιν, ὀψώμεθα· ὅτι δέ εἰσι βοηθοὶ νεώτεροι, θεασώμεθα.

§. 3. Ὥςπερ κατὰ τοὺς ἀρίστους τῶν ἰατρῶν καὶ φυσικῶν δοκεῖ τοῦ ὅλου σώματος προπλάττεσθαι ἡ καρδία, θεμελίου τρόπον, ἢ ὡς ἐν νηῒ τρόπεως, ἐφ᾽ ἣν οἰκοδομεῖται τὸ ἄλλο σῶμα, — παρὸ καὶ μετὰ τὴν τελευτὴν ἔτι ἐμπηδᾶν φασιν αὐτὴν, ὡς καὶ πρώτην γινομένην, καὶ ὑστέραν φθειρομένην, — οὕτως καὶ τὸ ἡγεμονικὸν τῆς ψυχῆς πρεσβύτερον τῆς

ὅλης εἶναι· τὸ δ' ἄλογον νεώτερον, οὗ τὴν γένεσιν
οὔπω μὲν δεδήλωκε, μέλλει δὲ ὑπογράφειν. Τὸ δ'
ἄλογον αἴσθησίς ἐστι καὶ τὰ ταύτης ἔκγονα πάθη,
καὶ μάλιστα εἰ μὲν κρίσεις εἰσὶν ἡμέτεραι. Καὶ νεώ-
τερος οὖν οὗτος ὁ βοηθὸς θεοῦ, καὶ γεννητὸς εἰκό-
68 τως. Τὸ δὲ ὑπερτεθὲν, ἴδωμεν πῶς βοηθεῖ. Πῶς
M. ἡμῶν ὁ νοῦς καταλαμβάνει, ὅτι τουτὶ λευκὸν ἢ μέ-
λαν ἐστὶν, εἰ μὴ βοηθῷ χρησάμενος ὁράσει; Πῶς
δὲ, ὅτι ἡδεῖα ἡ τοῦ κιθαρῳδοῦ φωνὴ, ἢ τὸ ἐναντίον
ἐκμελὴς, εἰ μὴ βοηθῷ χρησάμενος ἀκοῇ; Πῶς δὲ,
ὅτι εὐώδεις ἢ δυςώδεις οἱ ἀτμοὶ, εἰ μὴ συμμάχῳ
χρησάμενος ὀσφρήσει; Πῶς δὲ δοκιμάζει τοὺς χυ-
λοὺς, εἰ μὴ διὰ βοηθοῦ τῆς γεύσεως; Πῶς δὲ αὖ
τὰ μαλακὰ καὶ τραχέα, εἰ μὴ δι' ἁφῆς; Ἔστι τοί-
νυν ἕτερον εἶδος βοηθοῦ, ὡς ἔφην, τὰ πάθη. Καὶ
γὰρ ἡδονὴ βοηθεῖ πρὸς διαμονὴν τοῦ γένους ἡμῶν,
καὶ ἐπιθυμία καὶ λύπη μέντοι καὶ φόβος, δάκνοντα
τὴν ψυχὴν, ἐπέστρεψεν αὐτὴν μηδενὸς ὀλιγωρεῖν.
Ὀργή τε ἀμυντήριον ὅπλον, ἣ μεγάλα πολλοὺς ὠφέ-
λησε, καὶ τὰ ἄλλα ταύτῃ. Διὸ καὶ εὐθυβόλως 1089
εἶπε, "κατ' αὐτὸν εἶναι τὸν βοηθόν." Τῷ γὰρ ὄντι P.
οἰκεῖος οὗτος ὁ βοηθός ἐστι τῷ νῷ, ὡς ἂν ἀδελφὸς
καὶ ὅμαιμος· μιᾶς γάρ ἐστι ψυχῆς μέρη καὶ γεννή-
ματα ἥ τε αἴσθησις καὶ τὰ πάθη.

§. 4. Τοῦ δὲ βοηθοῦ ἐστι διττὸν τὸ εἶδος, τὸ μὲν ἐν πάθεσι, τὸ δ' αἰσθήσει. τὸ ** νόμενον τὸ πρότερον εἶδος γεννήσει. Λέγει γὰρ, "Καὶ ἔπλασεν ὁ θεὸς ἔτι ἐκ τῆς γῆς πάντα τὰ θηρία τοῦ ἀγροῦ, καὶ πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ. Καὶ ἤγαγεν αὐτὰ πρὸς τὸν Ἀδὰμ, ἰδεῖν τί καλέσει αὐτὰ, καὶ πᾶν ὃ ἂν ἐκάλεσεν αὐτὸ Ἀδὰμ ψυχὴν ζῶσαν, τοῦτο ὄνομα αὐτῷ." *) Ὁρᾷς τίνες εἰσὶν ἡμῶν οἱ βοηθοὶ, τὰ θηρία τῆς ψυχῆς, τὰ πάθη. Εἰπὼν γὰρ, "ποιήσω βοηθὸν κατ' αὐτὸν," ἐπιφέρει

---

*) Gen. 2, 19.

τὸ "ἔπλασε τὰ θηρία," ὡς τῶν θηρίων ὄντων βοηθῶν ἡμῖν. Οὐ κυρίως δὲ οὗτοι βοηθοὶ, ἀλλὰ καταχρηστικῶς λέγονται, εὑρίσκονταί γέ τοι πρὸς ἀλήθειαν πολέμιοι. Ὥςπερ καὶ τῶν πόλεων ἔστιν ὅτε οἱ σύμμαχοι προδόται καὶ αὐτόμολοι, καὶ ἐν ταῖς φιλίαις οἱ κόλακες ἀντὶ ἑταίρων ἐχθροί. Οὐρανὸν δὲ καὶ ἀγρὸν συνωνύμως κέκληκεν, ἀλληγορῶν τὸν νοῦν. Οὗτος γὰρ, καὶ ὡς ἀγρὸς, ἀνατολὰς καὶ βλάστας ἔχει μυρίας ὅσας, καὶ, ὡς οὐρανὸς πάλιν, λαμπρὰς καὶ θείας καὶ εὐδαίμονας φύσεις. Θηρίοις δὲ καὶ πτηνοῖς ἀπεικάζει τὰ πάθη, ὅτι σίνεται τὸν νοῦν, ἀτίθασσα καὶ ἀνήμερα ὄντα, καὶ ὅτι πτηνῶν τρόπον ἐπιπετᾶται τῇ διανοίᾳ· ὀξεῖα γὰρ ἡ τούτων καὶ ἀνεπίσχετος ὁρμή. Οὐ παρέργως δὲ πρόςκειται τῷ ἔπλασε τὸ ἔτι. Διὰ τί; Ὅτι καὶ ἐπάνω
69 πεπλάσθαι τὰ θηρία φησὶ πρὸ τῆς ἀνθρώπου γενέ-
M. σεως. καὶ δηλοῖ διὰ τούτων ἐν ἕκτῃ ἡμέρᾳ. "Καὶ εἶπεν· ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν κατὰ γένος, τετράποδα καὶ ἑρπετὰ καὶ θηρία." *) Τί παθὼν οὖν ἄλλα πλάττει θηρία νῦν, οὐκ ἀρκεσθεὶς τοῖς προτέροις; Λεκτέον ἠθικῶς μὲν τοῦτο. Πλούσιόν ἐστι τὸ κακίας γένος ἐν τῷ γεννητῷ, ὥςτε ἀεὶ γεννᾶσθαι τὰ φαυλότατα ἐν τούτῳ. Φυσικῶς δὲ ἐκεῖνο· πρότερον μὲν ἐν τῇ ἑξαμέρῳ τὰ γένη τῶν παθῶν καὶ τὰς ἰδέας εἰργάζετο, νυνὶ δὲ τὰ εἴδη προςπλάττει. Διό φησιν, "ἔπλασεν ἔτι." Ὅτι δὲ τὰ πάλαι κατασκευασθέντα γένη ἦν, φανερὸν, ἐξ ὧν φησιν, "ἐξαγαγέτω ἡ γῆ ψυχὴν ζῶσαν," οὐ κατ᾽ εἶδος, ἀλλὰ "κατὰ γένος." Καὶ τοιοῦτος ἐν ἅπασιν εὑρίσκεται. Πρὸ γὰρ τῶν εἰδῶν ἀποτελεῖ τὰ γένη, ὥςπερ καὶ ἐπὶ τοῦ ἀνθρώπου· προτυπώσας γὰρ τὸν γενικὸν
ἄνθρωπον, ἐν ᾧ τὸ ἄῤῥεν καὶ τὸ θῆλυ γένος 1090
φασὶν εἶναι, ὕστερον τὸ εἶδος ἀπεργάζεται τὸν P.
Ἀδάμ.

---

*) Gen. 1, 24.

§. 5. Τοῦτο μὲν οὖν τὸ εἶδος τῶν βοηθῶν εἴρηκε, τὸ δὲ ἕτερον ὑπερτίθεται τὸ τῆς αἰσθήσεως, ὅταν ἐπιχειρῇ πλάττειν τὴν γυναῖκα. Ἐκεῖνο δὲ ὑπερθέμενος, περὶ τῆς τῶν ὀνομάτων θέσεως τεχνολογεῖ. Ἔστι δὲ καὶ ἡ τροπικὴ καὶ ἡ ῥητὴ ἀπόδοσις ἀξία τοῦ θαυμάζεσθαι. Ἡ μὲν ῥητὴ, παρόσον τὴν θέσιν τῶν ὀνομάτων προςῆψε τῷ πρώτῳ γεννωμένῳ ὁ νομοθέτης. Καὶ γὰρ οἱ παρ' Ἕλλησι φιλοσοφοῦντες εἶπον, εἶναι σοφοὺς τοὺς πρώτους τοῖς πράγμασι τὰ ὀνόματα θέντας. Μωϋσῆς δὲ ἄμεινον, ὅτι πρῶτον μὲν οὔ τισι τῶν πρότερον, ἀλλὰ τῷ πρώτῳ γεννωμένῳ, ἵνα ὥςπερ αὐτὸς ἀρχὴ τοῖς ἄλλοις γενέσεως ἐπλάσθη, οὕτω καὶ αὐτὸς ἀρχὴ τοῦ διαλέγεσθαι νομισθῇ. Μὴ γὰρ ὄντων ὀνομάτων, οὐδ' ἂν διάλεκτος ἦ. Ἔπειτα, ὅτι πολλῶν μὲν τιθέντων ὀνόματα, διάφωνα καὶ ἄμικτα ἔμελλεν ἔσεσθαι, ἄλλων ἄλλως τιθέντων. Ἑνὸς δὲ ὤφειλεν ἡ θέσις ἐφαρμόττειν τῷ πράγματι, καὶ τοῦτ' εἶναι σύμβολον ἅπασι τὸ αὐτὸ, τοῦ τυγχάνοντος ἢ τοῦ σημαινομένου.

§. 6. Ὁ δὲ ἠθικὸς λόγος τοιοῦτός ἐστι. Τὸ "τί" πολλάκις τίθεμεν ἀντὶ τοῦ "διὰ τί," οἷον, τί λέλουσαι, τί περιπατεῖς, τί διαλέγῃ· πάντα γὰρ ταῦτα ἀντὶ τοῦ "διὰ τί." Ὅταν οὖν λέγῃ, ἰδεῖν τί καλέσῃ, ἄκουε ἴσον τῷ, διὰ τί καλέσει, καὶ προςκαλέσεται, καὶ ἀσπάσεται τούτων ἕκαστον ὁ νοῦς. Πότερον ἕνεκα τοῦ ἀναγκαίου μόνον, ὅτι κατέζευκται τὸ θνητὸν ἐξ ἀνάγκης πάθεσι καὶ κακίαις; Ἢ καὶ ἕνεκα τοῦ ἀμέτρου καὶ περιττοῦ; Καὶ πότερον διὰ τὰς τοῦ γηγενοῦς χρείας, ἢ διὰ τὸ κρίνειν αὐτὰ βέλτιστα καὶ θαυμασιώτατα, οἷον ἡδονῇ χρῆσθαι δεῖ
70 τὸ γεγονός; Ἀλλ' ὁ μὲν φαῦλος ὡς ἀγαθῷ τελείῳ
M. χρήσεται, ὁ δὲ σπουδαῖος, ὡς μόνον ἀναγκαίῳ· χωρὶς γὰρ ἡδονῆς οὐδὲν γίνεται τῶν ἐν τῷ θνητῷ γένει. Πάλιν τὴν τῶν χρημάτων κτῆσιν, ὁ μὲν τελειότατον ἀγαθὸν κρίνει, ὁ δὲ σπουδαῖος, ἀναγκαῖον καὶ χρήσιμον αὐτὸ μόνον. Εἰκότως οὖν ὁ θεὸς ἰδεῖν

καὶ καταμαθεῖν βούλεται, πῶς ἕκαστον τούτων προςκαλεῖται καὶ ἀποδέχεται ὁ νοῦς, εἴτε ὡς ἀγαθὰ εἴτε ὡς ἀδιάφορα, ἢ ὡς κακὰ μὲν χρειώδη δὲ ἄλλως. Διὸ καὶ πᾶν ὃ ἂν προςεκαλέσατο, καὶ ἠσπάσατο ὡς ψυχὴν ζῶσαν, ἰσότιμον αὐτὸ ἡγησάμενος ψυχῇ, τοῦτο ὄνομα οὐ τοῦ κληθέντος ἐγίνετο μόνον, ἀλλὰ καὶ τοῦ καλέσαντος· οἷον, εἰ ἀπεδέξατο ἡδονὴν, ἐκαλεῖτο ἡδονικὸς, εἰ δ' ἐπιθυμίαν, ἐπι- 1091
θυμητικὸς, εἰ ἀκολασίαν, ἀκόλαστος, εἰ δειλίαν, P.
δειλὸς, καὶ οὕτως ἐπὶ τῶν ἄλλων. Ὥςπερ γὰρ ἀπὸ τῶν ἀρετῶν ὁ κατ' αὐτὰς ποιὸς καλεῖται φρόνιμος ἢ σώφρων ἢ δίκαιος ἢ ἀνδρεῖος, οὕτως ἀπὸ τῶν κακιῶν ἄδικος καὶ ἄφρων καὶ ἄνανδρος, ἐπειδὰν τὰς ἕξεις προςκαλέσηται καὶ δεξιώσηται.

§. 7. „Καὶ ἐπέβαλεν ὁ θεὸς ἔκστασιν ἐπὶ τὸν Ἀδὰμ, καὶ ὕπνωσε. Καὶ ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ," *) καὶ τὰ ἑξῆς. Τὸ ῥητὸν ἐπὶ τούτου μυθῶδές ἐστι. Πῶς γὰρ ἂν παραδέξαιτό τις, ὅτι γέγονεν ἐκ πλευρᾶς ἀνδρὸς γυνὴ, ἢ συνόλως ἄνθρωπος; Τί δὲ ἐκώλυεν, ὥςπερ ἐκ γῆς ἄνδρα ἐδημιούργει τὸ αἴτιον, οὕτω καὶ γυναῖκα δημιουργῆσαι; Ὅ τε γὰρ ποιῶν ὁ αὐτὸς ἦν, ἥ τε ὕλη σχεδὸν ἄπειρος, ἐξ ἧς πᾶσα ποιότης κατεσκευάζετο. Διὰ τί δὲ οὐκ ἐξ ἄλλου μέρους, τοσούτων ὑπαρχόντων, ἀλλ' ἐκ πλευρᾶς ἐτύπου τὴν γυναῖκα; Ποτέρας δὲ πλευρᾶς; Ἵνα καὶ δύο μόνον ἐμφαίνεσθαι φῶμεν. Πρὸς γὰρ ἀλήθειαν οὐδὲ πλῆθος αὐτῶν ἐδήλωσεν. Ἆρά γε τὴν εὐώνυμον, ἢ τὴν δεξιάν; Εἴ γε μὴν ἀνεπλήρου σαρκὶ τὴν ἑτέραν, ἡ ἀπολειπομένη οὐκ ἦν σαρκίνη δήπου; Καὶ μὴν ἀδελφαί γέ εἰσι καὶ συγγενεῖς πᾶσι τοῖς μέρεσιν αἱ ἡμῶν πλευραὶ, καὶ σαρκὸς γεγόνασι. Τί οὖν λεκτέον; Πλευρὰς ὁ βίος ὀνομάζει τὰς δυνάμεις. Λέγομεν γὰρ πλευρὰς ἔχειν τὸν ἄνθρωπον, ἴσον τῷ δυνάμεις, καὶ ἔμπλευρον εἶναι τὸν ἀθλητὴν,

*) Gen. 2, 21.

ἀντὶ τοῦ ἰσχυρὸν, καὶ πλευρὰς ἔχειν τὸν κιθαρῳδὸν, ἀντὶ τοῦ δύναμιν ἐῤῥωμένην ἐν τῷ ᾄδειν. Τούτου
71 προειρημένου καὶ ἐκεῖνο λεκτέον, ὅτι ὁ γυμνὸς καὶ
M. ἀνένδετος σώματι νοῦς — περὶ γὰρ τοῦ μήπω ἐνδεδεμένου ἐστὶν ὁ λόγος — πολλὰς ἔχει δυνάμεις, ἑκτικὴν, φυτικὴν, ψυχικὴν, λογικὴν, διανοητικὴν, ἄλλας μυρίας κατά τε εἴδη καὶ γένη. Ἡ μὲν ἕξις κοινὴ καὶ τῶν ἀψύχων ἐστὶ λίθων καὶ ξύλων, ἧς μετέχει καὶ τὰ ἐν ἡμῖν ἐοικότα λίθοις ὀστέα. Ἡ δὲ φύσις διατείνει καὶ ἐπὶ τὰ φυτά. Καὶ ἐν ἡμῖν δέ εἰσιν ἐοικότα φυτοῖς, ὄνυχές τε καὶ τρίχες. Ἔστι δὲ ἡ φύσις ἕξις ἤδη κινουμένη. Ψυχὴ δέ ἐστι φύσις προσειληφυῖα φαντασίαν καὶ ὁρμήν· αὕτη κοινὴ καὶ τῶν ἀλόγων ἐστίν. Ἔχει δὲ καὶ ὁ ἡμέτερος νοῦς ἀναλογοῦν τι ἀλόγου ψυχῇ· πάλιν ἡ διανοητικὴ δύναμις ἰδία τοῦ νοῦ ἐστι, καὶ ἡ λογικὴ κοινὴ μὲν τάχα καὶ τῶν θειοτέρων φύσεων, ἰδία δὲ ὡς εὖ θνητῆς ἀνθρώπου. Αὕτη δὲ διττὴ, ἡ μὲν καθ' ἣν λογικοί ἐσμεν, νοῦ μετέχοντες, ἡ δὲ καθ' ἣν διαλεγόμεθα. Ἔστιν ἄλλη δύναμις ἐν ψυχῇ, τούτων ἀδελφὴ, ἡ αἰσθητικὴ, περὶ ἧς ἐστιν ὁ λόγος. Οὐδὲν γὰρ ἄλλο
νῦν ὑπογράφει, ἢ γένεσιν τῆς κατ' ἐνέργειαν αἰ- 1092
σθήσεως καὶ κατὰ λόγον. P.

§. 8. Μετὰ γὰρ νοῦν, εὐθὺς ἔδει δημιουργηθῆναι αἴσθησιν βοηθὸν αὐτῷ καὶ σύμμαχον. Τελεσιουργήσας οὖν ἐκεῖνον, το δεύτερον καὶ τῇ τάξει καὶ τῇ δυνάμει πλάττει δημιούργημά τι, τὴν κατ' ἐνέργειαν αἴσθησιν, πρὸς συμπλήρωσιν τῆς ὅλης ψυχῆς, καὶ πρὸς τὴν τῶν ὑποκειμένων ἀντίληψιν. Πῶς οὖν γεννᾶται; Ὡς αὐτὸς πάλιν φησὶν, ὅταν ὑπνώσῃ ὁ νοῦς. Τῷ γὰρ ὄντι ὑπνώσαντος νοῦ γίνεται αἴσθησις. Καὶ γὰρ ἔμπαλιν ἐγρηγορότος νοῦ, σβέννυται. Τεκμήριον δὲ, ὅταν τι βουλώμεθα ἀκριβὲς νοῆσαι, εἰς ἐρημίαν ἀποδιδράσκομεν, καταμύομεν τὰς ὄψεις, τὰ ὦτα ἐπιφράττομεν, ἀποταττόμεθα ταῖς αἰσθήσεσιν. Οὕτως μὲν ὅταν ἀναστῇ, καὶ ἐγρηγόρσει χρῆ-

ται ὁ νοῦς, φθείρεται αἴσθησις. Ἴδωμεν δὲ καὶ
θάτερον πῶς ὕπνῳ χρῆται ὁ νοῦς. Περιαναστάσης
καὶ ζωπυρηθείσης αἰσθήσεως, ὅταν ἡ ὄψις γραφέων
ἢ πλαστῶν ἔργα εὖ δεδημιουργημένα καθορᾷ, οὐχ
ὁ νοῦς ἄπρακτός ἐστι, νοητὸν ἐπινοῶν οὐδέν; Τί δέ;
Ὅταν ἡ ἀκοὴ προσέχῃ φωνῆς ἐμμελείᾳ, δύναται ὁ
νοῦς λογίζεσθαί τι τῶν οἰκείων; Οὐδαμῶς. Καὶ μὴν
πολὺ πλέον ἄπρακτος γίνεται, ὅταν ἡ γεῦσις ἐξανα-
στᾶσα, λάβρως ἐμπίμπληται τῶν γαστρὸς ἡδονῶν.
Διὸ καὶ Μωϋσῆς φοβηθεὶς, μή ποτε ὁ νοῦς μὴ μό-
νον κοιμηθῇ, ἀλλὰ καὶ τελείως ἀποθάνῃ, φησὶν ἐν
72 ἑτέροις, „Καὶ πάσσαλος ἔσται σοι ἐπὶ τῆς ζώνης
M. σου. Καὶ ἔσται, ὅταν διακαθιζάνῃς, ὀρύξεις ἐν αὐ-
τῷ καὶ ἐπαγαγὼν καλύψεις τὴν ἀσχημοσύνην σου," *)
πάσσαλον συμβολικῶς φάσκων τὸν ἐξορύσσοντα λό-
γον τὰ κεκρυμμένα τῶν πραγμάτων. Κελεύει δὲ αὐ-
τὸν φορεῖν ἐπὶ τοῦ πάθους, ὃ ἀνεζῶσθαι χρὴ, καὶ
μὴ ἐᾶν κεχαλᾶσθαι καὶ ἀνεῖσθαι. Τοῦτο δὲ πρα-
κτέον, ὅταν ὁ νοῦς τοῦ τόνου τῶν νοητῶν ἀποστὰς,
ὑφῆκται πρὸς τὰ πάθη καὶ διακαθιζάνῃ, ἐνδιδοὺς
καὶ ἀγόμενος ὑπὸ τῆς σωματικῆς ἀνάγκης. Καὶ οὕ-
τως ἔχει, ὅταν ἐν ταῖς ἁβροδιαίτοις συνουσίαις ἐπι-
λάθηται ὁ νοῦς ἑαυτοῦ, κρατηθεὶς τοῖς ἐπὶ τὰς ἡδο-
νὰς ἄγουσι, δεδουλώμεθα, καὶ ἀκατακαλύπτῳ τῇ
ἀκαθαρσίᾳ χρώμεθα. Ἐὰν δὲ ὁ λόγος ἰσχύσῃ ἀνα-
καθᾶραι τὸ πάθος, οὔτε πίνοντες μεθυσκόμεθα,
οὔτε ἐσθίοντες ἐξυβρίζομεν διὰ κόρον, ἀλλὰ δίχα
τοῦ ληρεῖν νηφάλια σιτούμεθα. Οὐκοῦν ἥ τε τῶν
αἰσθήσεων ἐγρήγορσις ὕπνος ἐστὶ νοῦ, ἥ τε τοῦ νοῦ
ἐγρήγορσις ἀπραξία τῶν αἰσθήσεων. Καθάπερ καὶ
ἡλίου ἀνατείλαντος μὲν ἀφανεῖς αἱ τῶν ἄλλων ἀστέ-
ρων λάμψεις, καταδύναντος δὲ ἔκδηλοι· ἡλίου δὴ
τρόπον ὁ νοῦς ἐγρηγορὼς μὲν ἐπισκιάζει ταῖς αἰ-
σθήσεσι, κοιμηθεὶς δὲ αὐτὸς ἐξέλαμψε.

*) Deuter. 23, 13.

§. 9. *Τούτων εἰρημένων, ἐφαρμοστέον τὰς* 109
*λέξεις. „Ἐπέβαλε," φησὶν, „ὁ θεὸς ἔκστασιν ἐπὶ* P.
*τὸν Ἀδὰμ, καὶ ὕπνωσεν."*) Ὀρθῶς, ἡ γὰρ ἔκστασις
καὶ τροπὴ τοῦ νοῦ ὕπνος ἐστὶν αὐτοῦ. Ἐξίσταται
δὲ, ὅταν μὴ πραγματεύηται τὰ ἐπιβάλλοντα αὐτῷ
νοητά. Ὅτε δὲ οὐκ ἐνεργεῖ ταῦτα, κοιμᾶται. Εὖ
δὲ τὸ φάναι ὅτι „ἐξίσταται." τοῦτο δὲ, ὅτι τρέπε-
ται, οὐ παρ' ἑαυτὸν, ἀλλὰ παρὰ τὸν ἐπιβάλλοντα
καὶ ἐπιφέροντα καὶ ἐπιπέμποντα τὴν τροπὴν θεόν.
Καὶ γὰρ οὕτως ἔχει· εἰ γοῦν παρ' ἐμὲ ἦν τὸ τρέπε-
σθαι, ὁπότε ἐβουλόμην ἂν ἐχρώμην αὐτῷ, καὶ ὁπότε
μὴ ἐπροηρούμην, ἄτρεπτος διετέλουν. Νυνὶ δὲ καὶ
ἀντιφιλονεικεῖ μοι ἡ τροπὴ, καὶ πολλάκις βουλόμενος
καθῆκόν τι νοῆσαι, ἐπαντλοῦμαι ταῖς παρὰ τὸ κα-
θῆκον ἐπιῤῥοίαις· καὶ ἔμπαλιν ἔννοιάν τινος λαμβά-
νων αἰσχροῦ, ποτίμοις ἐννοίαις ἀπεῤῥιψάμην ἐκεῖνο,
θεοῦ τῇ ἑαυτοῦ χάριτι γλυκὺ νᾶμα ἀντὶ ἁλμυροῦ
ἐπειςχέαντος τῇ ψυχῇ. Πᾶν μὲν οὖν τὸ γεννητὸν
ἀναγκαῖον τρέπεσθαι· ἴδιον γάρ ἐστι τοῦτο αὐτοῦ,
ὥςπερ θεοῦ τὸ ἄτρεπτον εἶναι. Ἀλλ' οἱ μὲν τρα-
πέντες κατέμειναν ἄχρι παντελοῦς φθορᾶς, οἱ δὲ,
ὅσον μόνον παθεῖν τὸ θνητόν· οὗτοι δὲ εὐθὺς ἀνε-*
73 *σώθησαν. Διὸ καὶ Μωϋσῆς φησιν, ὅτι „οὐκ ἐάσει*
M. *τὸν ὀλοθρεύοντα εἰςελθεῖν εἰς τὰς οἰκίας ὑμῶν πα-
τάξαι."**) Ἐᾷ μὲν γὰρ τὸν ὀλοθρεύοντα — ὄλεθρος
δὲ ψυχῆς ἐστιν ἡ τροπή — εἰςελθεῖν εἰς τὴν ψυχὴν,
ἵνα τὸ ἴδιον ἐνδείξηται τοῦ γεννητοῦ. Οὐκ ἀφήσει
δὲ ὁ θεὸς τὸν τοῦ ὁρῶντος ἔγγονον Ἰσραὴλ οὕτως
τραπῆναι, ὥςτε πληγῆναι ὑπὸ τῆς τροπῆς, ἀλλὰ ἀνα-
δραμεῖν καὶ ἀνακῦψαι ὥςπερ ἐκ βυθοῦ καὶ ἀνασω-
θῆναι βιάσεται.*

§. 10. *„Ἔλαβε μίαν τῶν πλευρῶν αὐτοῦ." Τῶν
πολλῶν τοῦ νοῦ δυνάμεων μίαν ἔλαβε, τὴν αἰσθη-*

---

*) Gen. 2, 21.

**) Exod. 12, 23.

τικήν. Τὸ δὲ "ἔλαβεν" οὐκ ἀντὶ τοῦ ἀφεῖλεν ἀκουστέον, ἀλλ' ἀντὶ τοῦ κατηρίθμησεν, ἐξήτασεν· ὡς ἐν ἑτέροις, "Λάβε τὸ κεφάλαιον τῶν σκύλων τῆς αἰχμαλωσίας." *) Τί οὖν ἐστιν ὃ βούλεται παραστῆσαι; Διχῶς αἴσθησις λέγεται· ἡ μὲν καθ' ἕξιν, ἥτις καὶ κοιμωμένων ἡμῶν ἐστιν, ἡ δὲ κατ' ἐνέργειαν. Τῆς μὲν οὖν προτέρας τῆς καθ' ἕξιν, ὄφελος οὐδὲν, οὐδὲ γὰρ αὐτῇ τῶν ὑποκειμένων ἀντιλαμβανόμεθα· τῆς δὲ δευτέρας τῆς κατ' ἐνέργειαν. Διὰ γὰρ 1094
ταύτης ποιούμεθα τὰς τῶν αἰσθητῶν ἀντιλήψεις. P.
Γεννήσας οὖν τὴν προτέραν τὴν καθ' ἕξιν αἴσθησιν, ὅτε καὶ τὸν νοῦν ἐγέννα, — σὺν γὰρ πολλαῖς δυνάμεσιν ἠρεμούσαις αὐτὸν κατεσκεύαζε, — νῦν βούλεται τὸν κατ' ἐνέργειαν ἀποτελέσαι. Ἀποτελεῖται δὲ ἡ κατ' ἐνέργειαν, ὅταν ἡ καθ' ἕξιν κινηθεῖσα ταθῇ μέχρι τῆς σαρκὸς καὶ τῶν αἰσθητικῶν ἀγγείων. Ὥςπερ γὰρ φύσις ἀποτελεῖται, κινηθέντος σπέρματος, οὕτως καὶ ἐνέργεια, κινηθείσης ἕξεως.

§. 11. "Ἀνεπλήρου δὴ σάρκα ἀντ' αὐτῆς." Τουτέστι συνεπλήρου τὴν καθ' ἕξιν αἴσθησιν, ἄγων εἰς ἐνέργειαν, καὶ τείνων αὐτὴν ἄχρι σαρκὸς καὶ τῆς ὅλης ἐπιφανείας. Διὸ καὶ ἐπιφέρει ὅτι ᾠκοδόμησεν εἰς γυναῖκα," **) διὰ τούτου παριστὰς, "ὅτι οἰκειότατον καὶ εὐθυβολώτατόν ἐστιν ὄνομα αἰσθήσεως γυνή. Ὥςπερ γὰρ ὁ μὲν ἀνὴρ ἐν τῷ δρᾶσαι θεωρεῖται, ἐν δὲ τῷ πάσχειν ἡ γυνὴ, οὕτως ἐν μὲν τῷ δρᾶν ὁ νοῦς, ἐν δὲ τῷ πάσχειν γυναικὸς τρόπον ἡ αἴσθησις ἐξετάζεται. Μαθεῖν δὲ ἐκ τῆς ἐνεργείας ῥᾴδιον. Ἡ ὄψις πάσχει ὑπὸ τῶν κινούντων αὐτὴν ὁρατῶν, τοῦ λευκοῦ, τοῦ μέλανος, τῶν ἄλλων. Ἡ ἀκοὴ πάλιν ὑπὸ τῶν φωνῶν, καὶ ἡ γεῦσις ὑπὸ τῶν χυλῶν διατίθεται, ὑπὸ τῶν ἀτμῶν ἡ ὄσφρησις, ὑπὸ τραχέος καὶ μαλακοῦ ἡ ἁφή. καὶ ἠρεμοῦσί γε αἱ

*) Num. 31, 26.

**) Gen. 2, 22.

*αἰσθήσεις ἅπασαι, μέχρις ἂν προσέλθῃ ἑκάστῃ τὸ κινῆσον ἔξωθεν.*

§. 12. *"Καὶ ἤγαγεν αὐτὴν πρὸς τὸν Ἀδὰμ, καὶ εἶπεν Ἀδάμ· τοῦτο νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου, καὶ σὰρξ ἐκ τῆς σαρκός μου."* *) *Τὴν κατ' ἐνέργειαν αἴσθησιν ἄγει ὁ θεὸς πρὸς τὸν νοῦν, εἰ-*
74 *δὼς, ὅτι ἀνακάμπτειν δεῖ τὴν κίνησιν αὐτῆς καὶ*
M. *ἀντίληψιν ἐπὶ νοῦν. Ὁ δὲ θεασάμενος ἣν πρότερον εἶχε δύναμιν, καὶ καθ' ἕξιν ἠρεμοῦσαν, νῦν ἀποτέλεσμα καὶ ἐνέργειαν γεγενημένην καὶ κινουμένην, θαυμάζει τε, καὶ ἀναφθέγγεται φάσκων, ὅτι οὐκ ἔστιν ἀλλοτρία αὐτοῦ, ἀλλὰ σφόδρα οἰκεία. Τοῦτο γάρ φησιν, "ὀστοῦν ἐκ τῶν ἐμῶν ὀστῶν," τουτέστι, δύναμις ἐκ τῶν ἐμῶν δυνάμεων. Ἐπὶ γὰρ δυνάμεως καὶ ἰσχύος νῦν παρείληπται τὸ ὀστέον· καὶ πάθος ἐκ τῶν ἐμῶν παθῶν, καὶ σὰρξ, φησὶν, ἐκ τῆς σαρκός μου. Πάντα γὰρ ὅσα πάσχει ἡ αἴσθησις, οὐκ ἄνευ νοῦ ὑπομένει, πηγὴ γὰρ οὗτός ἐστιν αὐτῇ καὶ θεμέλιος ᾧ ἐπερείδεται. Ἄξιον δὲ σκέψασθαι, διὰ τί τὸ "Νῦν" προσετέθη· "τοῦτο γὰρ," φησὶ, "Νῦν ὀστοῦν ἐκ τῶν ὀστῶν μου." Ἡ αἴσθησις φύσει νῦν ἐστι, κατὰ τὸν ἐνεστῶτα χρόνον ὑφισταμένη*
*μόνον. Ὁ μὲν γὰρ νοῦς τῶν τριῶν ἐφάπτεται* 1095
*χρόνων· καὶ γὰρ τὰ παρόντα νοεῖ, καὶ τῶν παρε-* P.
*ληλυθότων μέμνηται, καὶ τὰ μέλλοντα προσδοκᾷ. Ἡ δὲ αἴσθησις οὔτε μελλόντων ἀντιλαμβάνεται, οὐδ' ἀνάλογόν τι πάσχει προσδοκίᾳ ἢ ἐλπίδι, οὔτε παρεληλυθότων μέμνηται· ἀλλ' ὑπὸ τοῦ ἤδη κινοῦντος καὶ παρόντος μόνου πάσχειν πέφυκεν. Οἷον ὀφθαλμὸς λευκαίνεται νῦν ὑπὸ τοῦ παρόντος λευκοῦ, ὑπὸ δὲ τοῦ μὴ παρόντος οὐδὲν πάσχει. Ὁ δὲ νοῦς καὶ ἐπὶ τῷ μὴ παρόντι κινεῖται, παρεληλυθότι μὲν κατὰ μνήμην, μέλλοντι δὲ, ἐπελπίζων καὶ προσδοκῶν.*

---

*) Gen. 2, 23.

§. 13. „Αὕτη καὶ κληθήσεται γυνή,“ ἀντὶ τοῦ, διὰ τοῦτο ἡ αἴσθησις γυνὴ προσρηθήσεται, ὅτι ἐκ τοῦ ἀνδρὸς τοῦ κινοῦντος αὐτὴν λαμβάνεται. „Αὕτη,“ φησί. Διὰ τί οὖν τὸ „Αὕτη“ πρόσκειται; Ὅτι ἐστὶν ἑτέρα αἴσθησις, οὐκ ἐκ τοῦ νοῦ λαμβανομένη, ἀλλὰ σὺν αὐτῷ γεγενημένη. Δύο γάρ, ὡς εἶπον ἤδη, εἰσὶν αἰσθήσεις· ἡ μὲν καθ᾽ ἕξιν, ἡ δὲ κατ᾽ ἐνέργειαν. Ἡ μὲν οὖν καθ᾽ ἕξιν, οὐκ ἐκ τοῦ ἀνδρὸς, τουτέστι τοῦ νοῦ, λαμβάνεται, ἀλλὰ σὺν αὐτῷ φύεται· ὁ γὰρ νοῦς, καθάπερ ἐδήλωσα, ὅτε ἐγεννᾶτο, σὺν πολλαῖς δυνάμεσι καὶ ἕξεσιν ἐγεννᾶτο, λογικῇ, ψυχικῇ, φυτικῇ, ὥςτε καὶ αἰσθητικῇ. Ἡ δὲ κατ᾽ ἐνέργειαν, ἐκ τοῦ νοῦ. Ἐκ γὰρ τῆς ἐν τῷ καθ᾽ ἕξιν οὔσης αἰσθήσεως ἐτάθη, ἵνα γένηται κατ᾽ ἐνέργειαν· ὥςτε ἐξ αὐτοῦ τοῦ νοῦ γεγεννῆσθαι τὴν δευτέραν καὶ κατὰ κίνησιν. Μάταιος δὲ ὁ νομίζων, πρὸς τὸν ἀληθῆ λόγον ἐκ τοῦ νοῦ τι συνόλως γεννᾶσθαι ἢ ἐξ ἑαυτοῦ. Οὐχ ὁρᾷς, ὅτι καὶ τῇ ἐπὶ τῶν εἰδώλων καθεζομένῃ αἰσθήσει τῇ Ῥαχὴλ, νομιζούσῃ ἐκ τοῦ νοῦ τὰ κινήματα εἶναι, ἐπιπλήττει ὁ βλέπων; Ἡ
75 μὲν γάρ φησι, „Δός μοι τέκνα, εἰ δὲ μὴ, τελευ-
M. τήσω ἐγώ.“ *) Ὁ δὲ ἀποκρίνεται· ὅτι, ὦ ψευδοδοξοῦσα, οὐκ ἔστιν ὁ νοῦς αἴτιον οὐδενὸς, ἀλλ᾽ ὁ πρὸ τοῦ νοῦ θεός. Διὸ καὶ ἐπιφέρει, „Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέ σε καρπὸν κοιλίας;“ Ὅτι δὲ ὁ γεννῶν ὁ θεός ἐστι, μαρτυρήσει ἐπὶ τῆς Λείας, ὅταν φῇ, „Ἰδὼν δὲ κύριος ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς· Ῥαχὴλ δὲ ἦν στεῖρα.“ **) Ἀνδρὸς δὲ ἴδιον τὸ μήτραν ἀνοιγνύναι. Φύσει δὲ μισεῖται παρὰ τῷ θνητῷ ἡ ἀρετή· διὸ καὶ ὁ θεὸς αὐτὴν τετίμηκε, καὶ παρέχει τὰ πρωτοτόκια τῇ μισουμένῃ. Λέγει δὲ ἐν ἑτέροις, „Ἐὰν δὲ γέ- P.
νωνται ἀνθρώπῳ δύο γυναῖκες, μία αὐτῶν ἠγαπη- 1096

*) Gen. 30, 1 sqq.

**) Gen. 29, 31.

μένη, καὶ μία αὐτῶν μισουμένη, καὶ τέκωσιν αὐτῷ, καὶ γένηται υἱὸς πρωτότοκος τῆς μισουμένης· οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τὸν πρωτότοκον τῆς μισουμένης." *) Πρώτιστα γάρ ἐστι καὶ τελειότατα τὰ τῆς μισουμένης ἀρετῆς γεννήματα, τὰ δὲ τῆς ἀγαπωμένης ἡδονῆς ἔσχατα.

§. 14. "Ἕνεκα τούτου καταλείψει ἄνθρωπος τὸν πατέρα καὶ τὴν μητέρα, καὶ προςκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτοῦ, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν." **) Ἕνεκα τῆς αἰσθήσεως ὁ νοῦς, ὅταν αὐτῇ δουλωθῇ, καταλίπῃ καὶ τὸν πατέρα, τὸν ὅλων θεὸν, καὶ τὴν μητέρα τῶν συμπάντων, τὴν ἀρετὴν καὶ σοφίαν τοῦ θεοῦ, καὶ προςκολλᾶται καὶ ἑνοῦται τῇ αἰσθήσει, καὶ ἀναλύεται εἰς αἴσθησιν, ἵνα γίνωνται μία σὰρξ, καὶ ἓν πάθος, οἱ δύο. Παρατήρει δὲ, ὅτι οὐχ ἡ γυνὴ κολλᾶται τῷ ἀνδρὶ, ἀλλ' ἔμπαλιν ὁ ἀνὴρ τῇ γυναικὶ, ὁ νοῦς τῇ αἰσθήσει· ὅταν γὰρ τὸ κρεῖττον, ὁ νοῦς, ἑνωθῇ τῷ χείρονι, τῇ αἰσθήσει, ἀναλύεται εἰς τὸ χεῖρον τὸ σαρκὸς γένος, τὴν παθῶν αἰτίαν αἴσθησιν. Ὅταν δὲ τὸ χεῖρον, ἡ αἴσθησις, ἀκολουθήσῃ τῷ κρείττονι, τῷ νῷ, οὐκέτι ἔσται σὰρξ, ἀλλὰ ἀμφότερα νοῦς. Οὗτος μὲν δὴ τοιοῦτος, τὸ φιλοπαθὲς προκρίνων τοῦ φιλοθέου. Ἔστι δέ τις ἕτερος τὸ ἐναντίον εἰρημένος, ὁ Λευῒ, ὁ λέγων τῷ πατρὶ καὶ τῇ μητρί, "Οὐχ ἑώρακέ σε, καὶ τοὺς ἀδελφοὺς οὐκ ἐπέγνω, καὶ τοὺς υἱοὺς ἀπέγνω." ***) Πατέρα καὶ μητέρα οὗτος, τόν τε νοῦν καὶ τὴν τοῦ σώματος ὕλην καταλείπει, ὑπὲρ τοῦ κλῆρον ἔχειν τὸν ἕνα θεόν· "κύριος γὰρ αὐτὸς κλῆρος αὐτῷ." ****) Γίνεται δὴ τοῦ μὲν φιλοπαθοῦς

*) Deut. 21, 15 sq.

**) Gen. 2, 24.

***) Deut. 33, 9.

****) Deut. 10, 9.

κλῆρος τὸ πάθος, τοῦ δὲ τοῦ Λευῒ κλῆρος ὁ θεός. Οὐχ ὁρᾷς, ὅτι καὶ „τῇ δεκάτῃ τοῦ μηνὸς κελεύει δύο τράγους κλῆρον προσάγειν, κλῆρον ἕνα τῷ κυρίῳ, καὶ κλῆρον ἕνα τῷ ἀποπομπαίῳ; *) Τοῦ γὰρ φιλοπαθοῦς ἐστι κλῆρος ὄντως, τὸ ἀποπόμπιμον πάθος.

§. 15. „Καὶ ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οὐκ ᾐσχύνοντο. Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς,
76 ὧν ἐποίησε κύριος ὁ θεός." **) Γυμνός ἐστιν ὁ νοῦς,
M. ὁ μήτε κακίᾳ μήτε ἀρετῇ ἀμπεχόμενος, ἀλλ' ἑκατέρου γεγυμνωμένος ὄντως. Οἷον ἡ τοῦ νηπίου παιδὸς ψυχὴ, ἀμέτοχος οὖσα ἑκατέρου, ἀγαθοῦ τε καὶ κακοῦ, ἀπημφίασται τὰ καλύμματα καὶ γεγύμνωται. Ταῦτα γάρ ἐστιν ἐσθήματα ψυχῆς, οἷς σκεπάζεται καὶ συγκρύπτεται, τῆς μὲν σπουδαίας τὸ ἀγαθὸν, 1097
τῆς δὲ φαύλης τὸ κακόν. Τριχῶς δὲ καὶ ψυχὴ γυ- P.
μνοῦται. Ἅπαξ μὲν, ὅτε ἄτρεπτος διατελεῖ, καὶ πασῶν μὲν ἠρήμωται κακιῶν, πάντα δὲ τὰ πάθη, ἀπημφίασται καὶ ἀποβέβληκε. Διὰ τοῦτο καὶ „Μωϋσῆς ἔξω τῆς παρεμβολῆς πήγνυσι τὴν ἑαυτοῦ σκηνὴν, μακρὰν ἀπὸ τῆς παρεμβολῆς, καὶ ἐκλήθη σκηνὴ μαρτυρίου." ***) Τοῦτο δ' ἔστι τοιοῦτον. Ἡ φιλόθεος ψυχὴ ἐκδῦσα τὸ σῶμα καὶ τὰ τούτῳ φίλα, καὶ μακρὰν ἔξω φυγοῦσα ἀπὸ τούτων, πῆξιν καὶ βεβαίωσιν καὶ ἵδρυσιν ἐν τοῖς τελείοις ἀρετῆς δόγμασι λαμβάνει. Διὸ καὶ μαρτυρεῖται ὑπὸ θεοῦ, ὅτι καλῶν ἐρᾷ, „ἐκλήθη γὰρ σκηνὴ μαρτυρίου," φησί· καὶ τὸν καλοῦντα παρεσιώπησεν, ἵνα συγκινηθεῖσα ἡ ψυχὴ σκέψηται, τίς ὁ μαρτυρῶν ταῖς φιλαρέτοις διανοίαις ἐστί. Τούτου χάριν ὁ ἀρχιερεὺς „εἰς τὰ ἅγια τῶν ἁγίων οὐκ εἰσελεύσεται ἐν τῷ ποδήρει," ****)

*) Lev. 16, 7 sq.
**) Gen. 2, 25. 3, 1.
***) Exod. 33, 7.
****) Lev. 16, 1 sqq.

*ἀλλὰ τὸν τῆς δόξης καὶ φαντασίας ψυχῆς χιτῶνα ἀποδυσάμενος, καὶ καταλιπὼν τοῖς τὰ ἐκτὸς ἀγαπῶσι, καὶ δόξαν πρὸ ἀληθείας τετιμηκόσι, γυμνὸς ἄνευ χρωμάτων καὶ ἤχων εἰςελεύσεται σπεῖσαι τὸ ψυχικὸν αἷμα, καὶ θυμιᾶσαι ὅλον τὸν νοῦν τῷ σωτῆρι καὶ εὐεργέτῃ θεῷ. Καὶ μὲν δὴ Ναδὰβ καὶ Ἀβιοὺδ*), οἱ ἐγγίσαντες θεῷ, καὶ τὸν μὲν θνητὸν βίον καταλιπόντες, τοῦ δὲ ἀθανάτου μεταλαχόντες, γυμνοὶ θεωροῦνται τῆς καινῆς καὶ θνητῆς δόξης. Οὐ γὰρ ἂν ἐν τοῖς χιτῶσιν αὐτοῖς οἱ κομίζοντες ἔφερον, εἰ μὴ ἐγεγύμνωντο, πάντα δεσμὸν πάθους καὶ σωματικῆς ἀνάγκης διαῤῥήξαντες· ἵνα μὴ ἡ γύμνωσις αὐτῶν καὶ ἀσωματότης ἀθέων ἐπεισόδῳ λογισμῶν κιβδηλευθῇ. Οὐ γὰρ πᾶσι ἐπιτρεπτέον τὰ θεοῦ καθορᾶν ἀπόῤῥητα, ἀλλὰ μόνοις τοῖς δυναμένοις αὐτὰ περιστέλλειν καὶ φυλάττειν. Διὸ καὶ οἱ περὶ τὸν Μισαδαὶ οὐχὶ τοῖς ἰδίοις χιτῶσιν, ἀλλὰ τοῖς τῶν ἐκπυρωθέντων καὶ ἀναληφθέντων Ναδὰβ καὶ Ἀβιούδ. Ἀποδυσάμενοι γὰρ τὰ ἐπικαλύπτοντα πάντα τὴν γύμνωσιν*
77 *τῷ θεῷ προςήνεγκαν, τοὺς δὲ χιτῶνας τοῖς περὶ Μι-*
M. *σαδὲ κατέλιπον. Χιτῶνες δέ εἰσι τὰ μέρη τοῦ ἀλόγου, ἃ τὸ λογικὸν ἐπεσκίαζε. Καὶ Ἀβραὰμ γυμνοῦται, ὅταν ἀκούσῃ, "Ἔξελθε ἐκ τῆς γῆς σου καὶ ἐκ τῆς συγγενείας σου."* **) *Καὶ ὁ Ἰσαὰκ οὐ γυμνοῦται μὲν, ἀεὶ δὲ γυμνός ἐστι καὶ ἀσώματος. Πρόσταγμα γὰρ αὐτῷ δέδοται, μὴ καταβῆναι εἰς Αἴγυπτον,* ***) *τουτέστι τὸ σῶμα. Καὶ Ἰακὼβ γυμνότητος ἐρᾷ ψυχικῆς, ἡ γὰρ λειότης αὐτοῦ γύμνωσίς ἐστιν. "Ἦν γὰρ Ἡσαῦ ἀνὴρ δασὺς, Ἰακὼβ δὲ," φησὶν, "ἀνὴρ λεῖος,"* ****) *παρὸ καὶ τῆς Λείας ἀνήρ ἐστι.*

**§. 16.** *Μία μὲν ἀρίστη γύμνωσίς ἐστιν αὕτη,*

---

*) **Lev. 10, 1.**

**) **Gen. 13, 1.**

***) **Gen. 26, 2.**

****) **Gen. 25, 25 sqq.**

ἡ δὲ ἑτέρα ἐστὶν ἐναντία, ἀρετῆς ἀφαίρεσις ἐκ 1098
τροπῆς γινομένη, ὅταν ληραίνῃ καὶ παρανοῇ ἡ ψυ- P.
χή. Ταύτῃ χρῆται ὁ "Νῶε γυμνούμενος, ὅταν πίῃ τοῦ οἴνου." *) Χάρις δὲ τῷ θεῷ, ὅτι ἡ τροπὴ καὶ ἡ γύμνωσις τοῦ νοῦ κατ' ἀρετῆς ἀφαίρεσιν οὐκ ἄχρι τῶν ἐκτὸς ἐχύθη, ἀλλ' ἔμεινεν ἐν τῷ οἴκῳ. Φησὶ γὰρ, ὅτι "ἐγυμνώθη ἐν τῷ οἴκῳ αὐτοῦ." Καὶ ἂν γὰρ ἁμάρτῃ ὁ σοφὸς, οὐχ οὕτως ἐξοκέλλει ὡς ὁ φαῦλος. Τοῦ μὲν γὰρ κέχυται ἡ κακία, τοῦ δὲ συνέσταλται. Διὸ καὶ ἀνανήφει, τοῦτο δ' ἔστι, μετανοεῖ, καὶ ὥσπερ ἐκ νόσου ἀναλαμβάνει. Ἀκριβέστερον δὲ τὸ "ἐν τῷ οἴκῳ γίνεσθαι τὴν γύμνωσιν," θεασώμεθα. Ἐπειδὰν ἡ ψυχὴ τραπεῖσα μόνον ἐνοηθῇ τι τῶν ἀτόπων, καὶ μὴ ἐπεξέλθῃ, ὥστε αὐτὸ ἔργῳ τελειῶσαι, ἐν τῷ τῆς ψυχῆς χωρίῳ καὶ οἴκῳ γέγονε τὸ ἁμάρτημα. Ἐὰν δὲ πρὸς τῷ μοχθηρόν τι λογίσασθαι καὶ ἐπανύσηται, ὥστε ἐργάσασθαι, κέχυται καὶ εἰς τὰ ἐκτὸς τὸ ἀδίκημα. Παρὸ καὶ τῷ Χαναὰν καταρᾶται, ὅτι τὴν τῆς ψυχῆς τροπὴν ἔξω ἀπήγγειλε, τουτέστι, καὶ εἰς τὰ ἐκτὸς ἔτεινε καὶ ἐπεξειργάσατο, προσθεὶς τῷ κακῷ βουλήματι κακὸν τὸ διὰ τῶν ἔργων ἀποτέλεσμα. Σὴμ δὲ καὶ Ἰάφεθ ἐπαινοῦνται, μὴ ἐπιθέμενοι τῇ ψυχῇ, ἀλλὰ τὴν τροπὴν αὐτῆς περικαλύψαντες. Διὰ τοῦτο καὶ αἱ εὐχαὶ καὶ οἱ ὁρισμοὶ τῆς ψυχῆς ἐπιλύονται, ὅταν "ἐκ οἴκῳ γένωνται πατρὸς, ἢ ἀνδρὸς μὲν," **) ἡσυχαζόντων τῶν λογισμῶν, μηδὲ ἐπιθεμένων τῇ τροπῇ, ἀλλὰ περιαιρούντων τὸ ἁμάρτημα. Τότε γὰρ καὶ ὁ δεσπότης ἁπάντων "καθαριεῖ αὐτήν. Εὐχὴν δὲ χήρας καὶ ἐκβεβλημένης ἀναφαίρετον ἐᾷ. ὅσα γὰρ ἂν εὔξηται," φησὶ, "κατὰ τῆς ψυχῆς αὐτῆς, μένει αὐτῇ." Κατὰ λόγον. Εἰ γὰρ ἄχρι τῶν ἐκτὸς ἐκβληθεῖσα προελήλυθεν, ὡς μὴ τρέπεσθαι μόνον ἀλλὰ καὶ

*) Gen. 9, 21 sqq.

**) Num. 30, 4 sqq.

διὰ τῶν ἀποτελεσμάτων ἁμαρτάνειν, ἀθεράπευτος
μένει, ἀνδρείου τε λόγου μὴ μετασχοῦσα, καὶ τῆς τοῦ
πατρὸς παρηγορίας στερηθεῖσα. Τρίτη γύμνωσίς
ἐστιν ἡ μέση, καθ᾽ ἣν ὁ νοῦς ἄλογός ἐστι, μήτε
ἀρετῆς πω μήτε κακίας μετέχων. Περὶ ταύτης ἐστὶν
78 ὁ λόγος, ἧς καὶ ὁ νήπιος κοινωνεῖ, ὥςτε τὸ λεγόμε-
M. νον, „ἦσαν οἱ δύο γυμνοὶ, ὅ τε Ἀδὰμ καὶ ἡ γυνὴ
αὐτοῦ,“ τοιοῦτον εἶναι· οὔτε ὁ νοῦς ἐνόει, οὔτε ἡ
αἴσθησις ᾐσθάνετο, ἀλλ᾽ ἦν ὁ μὲν τοῦ νοεῖν ἔρημός
τε καὶ γυμνὸς, ἡ δὲ τοῦ αἰσθάνεσθαι.

§. 17. Τὸ δὲ „Οὐκ ᾐσχύνοντο,“ πάλιν ἴδωμεν.
Τρία κατὰ τὸν τόπον ἐστίν· ἀναισχυντία, αἰδὼς,
τὸ μήτε ἀναισχυντεῖν μήτε αἰδεῖσθαι. Ἀναισχυν- 1099
τία μὲν οὖν ἴδιον φαύλου, αἰδὼς δὲ σπουδαίου, τὸ P.
δὲ μήτε αἰδεῖσθαι μήτε ἀναισχυντεῖν τοῦ ἀκαταλή-
πτως ἔχοντος καὶ ἀσυγκαταθέτως, περὶ οὗ νῦν ἐστιν
ὁ λόγος. Ὁ γὰρ μηδέπω κατάληψιν ἀγαθοῦ ἢ κα-
κοῦ λαβὼν, οὔτε ἀναισχυντεῖν οὔτε αἰδεῖσθαι δύνα-
ται. Τῆς μὲν οὖν ἀναισχυντίας παραδείγματα, αἱ
ἀσχημοσύναι πᾶσαι, ὅταν ὁ νοῦς ἀποκαλύπτῃ τὰ
αἰσχρὰ, συσκιάζειν δέον, ἐπαυχῶν καὶ σεμνυνόμενος
ἐπ᾽ αὐτοῖς. Λέγεται καὶ ἐπὶ τῆς Μαρίας, ὅτε κα-
ταλαλεῖ Μωϋσῇ, „εἰ ὁ πατὴρ αὐτῆς πτύων ἐνέπτυ-
σεν εἰς τὸ πρόσωπον αὐτῆς, οὐκ ἐντραπήσεται ἑπτὰ
ἡμέρας;“ *) Ὄντως γὰρ ἀναίσχυντος καὶ θρασεῖα ἡ
αἴσθησις, ἡ ἐξουθενηθεῖσα ὑπὸ τοῦ θεοῦ τοῦ πατρὸς
παρὰ τὸν πιστὸν ἐν ὅλῳ τῷ οἴκῳ, ᾧ τὴν Αἰθιόπισ-
σαν, τὴν ἀμετάβλητον καὶ κατακορῆ γνώμην, αὐτὸς
ὁ θεὸς ἡρμόσατο, τολμᾷ καταλαλεῖν Μωϋσῇ καὶ
κατηγορεῖν, ἐφ᾽ ᾧ ὤφειλεν ἐπαινεῖσθαι. Τοῦτο γὰρ
ἐστιν ἐγκώμιον αὐτοῦ μέγιστον, ὅτι τὴν Αἰθιόπισ-
σαν ἔλαβε, τὴν ἄτρεπτον καὶ πεπυρωμένην καὶ δό-
κιμον φύσιν. Ὥςπερ γὰρ ἐν ὀφθαλμῷ τὸ βλέπον
μέλαν ἐστὶν, οὕτως τὸ ὁρατικὸν τῆς ψυχῆς Αἰθιό-

---

*) Num. 12, 14.

πισσα κέκληται. Διὰ τί οὖν, πολλῶν ὄντων κακίας ἔργων, ἑνὸς μόνου μέμνηται τοῦ κατὰ τὸ αἰσχρὸν, εἰπὼν „οὐκ ᾐσχύνοντο;“ Ἀλλ᾽ οὐκ ἠδίκουν, ἢ οὐχ ἡμάρτανον, ἢ οὐκ ἐπλημμέλουν; Παράκειται δὲ ἡ αἰτία. Μὰ τὸν ἀληθῆ μόνον θεὸν, οὐδὲν οὕτως αἰσχρὸν ἡγοῦμαι, ὡς τὸ ὑπολαμβάνειν ὅτι νοῶ, ἢ ὅτι αἰσθάνομαι. Ὁ ἐμὸς νοῦς αἴτιος τοῦ νοεῖν; Πόθεν; Ἑαυτὸν γὰρ οἶδεν, ὅστις ὢν τυγχάνει ἢ πῶς ἐγένετο; Ἡ δὲ αἴσθησις αἰτία τοῦ αἰσθάνεσθαι; Πῶς ἂν λέγοιτο, μήτε ὑφ᾽ αὑτῆς, μήτε ὑπὸ τοῦ νοῦ γνωριζομένη; Οὐχ ὁρᾷς, ὅτι ὁ δοκῶν νοεῖν νοῦς εὑρίσκεται πολλάκις ἄνους ἐν τοῖς κόροις, ἐν ταῖς μέθαις, ἐν ταῖς παραφροσύναις; Ποῦ δὲ τὸ νοεῖν ἐπ᾽ αὐτῶν; Ἡ δὲ αἴσθησις οὐ πολλάκις ἀφαιρεῖται τὸ αἰσθάνεσθαι; Ὁρῶντες ἔστιν ὅτε οὐχ ὁρῶμεν, καὶ ἀκούοντες οὐκ ἀκούομεν, ἐπειδὰν ὁ νοῦς μικρὸν ὅσον ἑτέρῳ νοητῷ προσανέχῃ παρενθυμούμενος. Ἕως οὗ γυμνοί εἰσιν, ὁ μὲν νοῦς τοῦ νοεῖν, ἡ δὲ αἴσθησις τοῦ αἰσθάνε-
9 σθαι, οὐδὲν ἔχουσιν αἰσχρόν· ἐπειδὰν δὲ ἄρξωνται
M. καταλαμβάνειν, ἐν αἰσχύνῃ καὶ ὕβρει γίνονται. Εὑρεθήσονται γὰρ εὐηθείᾳ καὶ μωρίᾳ πολλάκις χρώμενοι μᾶλλον, ἢ ὑγιαινούσῃ ἐπιστήμῃ, οὐ μόνον ἐν κόροις καὶ μελαγχολίαις καὶ παραφροσύναις, ἀλλὰ 1100
καὶ ἐν τῷ ἄλλῳ βίῳ. Ὅτε μὲν γὰρ ἡ αἴσθησις κρα- P.
τεῖ, ὁ νοῦς ἠνδραπόδισται, μηδενὶ προσέχων νοητῷ. ὅτε δὲ ὁ νοῦς κρατεῖ, ἡ αἴσθησις ἄπρακτος θεωρεῖται, μηδενὸς ἀντίληψιν ἴσχουσα αἰσθητοῦ.

§. 18. „Ὁ δὲ ὄφις ἦν φρονιμώτατος πάντων τῶν θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησε κύριος ὁ θεός.“ *) Δυοῖν προγεγονότων, νοῦ καὶ αἰσθήσεως, καὶ τούτων γυμνῶν κατὰ τὸν δεδηλωμένον τρόπον ὑπαρχόντων, ἀνάγκη τρίτην ἡδονὴν συναγωγὸν ἀμφοῖν ὑπάρξαι, πρὸς τὴν τῶν νοητῶν καὶ αἰσθητῶν ἀντίληψιν. Οὔτε γὰρ ὁ νοῦς δίχα αἰσθήσεως ἠδύνατο καταλα-

*) Gen. 3, 1.

*βεῖν ζῶον ἢ φυτὸν ἢ λίθον ἢ ξύλον ἢ συνόλως σῶμα, οὔτε ἡ αἴσθησις δίχα τοῦ νοῦ περιποιῆσαι τὸ αἰσθάνεσθαι. Ἐπειδὴ τοίνυν ἄμφω ταῦτα συνελθεῖν ἔδει πρὸς κατάληψιν τῶν ὑποκειμένων, τίς αὐτὰ συνήγαγεν, ὅτι μὴ δεσμὸς τρίτος, ἔρωτος καὶ ἐπιθυμίας, ἀρχούσης καὶ δυναστευούσης ἡδονῆς, ἣν συμβολικῶς ὄφιν ὠνόμασε; Πάνυ καλῶς ὁ ζωοπλάστης θεὸς ἐδημιούργησε τὴν τάξιν. Νοῦν γὰρ πρῶτον, τὸν ἄνδρα, πρεσβύτατον γὰρ ἐν ἀνθρώπῳ, εἶτα αἴσθησιν, τὴν γυναῖκα, εἶτα ἑξῆς τρίτον, ἡδονήν. Δυνάμεις δέ εἰσιν αὐτῶν, καὶ ἡλικίαι διάφοροι, νοούμεναι μόνον, χρόνῳ δὲ ἰσήλικες. Ἅμα γὰρ ἑαυτῇ ψυχὴ πάντα ἐπιφέρεται· ἀλλὰ τὰ μὲν ἐντελεχείᾳ, τὰ δὲ τῷ δύνασθαι γενέσθαι, εἰ καὶ μήπω προσείληφε τὸ τέλος. Εἰκάσθη δὲ ὄφει ἡδονὴ διὰ τόδε. Πολύπλοκος γὰρ καὶ ποικίλη, ὥςπερ τοῦ ὄφεως ἡ κίνησις, οὕτως καὶ ἡδονῆς. Πενταχῇ γέ τοι πρῶτον εἱλεῖται. Καὶ γὰρ δι᾽ ὁράσεως ἡδοναὶ συνίστανται· καὶ δι᾽ ἀκοῆς, καὶ διὰ γεύσεως, καὶ διὰ ὀσφρήσεως, καὶ δι᾽ ἁφῆς. Γίνονται δὲ καὶ αἱ σφοδρόταται καὶ σύντονοι αἱ περὶ τὰς γυναῖκας ὁμιλίαι, δι᾽ ὧν γένεσις ἡ τοῦ ὁμοίου πέφυκεν ἀποτελεῖσθαι. Καὶ μὴν οὐ διὰ τοῦτο μόνον ποικίλην φαμὲν τὴν ἡδονήν, ὅτι περὶ πάντα τὰ τοῦ ἀλόγου τῆς ψυχῆς εἱλεῖται, ἀλλ᾽ ὅτι καὶ περὶ ἕκαστον μέρος πολύπλοκός ἐστιν. Εὐθέως δι᾽ ὁράσεως ἡδοναὶ γίνονται ποικίλαι, γραφικὴ πᾶσα, πλαστική, τὰ ἄλλα ὅσα κατὰ τέχνας τεχνικὰ δημιουργήματα, τέρπει τὴν ὅρασιν. Πάλιν φυτῶν βλαστανόντων, ἀνθούντων, καρποτοκούντων διαφοραί, ζώων εὐμορφίαι πολυσχιθεῖς. Ὁμοίως τὴν ἀκοὴν αὐλὸς*
80 *ἡδύνει, κιθάρα, πᾶσα ὀργάνων ἰδέα, ζώων ἀλόγων*
M. *ἐμμελεῖς φωναί, χελιδόνων, ἀηδόνων, τῶν ἄλλων* 110
*ὅσα φύσις μεμούσωκε λογικῶν, εὐφωνία κιθαρῳδῶν,* P
*κωμῳδίαν, τραγῳδίαν, τὴν ἄλλην ὑποκριτικὴν ἐπιδεικνυμένων.*

§. 19. *Τί δεῖ περὶ τῶν γαστρὸς ἡδονῶν διδά-*

σκειν; Σχεδὸν γὰρ, ὅσαι τῶν ὑποκειμένων χυλῶν προςηνῶν διαφοραὶ, καὶ τὴν αἴσθησιν κινούντων, τοσαῦται καὶ τῆς ἡδονῆς. Ἆρ᾽ οὐ δεόντως ποικίλων οὖσα ἡδονὴ ποικίλῳ ζώῳ παρεβλήθη; Διὰ τοῦτο καὶ τὸ λαῶδες, καὶ ὄχλον ἔχον ἐν ἡμῖν μέρος, ὅτε τῶν ἐν Αἰγύπτῳ *), τουτέστι τῷ σωματικῷ οἴκῳ, οἰκιῶν ἐφίεται, ἡδοναῖς περιπίπτει θάνατον ἐπαγούσαις, οὐ χωρισμὸν ψυχῆς ἀπὸ σώματος, ἀλλὰ ψυχῆς ὑπὸ κακίας φθοράν. Φησὶ γὰρ, "Καὶ ἀπέστειλε κύριος εἰς τὸν λαὸν τοὺς ὄφεις τοὺς θανατοῦντας, καὶ ἔδακνον τὸν λαὸν, καὶ ἀπέθνησκε λαὸς πολὺς τῶν υἱῶν Ἰσραήλ." Ὄντως γὰρ οὐδὲν οὕτως θάνατον ἐπάγει ψυχῇ, ὡς ἀμετρία τῶν ἡδονῶν. Τὸ δὲ ἀποθνῆσκον, οὐ τὸ ἄρχον ἐστὶν ἐν ἡμῖν, ἀλλὰ τὸ ἀρχόμενον, τὸ λαῶδες· καὶ μέχρι τούτου θάνατον ἐνδέξεται, μέχρις ἂν μετανοίᾳ χρησάμενον, ὁμολογήσῃ τὴν τροπήν. Προσελθόντες γὰρ ἔλεγον Μωϋσῇ, ὅτι "ἡμαρτήκαμεν, ὅτι κατελαλήσαμεν κατὰ Κυρίου καὶ κατὰ σοῦ. Εὖξαι οὖν πρὸς Κύριον, καὶ ἀφελέτω ἀφ᾽ ἡμῶν τοὺς ὄφεις." Εὖ τὸ φάναι, οὐχ ὅτι κατελαλήσαμεν, ἡμάρτομεν, ἀλλ᾽, ὅτι ἡμάρτομεν, κατελαλήσαμεν. Ὅταν γὰρ ἁμάρτῃ καὶ ἀπαρτηθῇ ὁ νοῦς ἀρετῆς, αἰτιᾶται τὰ θεῖα, τὴν ἰδίαν τροπὴν προσάπτων θεῷ.

§. 20. Πῶς οὖν γίνεται ἴασις τοῦ πάθους; Ὅταν ἕτερος ὄφις κατασκευασθῇ, τῷ τῆς Εὔας ἐναντίος, ὁ σωφροσύνης λόγος· ἡδονῇ γὰρ ἐναντίον σωφροσύνη, ποικίλῳ πάθει, ποικίλη ἀρετὴ καὶ ἀμυνομένη πολεμίαν ἡδονήν. Τὸν κατὰ σωφροσύνην οὖν ὄφιν κελεύει ὁ θεὸς Μωϋσεῖ κατασκευάσασθαι, καί φησι· "Ποίησον σεαυτῷ ὄφιν, καὶ θὲς αὐτὸν ἐπὶ σημείου." Ὁρᾷς, ὅτι οὐκ ἄλλῳ τινὶ κατασκευάζεται τοῦτον ὁ Μωϋσῆς τὸν ὄφιν, ἢ ἑαυτῷ· προστάττει γὰρ ὁ θεὸς, "Ποίησον σεαυτῷ," ἵνα γνῷς, ὅτι οὐ

*) Num. 21, 5 sqq.

παντός ἐστι κτῆμα σωφροσύνη, ἀλλὰ μόνου τοῦ
θεοφιλοῦς. Σκεπτέον δὲ, διὰ τί Μωϋσῆς χαλκοῦν
ὄφιν κατασκευάζεται, οὐ προσταχθὲν αὐτῷ περὶ ποι-
81 ότητος. Μή ποτ᾽ οὖν διὰ τάδε; Πρῶτον μὲν ἄϋλοί
M. εἰσιν αἱ θεοῦ χάριτες, ἰδέαι αὗται καὶ ἄποιοι. Αἱ
δὲ τῶν θνητῶν σὺν ὕλῃ θεωροῦνται. Δεύτερον 1102
δὲ καὶ Μωϋσῆς μὲν ἀσωμάτων ἐρᾷ ἀρετῶν, αἱ δὲ P.
ἡμέτεραι ψυχαὶ, οὐ δυνάμεναι ἐκδῦναι τὰ σώματα,
σωματικῆς ἐφίενται ἀρετῆς. Δυνατῇ δὲ καὶ στερεᾷ
οὐσίᾳ τῇ χαλκοῦ ἀπείκασται ὁ κατὰ σωφροσύνην λό-
γος, εὔτονος καὶ ἀδιάκοπος ὤν. Ἴσως δὲ καὶ παρό-
σον ἡ μὲν ἐν τῷ θεοφιλεῖ σωφροσύνη τιμιωτάτη ἐστὶ
καὶ χρυσῷ ἐοικυῖα, δευτερεύουσα δὲ ἡ ἐν τῷ κατὰ προ-
κοπὴν σοφίαν ἀναλαβόντι. „Ὃν ἂν οὖν δάκῃ ὄφις,
πᾶς ὁ ἰδὼν αὐτὸν ζήσεται,“ πάνυ ἀληθῶς. Ἐὰν γὰρ
ὁ νοῦς δηχθεὶς ἡδονῇ, τῷ τῆς Εὔας ὄφει, ἰσχύσῃ
κατιδεῖν ψυχικῶς τὸ σωφροσύνης κάλλος, τὸν Μωϋ-
σέως ὄφιν, καὶ διὰ τούτου τὸν θεὸν αὐτὸν, ζήσε-
ται. Μόνον ἰδέτω καὶ κατανοησάτω.

§. 21. Οὐχ ὁρᾷς, ὅτι καὶ ἡ ἄρχουσα σοφία, Σάῤῥα, φησὶ, „Ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι.“ *) Ἀλλὰ φέρε τινὰ ἰσχῦσαι ἀκοῦσαι, ὅτι τέτοκεν ἡ ἀρετὴ τὴν εὐδαιμονίαν, Ἰσαὰκ, καὶ εὐθὺς συγχαριτικὸν ὕμνον ὑμνήσει. Ὡς οὖν τοῦ ἀκούσαντός ἐστι συγχαίρειν, οὕτω τοῦ σωφροσύνην καὶ θεὸν ἰδόντος εἰλικρινῶς, τὸ μὴ ἀποθνήσκειν. Πολλαὶ δὲ καρτερίας καὶ σωφροσύνης ἐρασθεῖσαι ψυχαὶ, ἐρημωθεῖσαι παθῶν, ὅμως κράτος ὑπέμειναν θεοῦ, καὶ τροπὴν τὴν πρὸς τὸ χεῖρον ἐδέξαντο, διασυνιστάντος αὐτόν τε καὶ τὴν γένεσιν τοῦ δεσπότου· ἑαυτὸν μὲν, ὅτι ἀκλινὴς ἕστηκεν ἀεὶ, τὴν δὲ γένεσιν, ὅτι ταλαντεύει καὶ πρὸς τὰ ἐναντία ἀντιῤῥέπει. Φησὶ γὰρ „τοῦ ἀγαγόντος σε διὰ τῆς ἐρήμου τῆς μεγάλης καὶ τῆς φοβερᾶς ἐκείνης, οὗ ὄφις δάκνων καὶ σκορ-

*) Gen. 21, 6.

πίος καὶ δίψα, οὗ οὐκ ἦν ὕδωρ. Τοῦ ἐξαγαγόντος σοι ἐκ πέτρας ἀκροτόμου πηγὴν ὕδατος, τοῦ ψωμίσαντός σε τὸ μάννα ἐν τῇ ἐρήμῳ, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου." *) Ὁρᾷς, ὅτι οὐ μόνον τῶν ἐν Αἰγύπτῳ παθῶν ἐφιεμένη ἡ ψυχὴ περιπίπτει τοῖς ὄφεσιν, ἀλλὰ καί, ὅτε ἐστὶν ἐν ἐρήμῳ, δάκνεται ὑφ᾽ ἡδονῆς, τοῦ ποικίλου καὶ ὀφιώδους πάθους. Οἰκειότατον δὲ ὄνομα εἴληχε τὸ ἡδονῆς ἔργον, δηγμὸς γὰρ καλεῖται. Ἀλλ᾽ οὐ μόνον οἱ ἐν ἐρήμῳ δάκνονται ὑφ᾽ ἡδονῆς, ἀλλὰ καὶ οἱ ἐσκορπισμένοι. Καὶ γὰρ ἐγὼ πολλάκις καταλιπὼν μὲν ἀνθρώπους συγγενεῖς καὶ φίλους καὶ πατρίδα, καὶ εἰς ἐρημίαν ἐλθών, ἵνα τι τῶν θέας ἀξίων κατανοήσω, οὐδὲν ὤνησα· ἀλλὰ σκορπισθεὶς ὁ νοῦς, ἢ πάθει δηχθείς, ἀνεχώρησεν εἰς τὰ ἐναντία. Ἔστι δὲ ὅτε καὶ ἐν πλή- 1103
2θει μυριάνδρῳ ἐρημῶ τὴν διάνοιαν, τὸν ψυχικὸν P.
1.ὄχλον σκεδάσαντος θεοῦ, καὶ διδάξαντός με, ὅτι οὐ τόπων διαφοραὶ τό τε εὖ καὶ χεῖρον ἐργάζονται, ἀλλ᾽ ὁ κινῶν θεὸς καὶ ἄγων ᾗ ἂν προαιρῆται, τὸ τῆς ψυχῆς ὄχημα. Πλὴν περιπίπτει σκορπίῳ, ὅπερ ἐστὶ σκορπισμῷ ἐν τῇ ἐρήμῳ, καὶ δίψα καταλαμβάνει ἡ τῶν παθῶν, μέχρις ἂν ὁ θεὸς τῆς ἀκροτόμου σοφίας ἑαυτοῦ τὸ νᾶμα ἐπιπέμψῃ, καὶ ποτίσῃ τὴν τραπεῖσαν ψυχὴν ἀμεταβλήτῳ ὑγείᾳ. Ἡ γὰρ ἀκρότομος πέτρα, ἡ σοφία τοῦ θεοῦ ἐστιν, ἣν ἄκραν καὶ πρωτίστην ἔτεμεν ἀπὸ τῶν ἑαυτοῦ δυνάμεων, ἐξ ἧς ποτίζει τὰς φιλοθέους ψυχάς. Ποτισθεῖσαι δὲ καὶ τοῦ μάννα ἐμπίπλανται τοῦ γενικωτάτου. Καλεῖται γὰρ τὸ μάννα Τί, ὃ πάντων ἐστὶ γένος. Τὸ δὲ γενικώτατόν ἐστιν ὁ θεός, καὶ δεύτερος ὁ θεοῦ λόγος, τὰ δὲ ἄλλα λόγῳ μόνον ὑπάρχει, ἔργοις δ᾽ ἔστιν οὗ ἴσον τῷ οὐχ ὑπάρχοντι.

§. 22. Ἴδε νῦν διαφορὰν τοῦ ἐν ἐρήμῳ τρεπομένου καὶ τοῦ ἐν Αἰγύπτῳ. Ὁ μὲν γὰρ τοῖς θα-

---

*) Deut. 8, 14 sq.

νατοῦσιν ὄφεσι χρῆται, τουτέστιν ἀπλήστοις ἡδοναῖς θάνατον ἐπιφερούσαις· ὁ δὲ ἀσκητὴς δάκνεται μόνον ὑφ᾽ ἡδονῆς καὶ σκορπίζεται, οὐ θανατοῦται. Καὶ ἐκεῖνος μὲν σωφροσύνῃ, χαλκῷ ὄφει, θεραπεύεται, γενομένῃ ὑπὸ τοῦ σοφοῦ Μωϋσέως· οὗτος δὲ ὑπὸ τοῦ θεοῦ ποτίζεται κάλλιστον ποτὸν, σοφίαν, ἐκ τῆς πηγῆς, ἣν αὐτὸς ἐξήγαγεν ἀπὸ τῆς ἑαυτοῦ σοφίας. Οὐδὲ τοῦ θεοφιλεστάτου Μωϋσέως ἀπέχεται ἡ ὀφιώδης. Λέγεται δὲ ὧδε. „Ἐὰν οὖν μὴ πιστεύσωσί μοι, μηδὲ εἰσακούσωσι τῆς φωνῆς μου, — ἐροῦσι γὰρ, οὐκ ὦπταί σοι ὁ θεὸς, — τί ἐρῶ πρὸς αὐτούς; Καὶ εἶπε κύριος Μωϋσεῖ· τί τοῦτ᾽ ἔστι τὸ ἐν τῇ χειρί σου; Ὁ δὲ εἶπε, ῥάβδος. Καὶ εἶπε, ῥίψον αὐτὴν ἐπὶ τὴν γῆν. Καὶ ἔῤῥιψεν αὐτὴν ἐπὶ τὴν γῆν, καὶ ἐγένετο ὄφις, καὶ ἔφυγε Μωϋσῆς ἀπ᾽ αὐτοῦ. Καὶ εἶπε κύριος Μωϋσεῖ, Ἔκτεινον τὴν χεῖρά σου, καὶ ἐπιλαβοῦ τῆς κέρκου. Ἐκτείνας οὖν τὴν χεῖρα, ἐπελάβετο τῆς κέρκου. Καὶ ἐγένετο ῥάβδος ἐν τῇ χειρί. Καὶ εἶπεν αὐτῷ, ἵνα πιστεύσωσί σοι." *) Πῶς ἂν τις πιστεύσαι θεῷ; Ἐὰν μάθῃ, ὅτι πάντα τὰ ἄλλα τρέπεται, μόνος δὲ αὐτὸς ἄτρεπτός ἐστι. Πυνθάνεται οὖν ὁ θεὸς τοῦ σοφοῦ, τί ἐστιν ἐν τῷ πρακτικῷ τῆς ψυχῆς αὐτοῦ βίῳ· ἡ γὰρ χεὶρ σύμβολον πράξεως. Ὁ δὲ ἀποκρίνεται, ὅτι
παιδεία, ἣν ῥάβδον καλεῖ. Διὸ καὶ ὁ πτερνιστὴς 110-
τῶν παθῶν Ἰακὼβ φησιν, „Ἐν γὰρ τῇ ῥάβδῳ μου P
83 διέβην τὸν Ἰορδάνην τοῦτον." **) Ἰορδάνης δὲ κα-
M. τάβασις ἑρμηνεύεται. Τῆς δὲ κάτω καὶ γηΐνης καὶ φθαρτῆς φύσεώς ἐστι τὰ κατὰ κακίαν καὶ πάθος· διαβαίνει δὲ ταῦτα ὁ ἀσκητὴς νοῦς ἐν παιδείᾳ. Ταπεινὸν γὰρ, τὸ ἐνδέχεσθαι ὅτι βακτηρίαν ἔχων ποταμὸν διέβαινε.

---

*) Exod. 4, 3 sqq.

**) Gen. 32, 10.

§. 23. Καλῶς οὖν καὶ ὁ θεοφιλὴς Μωϋσῆς ἀποκρίνεται. Ὄντως γὰρ αἱ πράξεις τοῦ σπουδαίου παιδείᾳ ὡς ἂν ῥάβδῳ ἐπερείδονται, τὸν κλόνον καὶ σάλον τῆς ψυχῆς ἱδρυόμεναι. Αὕτη ἡ ῥάβδος ἀποῤῥιφθεῖσα γίνεται ὄφις. Εἰκότως. Ἐὰν γὰρ ἡ ψυχὴ ἀποῤῥίψῃ τὴν παιδείαν, γέγονε φιλήδονος ἀντὶ φιλαρέτου. Διὸ καὶ Μωϋσῆς φεύγει ἀπ᾽ αὐτοῦ. Ἀπὸ γὰρ τοῦ πάθους καὶ τῆς ἡδονῆς ἀποδιδράσκει ὁ φιλάρετος. Ἀλλά τοί γε ὁ θεὸς τὴν φυγὴν οὐκ ἐπαινεῖ. Σοὶ μὲν γὰρ, ὦ διάνοια, μήπω τελειωθείσῃ, φυγὴν καὶ δρασμὸν τῶν παθῶν ἁρμόσει μελετᾶν. Μωϋσεῖ δὲ τῷ τελείῳ, παραμένειν τῷ πρὸς αὐτὰ πολέμῳ, καὶ ἀντιστατεῖν αὐτοῖς, καὶ διαμάχεσθαι. Εἰ δὲ μὴ, ἀδείας καὶ ἐξουσίας λαβόμενα μέχρι τῆς ψυχικῆς ἀκροπόλεως ἀναβάντα πᾶσαν ἐκπολιορκήσει καὶ λεηλατήσει, τυράννου τρόπον, τὴν ψυχήν. Διὸ καὶ προστάττει ὁ θεὸς "λαβέσθαι τῆς κέρκου," τουτέστι, τὸ ἀντίδικον τῆς ἡδονῆς καὶ ἀτίθασσον αὐτῆς μὴ φοβείτω σε, ἀλλὰ τούτου μάλιστα λαβοῦ καὶ κατάσχες καὶ περικράτησον. Ἔσται γὰρ πάλιν ἀντὶ ὄφεως ῥάβδος, τουτέστιν ἀντὶ ἡδονῆς γενήσεται ἐν τῇ χειρὶ παιδεία. Ἀλλὰ γενήσεται ἐν τῇ χειρὶ, ἐν τῇ πράξει τοῦ σοφοῦ, ὃ δὴ καὶ ἀληθές ἐστι. Λαβέσθαι δὲ καὶ περικρατῆσαι ἡδονῆς ἀδύνατον, εἰ μὴ πρότερον ἐκταθείη ἡ χεὶρ, τουτέστιν, εἰ μὴ τὰς πράξεις καὶ προκοπὰς ἁπάσας ὁμολογήσειεν ἡ ψυχὴ κατὰ θεὸν εἶναι, καὶ μηδὲν εἰς ἑαυτὴν συναγάγοι. Τοῦτον μὲν δὴ τὸν ὄφιν ἀποδιδράσκειν ὁ βλέπων διέγνωκεν. Ἕτερον δὲ τὸν σωφροσύνης λόγον κατασκευάζει, τὸν χαλκοῦν ἐκεῖνον, ἵνα ὁ δηχθεὶς ὑφ᾽ ἡδονῆς, ἰδὼν σωφροσύνην, ζήσῃ τὸν ἀληθῆ βίον.

§. 24. Τοιοῦτον ὄφιν εὔχεται ὁ Ἰακὼβ γενέσθαι τὸν Δὰν, καί φησιν οὕτως· "Δὰν κρινεῖ τὸν ἑαυτοῦ λαὸν, ὡσεὶ καὶ μία φυλὴ Ἰσραὴλ," καὶ "Γενέσθω Δὰν ὄφις ἐφ᾽ ὁδοῦ, ἐγκαθήμενος ἐπὶ

τρίβου, δάκνων πτέρναν ἵππου. Καὶ πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω, τὴν σωτηρίαν περιμένων κυρίου." *) Ἐκ μὲν τῆς Λείας πέμπτος υἱός ἐστιν Ἰσσάχαρ γνήσιος τῷ Ἰακώβ. Συγκαταριθμουμένων δὲ τῶν ἐκ τῆς Ζέλφας δυοῖν, ἕβδομος. Τοῦ δὲ Ἰακὼβ πέμπτος ἐστὶν ὁ Δὰν ἐκ τῆς Βάλλας τῆς 110
παιδίσκης Ῥαχήλ. Τὴν δὲ αἰτίαν ἐν τοῖς κατ᾽ ἰδίαν P
ἐξευρήσομεν. Περὶ δὲ τοῦ Δὰν πάλιν κατανοητέον. Δύο γένη φορεῖ ἡ ψυχὴ, τὸ μὲν θεῖον, τὸ δὲ φθαρτόν. Τὸ μὲν οὖν κρεῖττον κεκύηκεν ἤδη, καὶ ἵσταται ἐπ᾽ αὐτοῦ. Ὅτε γὰρ ἐξομολογήσασθαι
84 τῷ θεῷ καὶ παραχωρῆσαι πάντα ἴσχυσεν ἡ ψυχὴ,
M. κτῆμα κρεῖσσον λαβεῖν οὐκ ἔτ᾽ εἶχε. Διὰ τοῦτο ἔστη τοῦ τίκτειν, τὸν Ἰούδαν, τὸν ἐξομολογητικὸν τρόπον, ἐνεγκοῦσα. Τὸ δὲ θνητὸν γένος νῦν ἄρχεται διαπλάττειν. Ὑφέστηκε δὲ τὸ θνητὸν καταπόσει· θεμελίου γὰρ τρόπον ἡ γεῦσις, ἣ αἰτία τῆς τῶν ζώων διαμονῆς ἐστι. Βάλλα δὲ ἑρμηνεύεται κατάποσις. Ἐκ ταύτης οὖν γίνεται ὁ Δὰν, ὃς ἑρμηνεύεται κρίσις· τοῦτο γὰρ τὸ γένος διακρίνει καὶ χωρίζει τὰ ἀθάνατα ἀπὸ τῶν θνητῶν. Εὔχεται οὖν αὐτὸν γενέσθαι σωφροσύνης ἐργάτην. Τῷ δὲ Ἰούδᾳ οὐκ εὔξεται· ἔχει γὰρ ἤδη τὸ ἐξομολογεῖσθαι καὶ εὐαρεστεῖν θεῷ. "Γενέσθω οὖν," φησὶ, "Δὰν ὄφις ἐφ᾽ ὁδοῦ." Ὁδὸς ἡμῶν ἐστιν ἡ ψυχή. Ὥςπερ γὰρ ἐν ταῖς ὁδοῖς ἐστιν ἰδεῖν διαφορὰν τῶν ὄντων, ἀψύχων, ἐμψύχων, ἀλόγων, λογικῶν, σπουδαίων, φαύλων, δούλων, ἐλευθέρων, νεωτέρων, πρεσβυτέρων, ἀῤῥένων, θηλειῶν, ξένων, ἀστῶν, νοσούντων, ὑγιαινόντων, λελωβημένων, ὁλοκλήρων· οὕτως καὶ ἐν ψυχῇ καὶ ἄψυχα, καὶ ἀτελῆ, καὶ νοσώδη, καὶ δοῦλα, καὶ θήλεα, καὶ μυρία ἄλλα κηρῶν μετακινήματά ἐστι, καὶ ἔμπαλιν ἔμψυχα, ὁλόκληρα, ἄῤῥενα, ἐλεύθερα, ὑγιᾶ, πρεσβύτερα, σπουδαῖα, γνήσια, καὶ

*) Gen. 49, 17.

ἀστὰ ὄντως. Γενέσθω οὖν ὁ σωφροσύνης λόγος, ὄφις ἐπὶ τῆς ψυχῆς, τῆς ὁδευούσης διὰ πάντων τῶν ἐν τῷ βίῳ πραγμάτων, καὶ ἐγκαθισάτω ἐπὶ τρίβου. Τί δὲ τοῦτ᾽ ἔστιν; Ἄτριπτος μὲν ὁ ἀρετῆς χῶρος, ὀλίγοι γὰρ βαίνουσιν αὐτόν. τέτριπται δὲ ὁ κακίας. Ἐγκαθίσαι δὲ καὶ ἐνεδρεῦσαι καὶ λοχῆσαι παραινεῖ τὴν τετριμμένην ὁδὸν, τὸ πάθος καὶ τὴν κακίαν, ἐν οἷς κατατρίβονται τὸν βίον οἱ φυγάδες ἀρετῆς λογισμοί.

§. 25. "Δάκνων πτέρναν ἵππου." Ἐχομένως πτερνιστής ἐστιν ὁ τὴν στάσιν τοῦ γεννητοῦ καὶ φθαρτοῦ διασείων τρόπος. Τὰ πάθη δὲ ἵππῳ ἀπεικάσθη. Τετρασκελὲς γὰρ καὶ τὸ πάθος, ὡς ἵππος,
καὶ ὁρμητικὸν, καὶ αὐθαδείας γέμον, καὶ σκιρ- 1106
τητικὸν φύσει. Ὁ δὲ σωφροσύνης λόγος δάκνειν καὶ P.
τιτρώσκειν φιλεῖ καὶ ἀναιρεῖν τὸ πάθος. Πτερνισθέντος τοῦ πάθους καὶ ὀκλάσαντος "πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω." Ἱππέα νοητέον ἐπιβεβηκότα τοῖς πάθεσι νοῦν, ὃς ἀποπίπτει τῶν παθῶν, ὅταν αὐτὰ συλλογισθῇ καὶ πτερνισθῇ. Εὖ δὲ, ὅτι εἰς τὸ ἔμπροσθεν οὐ πίπτει ἡ ψυχή· μὴ γὰρ προερχέσθω τῶν παθῶν, ἀλλ᾽ ὑστεριζέτω τούτων, καὶ σωφρονισθήσεται. Καὶ δογματικόν ἐστιν ὃ λέγει. Ἐὰν ὁρμήσας ὁ νοῦς ἀδικῆσαι ὑστερήσῃ καὶ πέσῃ εἰς τὰ ὀπίσω, οὐκ ἀδικήσει. Ἐὰν δὲ ἐπὶ πάθος κινηθεὶς
5ἄλογον μὴ ἐπεκδράμῃ, ἀλλὰ κατόπιν μείνῃ, ἀπά-
I.θειαν, τὸ κάλλιστον, καρπώσεται. Διὸ καὶ τὸ κατόπιν πτῶμα ἀποδεχόμενος τῶν κακιῶν, ἐπιφέρει, τὴν σωτηρίαν περιμένων κυρίου. Ὄντως γὰρ ὑπὸ θεοῦ σώζεται ὁ ἀποπίπτων τῶν παθῶν, καὶ ὑστερίζων τῆς ἐνεργείας αὐτῶν. Πέσοι τοιοῦτόν μου πτῶμα ἡ ψυχὴ, καὶ μηδέποτε ἀνασταίη ἐπὶ τὸ ἵππειον καὶ σκιρτητικὸν πάθος, ἵνα θεοῦ σωτηρίαν περιμείνασα εὐδαιμονήσῃ. Διὰ τοῦτο καὶ Μωϋσῆς ἐν τῷ ᾄσματι ὑμνεῖ τὸν θεὸν, ὅτι "ἵππον καὶ ἀναβάτην

ἔῤῥιψεν εἰς θάλασσαν,"*) τὰ τέσσαρα πάθη καὶ τὸν ἐποχούμενον αὐτοῖς ἄθλιον νοῦν εἰς τὴν φθορὰν τῶν πραγμάτων καὶ τὸν ἀνήνυτον βυθόν. Καὶ σχεδὸν τοῦ ᾄσματος ὅλου τὸ κεφάλαιον τοῦτ' ἔστιν, ἐφ' ὃ τὰ ἄλλα πάντα ἀναφέρεται, καὶ οὕτως ἔχει. Ἐὰν γὰρ ἀπάθεια κατάσχῃ τὴν ψυχὴν, τελέως εὐδαιμονήσει.

§. 26. Ζητητέον δὲ, τίνος ἕνεκα ὁ μὲν Ἰακὼβ φησιν, ὅτι "πεσεῖται ὁ ἱππεὺς εἰς τὰ ὀπίσω;"**) Μωϋσῆς δὲ ᾄδει, ὅτι "ἵππος καὶ ἀναβάτης κατεποντώθησαν." Λεκτέον οὖν, ὅτι ὁ μὲν καταποντούμενος ὁ Αἰγύπτιός ἐστι τρόπος· ὃς καὶ ἂν φεύγῃ, ὑπὸ τὸ ὕδωρ, τουτέστιν ὑπὸ τὴν φορὰν τῶν παθῶν, φεύγει. Ὁ δὲ πίπτων ἱππεὺς εἰς τὰ ὀπίσθια, οὐκ ἔστι τῶν φιλοπαθῶν. Τεκμήριον δὲ, ὅτι οὗτος μέν ἐστιν ἱππεὺς, ἐκεῖνος δὲ ἀναβάτης. Ἱππέως μὲν οὖν ἔργον δαμάζειν τὸν ἵππον, καὶ ἀφηνιάζοντα ἐπιστοματίζειν, ἀναβάτου δὲ, φέρεσθαι ᾗ ἂν τὸ ζῶον ἄγῃ. Καὶ ἐν θαλάττῃ, τοῦ μὲν κυβερνήτου ἔργον ἄγειν τὸ σκάφος, καὶ εὐθύνειν καὶ ὀρθοῦν· τοῦ δὲ ἐπιβάτου, πάσχειν ὅσα ἂν ἡ ναῦς ὑπομείνῃ. Παρὸ δὴ 110
ὁ δαμάζων τὰ πάθη ἱππεὺς, οὐ καταποντοῦται, P
ἀλλὰ ἀποβὰς αὐτῶν, τὴν σωτηρίαν περιμένει τοῦ δεσπότου. Παραινεῖ μέντοι ὁ ἱερὸς λόγος ἐν Λευιτικῷ, "ἀπὸ τῶν ἑρπετῶν, ἃ πορεύεται ἐπὶ τεσσάρων, ἃ ἔχει σκέλη ἀνώτερον τῶν ποδῶν, ὥστε πηδᾶν ἐν αὐτοῖς, σιτεῖσθαι,"***) ὧν ἐστιν ὁ βροῦχος, καὶ ὁ ἄττακος, καὶ ἀκρὶς, καὶ τέταρτον ὁ ὀφιομάχης. Καὶ δεόντως. Εἰ γὰρ ἄτροφον καὶ βλαβερὸν πρᾶγμα ὀφιώδης ἡδονὴ, τροφιμώτατον ἂν καὶ σωτήριον γένοιτο ἡ πρὸς ἡδονὴν διαμαχομένη φύσις. αὕτη δὲ ἡ σωφροσύνη ἐστί. Μάχου δὴ καὶ σὺ, ὦ διάνοια,

---

*) Exod. 15, 1.
**) Gen. 49, 17.
***) Lev. 11, 22.

πρὸς πᾶν πάθος, καὶ διαφερόντως πρὸς ἡδονήν. Καὶ γὰρ "φρονιμώτατός ἐστιν ὁ ὄφις πάντων θηρίων τῶν ἐπὶ τῆς γῆς, ὧν ἐποίησεν κύριος ὁ θεός." *) Τῶν γὰρ πάντων πανουργότατόν ἐστιν ἡδονή. Διὰ τί; Ὅτι πάντα ἡδονῆς δοῦλα, καὶ ὁ βίος ὁ τῶν φαύλων δεσπόζεται ὑφ' ἡδονῆς. Τὰ γοῦν ποιητικὰ αὐτῆς εὑρίσκεται διὰ πανουργίας πάσης, χρυσὸς, ἄρ-
6 γυρος, δόξα, τιμαὶ, ἀρχαὶ, αἱ ὗλαι τῶν αἰσθητῶν,
1. καὶ τέχναι αἱ βάναυσοι, καὶ ὅσαι ἄλλαι κατασκευαστικαὶ ἡδονῆς, πάνυ ποικίλαι καὶ ἀδικοῦσαι τὴν ψυχήν. Τὰ δὲ ἀδικήματα οὐκ ἄνευ πανουργίας τῆς ἐσχάτης ἐστί. Τὴν ὀφιομάχον οὖν γνώμην ἀντίταττε, καὶ κάλλιστον ἀγῶνα τοῦτον διάθλησον, καὶ σπούδασον στεφανωθῆναι, κατὰ τῆς τοὺς ἄλλους ἅπαντας νικώσης ἡδονῆς, καλὸν καὶ εὐκλεᾶ στέφανον, ὃν οὐδεμία πανήγυρις ἀνθρώπων ἐχώρησε.

---

*) Gen. 3, 3.

# *ΝΟΜΩΝ ʽΙΕΡΩΝ*

## *ΑΛΛΗΓΟΡΙΑΙ ΤΡΙΤΑΙ*

*ΤΩΝ*

*ΜΕΤΑ ΤΗΝ ʽΕΞΑΗΜΕΡΟΝ.*

---

L

# SACRARUM LEGUM
## ALLEGORIARUM
## POST SEX DIERUM OPUS.
### LIBER III.

---

## Argumentum.

(Cf. Gen. 3, 8 sqq.)

(1) Qui deum fugit, is malus est, civitateque, quam virtus sapientibus donat, indignus. Hoc Moyses docuisse voluit, dicens, Adamum et Evam pone arbores paradisi sese abscondisse. Deum enim (2), qui universum implet, nemo fugit; quem igitur si quis fugere vult, is aperte prodit, se dei et numen et voluntatem ignorare (3). Quod quum cummaxime iis accidat, qui voluptati se tradunt, suadendum, ut huius dominationi aufugiamus, quam typus Pharaonis indicat (4), secedamusque, ut Moyses, in Midiam, i. e. ad iudicium nostrum confugiamus, ut ratiociniis divinis validiores redditi denuo certamen cum sensuum illecebris, quae sunt Pharao et Aegyptii, ineamus (5). Ita Iacobus quoque Labanum, rerum sensus concitantium sectatorem, abscondidit, deosque alienos et inaures subter terebinthum defodit; hoc enim genus sese occultandi omnes decet dei amantes, quorum est voluptatem fugere, non illud, cui studebant Adam et Eva (6—8). Si quis vero deum latere conatur, is ad se solum confugit (9); talis autem furi par est aestimandus, quem Moyses interfici iussit, quando in ipso facto deprehendatur (10); deum enim, a quo solo animus humanus ad recte cogitandum et agendum movetur, tan-

tum abest ut fugere liceat, ut mente potius pia sit quaerendus et colendus (11). Quod autem malus in se solum recedit, ut ibi lateat, innuit typus hominis Aegyptii, quem interfectum Moyses sabulo defodit; ille enim est humana et perniciosa affectio, hic mens sana deum recte colens (12). Hinc etiam Abramus dicitur a deo eductus fuisse e domo, i. e. mens, deo opitulante sensui valedicit, ut sola quae aeterna sunt cognoscat (13); et aliô loco sumtus de domo patris, i. e. deo non appropinquat mens, nisi postquam deo adiuvante e corporis carcere liberata est (14). Atque ita in aliis locis egredi de ratione usurpatur, quae homini ineunda est, ut virtutis particeps fiat (15). Vocavit deus Adamum ad verbum solum quidem, sed cum eo etiam Evam; nam mens sine sensu ne cogitari quidem potest (16 et 17), id quod verbis mulier, quam dedisti mecum, docetur; his tamen simul innuitur, sensum, qui est mulier, non in mente, sed iuxta mentem esse, ut huic notiones rerum suppeditet (18). Sensus vero non decipit mentem, nisi ipse voluptate, quae est serpens, ante deceptus est (19 et 20). Serpens damnatur non admissa defensione, quia voluptas, quippe quae res pessima, non est audienda (21); quamobrem etiam Ir, qui est corpus, absque ulla causa manifesta, malus iudicatur (22), et interficitur; corpus enim mali sedes, ita ut anima praemia virtutis, quae significat Thamar, non accipiat, nisi ante corpus morti tradidit (23). Contra deus bonos absque manifesta causa effert, ut Noachum; talia enim sunt penes liberam gratiam dei, a quâ omnia pendent (24). Hac etiam factum est, ut deus Melchisedecum, qui est mens sana, non prius expresso eius merito, sacerdotem sibi constitueret (25 et 26); ut Abramo, nuspiam ante laudato, regionem fertilem habitandam promitteret, qua re migratio mentis in coelestia innuitur (27); ut cum Isaaco, antequam natus erat, foedus sempiternum iniret, quo subnotatur, laetitiâ, quam significat Isaacus, antequam adest, animum exhilarari (28); ut Iacobum, dum in utero matris erat, principem prae Esavo declararet, quo docetur, rationale potius esse irrationali l. pravo (29); ut ex filiis Iosephi Ephraimum, iuniorem, potiorem habuerit Manasse, natu maiorem, quibus symbolice innuitur memoriam potiorem esse reminiscentiâ (30); ut Beseleelum, cuius opera ante perfecta non laudantur, ad exstruendum tabernaculum evocaret, quo usus est deus, ut imagines exemplarium divinorum exprimeret, quorum primus artifex fuit Moyses; per hunc enim solum verus deus se, ut ab hominibus cognosceretur, manifestavit, non per mundum factum et interiturum, quod plurimis philosophorum pla-

cuit (31—33). Quamobrem precandum a deo, ut omnibus nobis thesauros gratiae, l. bonorum aeternorum aperiat, malorum contra claudat (34). Voluptatem, serpentem, recte exsecratur deus, quia terminos animae turbat, pro virtutis studio amorem affectuum generans; ita eandem typo coeci (Deut. 28, 18.) exsecratur, voluptas enim coeca (35 et 36); et quum sit omnium affectuum deterrimus, prae omnibus bestiis, i. e. affectibus, damnatur (37). Gradietur super pectus et ventrem, quod in his corporis partibus et voluptatis et irae sedes, in capite vero rationis (38. 39). Quomodo illae hac sint cohibendae figurate docetur, quod Aaron doctrinam et veritatem in pectore gerere iussus est (40—42); his enim cohibetur ira a proficiente in virtute, Aarone, at a sapientissimo quoque, Moyse, penitus pectori exsciditur (43—46). Serpens ventre gradi iubetur, quoniam hic sedes voluptatis (47); quamobrem ventrem et pedes aquâ lavari, i. e. voluptatem vitari iubet Moyses (48 et 49), nam ventris repletio quasi fundamentum est ceterorum affectuum (50). Obsequendum igitur rationi, ne anima voluptate polluatur, quod castris suos egredi iubens (Deut. 23, 12.) Moyses suasit; nam rationi simul cum voluptate in una sede non est commorandum (51. 52). Quidquid enim ratione caret, turpe, sicut decorum, quidquid cum ratione coniunctum (53). Recte admodum serpens gradi iubetur, voluptas enim semper mutabilis (54); recte quoque terram comedere, nam voluptas rebus corporeis, animus coelestibus delectatur; hoc ex manna clarum, quod deus Israelitis colligendum dedit (55 et 56), quo declaratur institutio et sapientia divinior (57), qua unumquemque, quantum valet, animum imbuere decet (58). Illud manna tanquam ros coelo decidisse dicitur, quod sapientiâ illâ affectus sopiuntur et quasi coagulantur (59 et 60). Ita et alibi homo non pane tantum, sed omni verbo dei vivere dicitur (61). Haec sapientia, l. verbum dei l. manna, a deo per angelos datur; errant igitur, qui suis viribus freti eam soli invenire posse putant; quamobrem male Iosephus Iacobo nuntiat: "Enutriam te"; deus enim, ut Liae, ita animae uterum aperit, eique sapientiae semen instillat (62 et 63). Inimicitiâ positâ intra serpentem et mulierem innuitur, voluptatem sensui esse oppositam, ut adulatio amicitiae (64); bellum enim nunquam cessans est inter appetitum et sensum (65). Ita oppositi Adamus et Eva, Israel et Amalec (66). Hoc bello fortiter certandum, ut et Iacobus luctatus est (67. 68); turpe enim hoc certamine vinci, et decorum tantum sapientiae vel rationi servire (69. 70). Voluptati

servientem consequitur tristitia, quam mulieri deus minatur, sapientiae laetitia, quam deus Isaaco iureiurando interposito et Sarae promisit (71 – 77). Mulier igitur, i. e. sensus, convertat se ad virum, i. e. mentem sanam, necesse est (78). Recta ratio regat vitam, ut gubernator navem; alioquin affectus, mulieres, pessundabunt animum (79. 80). Cogitationibus nostris solis, quas denotat Esebon, non summa fides tribuenda, sed deo, ad exemplum Abrami (81). Tenues enim quum sint, sed tamen arrogantes, facile decipiunt intellectum, qui est Moab (82. 83). Unam eius generis repraesentat uxor Petephrae, cui aufugit Iosephus; virtus enim, cuius typus hic, repellit pravas animi conceptiones (84. 85). Ita etiam Phinees, qui est zelus divinus, interfecit Madianitidem, quae est natura occultans se in divino choro (86). Mulieri contra, ut Sarae, quae est virtus, obtemperandum (87); nam voluptati, serpenti, qui paret, is maledictus (88), ita ut non nisi spinarum, i. e. male factorum auctor futurus sit, ex quibus gravissimi dolores, quod significatur herba agri et sudore, nascuntur (89. 90).

---

87 §. 1. „Καὶ ἐκρύβη ὅ τε Ἀδὰμ καὶ ἥ γυνὴ αὐ- 60
M. τοῦ ἀπὸ προςώπου κυρίου τοῦ θεοῦ ἐν μέσῳ τοῦ P.
ξύλου τοῦ παραδείσου." *) Δόγμα εἰςηγεῖται διδάσκον, ὅτι ὁ φαῦλος φυγάς ἐστιν. Ἡ γὰρ πόλις οἰκεία τῶν σοφῶν, ἡ ἀρετή· ταύτης ὁ μὴ δυνάμενος μετέχειν ἀπελήλαται πόλεως, ἧς ἀδυνατεῖ μετέχειν ὁ φαῦλος. Ἀπελήλαται ἄρα καὶ πεφυγάδευται μόνος ὁ φαῦλος. Ὁ δὲ ἀρετῆς φυγὰς εὐθὺς ἀποκέκρυπται θεοῦ. Εἰ γὰρ ἐμφανεῖς οἱ σοφοὶ θεῷ, ἅτε 61
ὄντες αὐτῷ φίλοι, δῆλον ὡς ἀποκρύπτονται καὶ κα- P.
ταδύονται πάντες οἱ φαῦλοι, ὡς ἂν ἐχθροὶ καὶ δυςμενεῖς ὄντες ὀρθῷ λόγῳ. Ὅτι μὲν οὖν ἄπολις καὶ ἄοικος ὁ φαῦλός ἐστι, μαρτυρεῖ ἐπὶ τοῦ δασέος καὶ ποικίλου τὴν κακίαν Ἡσαῦ, ὅτε φησὶν, „Ἦν δὲ

---

*) Gen. 3, 8.

Ἠσαῦ εἰδὼς κυνηγεῖν, ἀγροῖκος." *) Οὐ γὰρ πέ-
φυκεν ἡ τῶν παθῶν θεραπευτικὴ κακία τὴν ἀρετῆς
πόλιν οἰκεῖν, ἀγροικίαν καὶ ἀπαιδευσίαν μετὰ πολλῆς
ἀγνωμοσύνης μεταδιώκουσα. Ὁ δέ γε σοφίας με-
88στὸς Ἰακὼβ καὶ πολίτης ἐστὶ, καὶ "οἰκίαν," τὴν
M.ἀρετὴν, "κατοικεῖ." **) Φησὶν οὖν περὶ αὐτοῦ,
"Ἰακὼβ δὲ ἄπλαστος ἄνθρωπος οἰκῶν οἰκίαν."
Παρ' ὃ καὶ "αἱ μαῖαι, ἐπειδὴ ἐφοβοῦντο τὸν θεὸν,
ἐποίησαν ἑαυταῖς οἰκίας." ***) Αἱ γὰρ ζητητικαὶ
τῶν ἀφανῶν θεοῦ μυστηρίων, ὅπερ ἔστι ζωογονεῖν
τὰ ἄρσενα, οἰκοδομοῦσι τὰ ἀρετῆς πράγματα, οἷς
καὶ ἐνοικεῖν προήρηνται. Διὰ μὲν δὴ τούτων ἐπιδέ-
δεικται, πῶς ὁ μὲν φαῦλος ἄπολίς τέ ἐστι καὶ ἄοι-
κος, φυγὰς ἀρετῆς ὢν, ὁ δὲ σπουδαῖος καὶ πόλιν
ἔχειν καὶ οἶκον σοφίαν κεκλήρωται.

§. 2. Ἴδωμεν δὲ ἑξῆς, πῶς καὶ ἀποκρύπτεσθαί
τις θεοῦ λέγεται. Εἰ δὲ μὴ ἀλληγορήσειέ τις, ἀδύ-
νατον παραδέξασθαι τὸ προκείμενον. Πάντα γὰρ
πεπλήρωκεν ὁ θεὸς, καὶ διὰ πάντων διελήλυθεν, καὶ
κενὸν οὐδὲν οὐδὲ ἔρημον ἀπολέλοιπεν ἑαυτοῦ. Ποῖον
γάρ τις τόπον ἐφέξει, ἐν ᾧ οὐχὶ θεός ἐστι; Μαρ-
τυρεῖ δὲ καὶ ἐν ἑτέροις λέγων, "Ὁ θεὸς ἐν τῷ οὐ-
ρανῷ ἄνω, καὶ ἐπὶ τῆς γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι
πλὴν αὐτοῦ." ****) Καὶ πάλιν ὧδε, "Ἐγὼ ἕστηκα
πρὸ τοῦ σε." *****) Πρὸ γὰρ τοῦ παντὸς γενητοῦ
ὁ θεός ἐστι, καὶ ἔσται πανταχοῦ, ὥςτε οὐκ ἂν δύ-
ναιτό τις ἀποκρύπτεσθαι. Καὶ τί θαυμάζομεν; Τῶν
γὰρ γενομένων τὰ συνεκτικώτατα, οὐδ' ἂν εἴ τι γέ-
νοιτο, ἐκφεύγειν καὶ ἀποκρύπτεσθαι δυνηθείημεν, οἷον,
γῆν φυγέτω τις ἢ ὕδωρ ἢ ἀέρα ἢ οὐρανὸν ἢ τὸν σύμ-

---

*) Gen. 25, 27.
**) Ibid.
***) Exod. 1, 21.
****) Deut. 4, 39.
*****) Exod. 17. 6.

παντα κόσμον. Ἀνάγκη γὰρ ἐν τούτοις περιέχεσθαι,
οὐ γὰρ ἔξω γέ τις τοῦ κόσμου φεύγειν δυνήσεται.
Εἶτα τὰ μέρη τοῦ κόσμου, μηδὲ τὸν κόσμον αὐτὸν
δυνάμενός τις ἀποκρύπτεσθαι, τὸν θεὸν ἂν ἰσχύσειε
λανθάνειν; Οὐδαμῶς. Τί οὖν τὸ "ἐκρύβησαν;" Ὁ
φαῦλος δοκεῖ εἶναι τὸν θεὸν ἐν τόπῳ, μὴ περιέχον-
τα, ἀλλὰ περιεχόμενον. Οὗ χάριν καὶ οἴεται ἀπο-
κρύπτεσθαι, ὡς κατ᾽ ἐκεῖνο τὸ μέρος οὐκ ὄντος τοῦ
αἰτίου, καθ᾽ ὃ φωλεύειν διέγνωκεν.

§. 3. Ἔστι δὲ οὕτως ἐκδέξασθαι. Ἐν τῷ φαύ-
λῳ ἡ ἀληθὴς περὶ θεοῦ δόξα ἐπεσκίασται καὶ ἀπο-
κρύπτεται· σκότους γὰρ πλήρης ἐστὶ, μηδὲν ἔχων
ἐναύγασμα θεῖον, ᾧ τὰ ὄντα περισκέψεται. Ὁ δὲ 62
τοιοῦτος πεφυγάδευται θείου χοροῦ, καθάπερ ὁ λε- P.
πρὸς καὶ γονοῤῥυής. Ὁ μὲν θεὸν καὶ γένεσιν, ἀντι-
πάλους φύσεις δύο χρωμάτων ὄντων ἀγαγὼν εἰς
ταὐτὸ ὡς αἴτια, ἑνὸς ὄντος αἰτίου τοῦ δρῶντος. Ὁ
δὲ γονοῤῥυὴς, ἐκ κόσμου πάντα καὶ εἰς κόσμον ἀνά-
γων, ὑπὸ θεοῦ δὲ μηδὲν οἰόμενος γεγονέναι, Ἡρα-
89 κλειτείου δόξης ἑταῖρος, κόρον καὶ χρησμοσύνην καὶ
M. ἓν τὸ πᾶν καὶ πάντα ἀμοιβῇ εἰσάγων. Διό φησι
καὶ ὁ θεῖος λόγος, "Ἐξαποστειλάτωσαν ἐκ τῆς ἁγίου
ψυχῆς πάντα λεπρὸν, καὶ πάντα γονοῤῥυῆ, καὶ πάντα
ἀκάθαρτον ἐν ψυχῇ, ἀπὸ ἀρσενικοῦ ἕως θηλυκοῦ·
καὶ τοὺς θλαδίας καὶ ἀποκεκομμένους τὰ γεννητικὰ
τῆς ψυχῆς, καὶ πόρνους," *) τὴν ἑνὸς ἀρχὴν ἀπο-
διδράσκοντας, οἷς ἄντικρυς ἀπείρηται "εἰς ἐκκλη-
σίαν θεοῦ φοιτᾶν." **) Οἱ δέ γε σοφοὶ λογισμοὶ,
οὐχ οἷον ἀποκρύπτονται, ἀλλ᾽ ἐμφανεῖς εἶναι γλίχον-
ται. Οὐχ ὁρᾷς, ὅτι Ἀβραὰμ ἔτι ἦν ἑστηκὼς ἐν τό-
πῳ κυρίου, καὶ ἐγγίσας εἶπε, "Μὴ συναπολέσῃς δί-
καιον μετὰ ἀσεβοῦς," ***) τὸν ἐμφανῆ σοι καὶ γνώ-

*) Num. 5, 2.

**) Deut. 23, 2.

***) Gen. 18, 23.

ριμον, μετὰ τοῦ φεύγοντός σε καὶ ἀποδιδράσκοντος; Οὗτος μὲν γὰρ ἀσεβὴς, δίκαιος δὲ ὁ ἑστηκὼς ἐναντίον σου καὶ μὴ φεύγων. Σὲ γὰρ, ὦ δέσποτα, τιμᾶσθαι δίκαιον μόνον. Οὐχ ὥςπερ δὲ ἀσεβὴς, οὕτω καὶ εὐσεβής τις εὑρίσκεται. Ἀλλ' ἀγαπητὸν εἰ δίκαιος, οὗ χάριν φησὶ, "Μὴ συναπολέσῃς δίκαιον μετὰ ἀσεβοῦς." Ἀξίως γὰρ οὐδὲ εἷς τὸν θεὸν τιμᾷ, ἀλλὰ δικαίως μόνον. Ὁπότε γὰρ οὐδὲ τοῖς γονεῦσιν ἴσας ἀποδοῦναι χάριτας ἐνδέχεται, ἀντιγεννῆσαι γὰρ οὐχ οἷόν τε τούτους, πῶς οὐκ ἀδύνατον θεὸν ἀμείψασθαι ἢ ἐπαινέσαι κατὰ τὴν ἀξίαν τὸν τὰ ὅλα συστησάμενον ἐκ μὴ ὄντων; "Πᾶσαν γὰρ ἀρετὴν παρέσχε." *)

§. 4. Τρεῖς οὖν καιροὺς, ὦ ψυχὴ, τουτέστι τὸν τριμερῆ χρόνον, σύμπασα ἐμφανὴς ἀεὶ γίνου θεῷ, μὴ τὸ θῆλυ αἰσθητὸν πάθος ἐφελκομένη, ἀλλὰ τὸν ἀνδρεῖον καὶ καρτερίας ἀσκητὴν λογισμὸν ἐκθυμιῶσα. "Τρισὶ γὰρ καιροῖς τοῦ ἐνιαυτοῦ ὀφθῆναι πᾶν ἀρσενικὸν ἐναντίον κυρίου τοῦ θεοῦ Ἰσραὴλ" **) ὁ ἱερὸς λόγος προστάττει. Διὰ τοῦτο καὶ Μωϋσῆς, ὅταν ἐμφανὴς καθίσταται θεῷ, φεύγει τὸν διασκεδαστὴν τρόπον Φαραῶ, ὃς αὐχεῖ λέγων μὴ εἰδέναι τὸν κύριον. "Ἀνεχώρησε γὰρ," φησὶ, "Μωϋσῆς ἀπὸ προςώπου Φαραῶ, καὶ κατῴκησεν ἐν γῇ Μαδιὰμ," ***) τῇ κρίσει τῆς φύσεως πραγμάτων, "καὶ ἐκάθησεν ἐπὶ τοῦ φρέατος," ἐκδεχόμενος τί ὁ θεὸς ἀνομβρήσει πότιμον τῇ διψώσῃ καὶ ποθούσῃ ψυχῇ τὸ ἀγαθόν. Ἀναχωρεῖ μὲν δὴ ἀπὸ τῆς ἀθέου καὶ ἡγεμονίδος τῶν παθῶν δόξης, Φαραῶ, "ἀναχωρεῖ δὲ εἰς Μαδιὰμ,"
90 τὴν κρίσιν, ἐξετάζων πότερον ἠρεμητέον αὐτῷ ἐστιν,
M ἢ δικαστέον πάλιν πρὸς τὸν φαῦλον ἐπ' ὀλέθρῳ αὐτοῦ. Σκέπτεται δὲ εἰ ἐπιθέμενος ἰσχύσει νικηφορῆ- 63
P.

*) Deut. 8, 28. (?)

**) Deut. 16, 16.

***) Exod. 2, 15.

σαι· παρ' ὃ καὶ κατέχεται ὑπομένων, ὥς ἔφην, εἰ ἀναδώσει ὁ θεὸς τῷ βαθεῖ καὶ μὴ κούφῳ λογισμῷ, πηγὴν ἱκανὴν ἐπικλύσαι τὴν φορὰν τοῦ Αἰγυπτίων βασιλέως, τῶν παθῶν αὐτοῦ. Ἀξιοῦται μέν τοι τῆς χάριτος· στρατευσάμενος γὰρ τὴν στρατείαν τὴν ὑπὲρ ἀρετῆς, οὐ παύεται πολεμῶν, πρὶν ἐπιδεῖν πρηνεῖς καὶ ἀπράκτους τὰς ἡδονάς. Οὗ χάριν οὐ φεύγει Μωϋσῆς ἀπὸ τοῦ Φαραώ, ἀνεπιστρεπτὶ γὰρ ἂν ἀπεδίδρασκεν, ἀλλὰ ἀναχωρεῖ, τουτέστιν ἀνακωχὴν ποιεῖται τοῦ πολέμου, ἀθλητοῦ τρόπον διαπνέοντος καὶ συλλεγομένου τὸ πνεῦμα, μέχρις ἂν ἐγείρας τὴν φρονήσεως καὶ τῆς ἄλλης ἀρετῆς συμμαχίαν, διὰ λόγων θείων μετὰ δυνάμεως ἐῤῥωμενεστάτης ἐπίθηται. Ὁ δὲ Ἰακὼβ, πτερνιστὴς γάρ ἐστι, μεθόδοις καὶ τέχναις τὴν ἀρετὴν οὐκ ἀκονιτὶ κτώμενος — οὐ γὰρ μετωνόμαστό πω εἰς τὸν Ἰσραὴλ — "ἀποδιδράσκει τῶν κατὰ Λάβαν πραγμάτων," *) τουτέστι χρωμάτων καὶ σχημάτων, καὶ συνόλως σωμάτων, ἃ τὸν νοῦν διὰ τῶν αἰσθητῶν τιτρώσκειν πέφυκεν. Ἐπειδὰν γὰρ αὐτὰ νικῆσαι παρὼν κατὰ τὸ παντελὲς οὐκ ἠδύνατο, φεύγει, δεδιὼς τὴν πρὸς αὐτῶν ἧτταν· καὶ σφόδρα ἐπαίνων ἄξιος. "Εὐλαβεῖς" γὰρ, φησὶ Μωϋσῆς, "ποιήσετε τοὺς υἱοὺς τοῦ ὁρῶντος," **) ἀλλ' οὐ θρασεῖς, καὶ τῶν μὴ καθ' αὑτοὺς ἐρῶντας.

§. 5. "Καὶ ἔκρυψεν Ἰακὼβ Λάβαν τὸν Σύρον, τοῦ μὴ ἀναγγεῖλαι αὐτῷ ὅτι ἀποδιδράσκει. Καὶ ἀπέδρα αὐτὸς καὶ τὰ αὐτοῦ πάντα, καὶ διέβη τὸν ποταμὸν, καὶ ὥρμησεν εἰς τὸ ὄρος Γαλαάδ." Φυσικώτατόν ἐστι τὸ κρύπτειν, ὅτι ἀποδιδράσκει, καὶ μὴ ἀναγγέλλειν τῷ ἡττημένῳ τῶν αἰσθητῶν λογισμῶν Λάβαν, οἷον ἐὰν κάλλος ἰδὼν αἱρεθῇς αὐτῷ καὶ μέλλῃς πταίειν περὶ αὐτὸ, φεῦγε λαθὼν ἀπὸ

*) Gen. 31, 20.

**) Lev. 15, 31.

τῆς φαντασίας αὐτοῦ, καὶ μηκέτι ἀναγγείλῃς τῷ νῷ, τουτέστι, μὴ ἐπιλογίσῃ πάλιν, μηδὲ μελετήσῃς. Αἱ γὰρ συνεχεῖς ὑπομνήσεις τύπους ἐγχαράττουσαι τρανοὺς, βλάπτουσι τὴν διάνοιαν, καὶ ἄκουσαν αὐτὴν προτρέπουσιν. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ πάντων τῶν καθ᾽ ἡντινοῦν αἴσθησιν ὁλκῶν. Ἐν γὰρ τούτοις σώτειρα ἡ λαθραία φυγή. Τὸ δὲ ὑπομνήσκεσθαι καὶ ἀναγγέλλειν καὶ ἀναπολεῖν, κρατεῖ καὶ δουλοῦται βιαίως τὸν λογισμόν. Μηδέποτ᾽ οὖν, ὦ διάνοια, τὸ φανὲν αἰσθητὸν, εἰ μέλλεις ἁλίσκεσθαι πρὸς αὐτοῦ, ἀναγγείλῃς ἑαυτῇ, μηδὲ ἀναπολήσῃς αὐτὸ, ἵνα 64
μὴ κρατηθεῖσα κακοδαιμονῇς· ἀλλ᾽ ἄφετος ὁρμήσασα P.
ἀπόδραθι, ἐλευθερίαν ἀτίθασσον δουλείας χειροήθους προκρίνουσα.

§. 6. Διὰ τί δὲ νῦν ὡς ἀγνοοῦντος τοῦ Ἰακὼβ ὅτι Σύρος ὁ Λάβαν ἐστὶ, φησὶν, "Ἔκρυψε δὲ Ἰακὼβ Λάβαν τὸν Σύρον;" Ἔχει δὲ καὶ τοῦτο οὐ
91 πάρεργον λόγον. Συρία γὰρ ἑρμηνεύεται μετέωρα.
M. Ὁ ἀσκητὴς οὖν Ἰακὼβ, νοῦς, ὅτε μὲν ὁρᾷ ταπεινὸν τὸ πάθος, περιμένει, λογιζόμενος αὐτὸ νικήσειν κατὰ κράτος. Ὅτε δὲ μετέωρον καὶ ὑψαυχενοῦν καὶ ὑπέρογκον, ἀποδιδράσκει τε ὁ νοῦς ὁ ἀσκητὴς πρῶτος, εἶτα καὶ τὰ αὐτοῦ πάντα μέρη τῆς ἀσκήσεως, ἀναγνώσεις, μελέται, θεραπεῖαι, τῶν καλῶν μνῆμαι, ἐγκράτεια, τῶν καθηκόντων ἐνέργειαι, καὶ διαβαίνει τὸν τῶν αἰσθητῶν ποταμὸν τὸν ἐπικλύζοντα καὶ βαπτίζοντα τῇ φορᾷ τῶν παθῶν τὴν ψυχὴν, καὶ ὁρμᾷ διαβὰς εἰς τὸν ὑψηλὸν καὶ μετέωρον τὸν λόγον τῆς τελείας ἀρετῆς. "Ὥρμησε γὰρ εἰς τὸ ὄρος Γαλαὰδ," ἑρμηνεύεται δὲ μετοικία μαρτυρίας, τοῦ θεοῦ μετοικίσαντος τὴν ψυχὴν ἀπὸ τῶν κατὰ Λάβαν παθῶν, καὶ μαρτυρήσαντος αὐτῇ μετανάστασιν, ὅτι λυσιτελὴς καὶ συμφέρουσα, καὶ ἀπὸ τῶν ταπεινὴν καὶ χαμαίζηλον ἀπεργαζομένων τὴν ψυχὴν κακῶν εἰς ὕψος καὶ μέγεθος ἀρετῆς προάγοντος. Διὰ τοῦτο ὁ φίλος τῶν αἰσθήσεων, καὶ κατ᾽ αὐτὰς, ἀλλὰ μὴ κατὰ νοῦν

ἐνεργῶν Λάβαν, ἀγανακτεῖ, καὶ διώκει, καί φησιν, "Ἵνα τί κρυφῇ ἀπέδρας, ἀλλ' οὐ παρέμεινας τῇ τοῦ σώματος ἀπολαύσει, καὶ τῷ δόγματι τῷ περὶ σῶμα; καὶ τὰ ἐκτὸς ἀγαθὰ κρίνοντι; Ἀλλὰ καὶ φεύγων ἀπὸ τῆςδε τῆς δόξης ἐσύλησάς μου καὶ τὸ φρονεῖν, Λείαν τε καὶ Ῥαχὴλ," αὗται γὰρ ἡνίκα παρέμενον τῇ ψυχῇ φρένας ἐνεποίουν ταύτῃ, μεταναστᾶσαι δὲ ἀμαθίαν καὶ ἀπαιδευσίαν αὐτῇ κατέλιπον. Διὸ καὶ ἐπιφέρει, ὅτι "ἐκλοποφόρησάς με," τουτέστι τὸ φρονεῖν ἔκλεψας.

§. 7. Τί οὖν ἦν τὸ φρονεῖν, ἐξηγήσεται. Ἐπιφέρει γὰρ, "Καὶ ἀπήγαγες τὰς θυγατέρας μου ὡς αἰχμαλώτιδας· καὶ εἰ ἀνήγγειλάς μοι, ἐξαπέστειλα ἄν σε." Οὐκ ἂν ἐξαπέστειλας τὰ μαχόμενα ἀλλήλοις. Εἰ γὰρ ἐξαπέστειλας ὄντως καὶ ἠλευθέρους τὴν ψυχὴν, περιεῖλες ἂν αὐτῆς τοὺς σωματικοὺς καὶ αἰσθητικοὺς ἅπαντας ἤχους. Οὕτω γὰρ ἀπολυτροῦται κακῶν καὶ παθῶν διάνοια. Νυνὶ δὲ λέγεις μὲν, ὡς ἐξαποστέλλεις ἐλευθέραν, διὰ δὲ τῶν ἔργων ὁμολογεῖς, ὅτι κατέσχες ἂν ἐν δεσμωτηρίῳ· εἰ γὰρ μετὰ μουσικῶν καὶ τυμπάνων καὶ κιθάρας, καὶ τῶν 65
καθ' ἑκάστην αἴσθησιν ἡδονῶν προέπεμπες, οὐκ ἂν P.
ὄντως ἐξαπέστειλας. Οὐ γὰρ μόνον σε, ὦ σωμάτων καὶ χρωμάτων ἑταῖρε Λάβαν, ἀποδιδράσκομεν, ἀλλὰ καὶ πάντα τὰ σὰ, ἐν οἷς καὶ αἱ τῶν αἰσθήσεων φωναὶ ταῖς τῶν παθῶν ἐνεργείαις συνηχοῦσι. Μεμελετήκαμεν γὰρ, εἴ γε ἀρετῆς ἐσμεν ἀσκηταὶ, μελέτην ἀναγκαίαν, ἣν καὶ Ἰακὼβ ἐμελέτησεν, ἀπολλῦ-
92 ναι καὶ διαφθείρειν τοὺς ἀλλοτρίους τῆς ψυχῆς τοὺς
M. θεοὺς τοὺς χωνευτοὺς, θεοὺς οὓς ἀπηγόρευκε Μωϋσῆς δημιουργεῖν *). Οὗτοι δέ εἰσιν ἀρετῆς μὲν καὶ εὐπαθείας διάλυσις, κακίας δὲ καὶ παθῶν σύστασίς τε καὶ πῆξις. Τὸ γὰρ χεόμενον διαλυθὲν αὖθις πήγνυται.

*) Levit. 19, 4.

§. 8. *Λέγει δὲ οὕτως, "Καὶ ἔδωκαν Ἰακὼβ τοὺς θεοὺς τοὺς ἀλλοτρίους, οἳ ἦσαν ἐν ταῖς χερσὶν αὐτῶν, καὶ τὰ ἐνώτια τὰ ἐν τοῖς ὠσὶν αὐτῶν. Καὶ κατέκρυψεν αὐτὰ Ἰακὼβ ὑπὸ τὴν τερέβινθον τὴν ἐν Σικίμοις."* *) Οὗτοι δέ εἰσι τῶν φαύλων θεοί. Ὁ δὲ Ἰακὼβ οὐ λέγεται λαμβάνειν, ἀλλὰ κρύπτειν καὶ ἀπολλῦναι. Πάντη διηκριβωμένως. Ὁ γὰρ ἀστεῖος οὐδὲν λήψεται πρὸς περιουσίαν τῶν ἀπὸ κακίας, ἀλλὰ κρύψει καὶ ἀφανιεῖ λάθρα. Καθάπερ καὶ Ἀβραὰμ τῷ Σοδόμων βασιλεῖ τεχνάζοντι ἀλόγου φύσεως ποιήσασθαι ἀντίδοσιν πρὸς λογικὴν, ἵππου πρὸς ἄνδρας, φησὶ, "μηδὲν λήψεσθαι τῶν ἐκείνου, ἀλλ' ἐκτενεῖν" τὴν ψυχικὴν πρᾶξιν, ὅπερ διὰ συμβόλου "χεῖρα" ὠνόμασε, "πρὸς τὸν θεὸν τὸν ὕψιστον·" **) μὴ γὰρ λήψεσθαι ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος, ἀπὸ πάντων τῶν ἐκείνου, ἵνα μὴ εἴπῃ πλούσιον πεποιηκέναι τὸν ὁρῶντα, πενίαν ἀρετῆς τῆς πλουσίας ἀντιδιδούς. Κρύπτεται μὲν ἀεὶ καὶ φυλάττεται τὰ πάθη ἐν Σικίμοις, ὠμίασις δὲ ἑρμηνεύεται· ὁ γὰρ πονούμενος περὶ τὰς ἡδονὰς, φυλακτικὸς τῶν ἡδονῶν ἐστιν. Ἀπόλλυται δὲ καὶ διαφθείρεται παρὰ τῷ σοφῷ, οὐ πρὸς βραχύν τινα χρόνον, ἀλλ' ἕως τῆς σήμερον ἡμέρας, τουτέστιν ἀεί. Ὁ γὰρ αἰὼν ἅπας τῷ σήμερον παραμετρεῖται· μέτρον γὰρ τοῦ παντὸς χρόνου, ὁ ἡμέριος κύκλος. Διὸ καὶ ἐξαίρετον δίδωσι τῷ Ἰωσὴφ "τὰ Σίκιμα" ὁ Ἰακὼβ, ***) τὰ σωματικὰ καὶ αἰσθητικὰ, μετιόντι τὸν ἐν τούτοις πόνον· τῷ δ' ἐξομολογουμένῳ Ἰούδᾳ, οὐχὶ δόσεις, ἀλλὰ αἴνεσιν καὶ ὕμνους καὶ θεοπρεπεῖς ᾠδὰς πρὸς τῶν ἀδελφῶν. Τὰ δὲ Σίκιμα ὁ Ἰακὼβ λαμβάνει οὐ παρὰ θεοῦ, ἀλλ' ἐν μαχαίρᾳ καὶ τόξοις, λόγοις τμητικοῖς καὶ ἀμυντηρίοις. Ὑποτάττει

*) Gen. 35, 4.

**) Gen. 14, 21.

***) Gen. 48, 22.

γὰρ καὶ τὰ δεύτερα ἑαυτῷ ὁ σοφός· ὑποτάξας δὲ
οὐ φυλάττει, ἀλλὰ χαρίζεται τῷ πεφυκότι πρὸς αὐ-
93 τά. Οὐχ ὁρᾷς, ὅτι καὶ τοὺς θεοὺς δοκῶν λαμβά-
M. νειν οὐκ εἴληφεν, ἀλλὰ ἀπέκρυψε καὶ ἠφάνισε, καὶ 6
διέφθειρε τὸν ἀεὶ χρόνον ἀφ᾽ ἑαυτοῦ. Τίνι οὖν ψυ- P
χῇ ἀποκρύπτειν καὶ ἀφανίζειν κακίαν ἐγένετο, εἰ μὴ ᾗ ὁ θεὸς ἐνεφανίσθη, ἣν καὶ τῶν ἀποῤῥήτων μυστηρίων ἠξίωσε; Φησὶ γάρ, "Μὴ κρύψω ἐγὼ ἀπὸ Ἀβραὰμ τοῦ παιδός μου ἃ ἐγὼ ποιῶ;" *) Εὖ σῶτερ, ὅτι τὰ σεαυτοῦ ἔργα ἐπιδείκνυσαι τῇ ποθούσῃ τὰ καλὰ ψυχῇ, καὶ οὐδὲν αὐτὴν τῶν σῶν ἔργων ἐπικέκρυψαι· τούτου χάριν ἰσχύει φεύγειν κακίαν, καὶ ἐπικρύπτειν καὶ συσκιάζειν, καὶ ἀπολλῦναι ἀεὶ τὸ βλαβερὸν πάθος.

§. 9. Ὃν μὲν οὖν τρόπον φυγάς τέ ἐστιν ὁ φαῦλος καὶ ἀποκρύπτεται θεὸν, δεδηλώκαμεν· νυνὶ δὲ σκεψώμεθα ὅπου ἀποκρύπτεται. "Ἐν μέσῳ," φησὶ, "τοῦ ξύλου τοῦ παραδείσου," **) τουτέστι κατὰ μέσον τὸν νοῦν, ὃς καὶ αὐτὸς μέσος ἐστὶν, ὡσανεὶ παραδείσου, τῆς ὅλης ψυχῆς. Ὁ γὰρ ἀποδιδράσκων θεὸν καταφεύγει εἰς ἑαυτόν. Δυοῖν γὰρ ὄντοιν, τοῦ τε τῶν ὅλων νοῦ, ὅς ἐστι θεὸς, καὶ τοῦ ἰδίου, ὁ μὲν φεύγων ἀπὸ τοῦ καθ᾽ αὑτὸν καταφεύγει ἐπὶ τὸν συμπάντων. Ὁ δὲ νοῦν τὸν ἴδιον ἀπολείπων ὁμολογεῖ μηδὲν εἶναι τὰ κατὰ τὸν ἀνθρώπινον νοῦν, ἅπαντα δὲ προσάπτει θεῷ. Ὁ δὲ πάλιν ἀποδιδράσκων θεὸν, τὸν μὲν οὐδενὸς αἴτιόν φησιν εἶναι, τῶν δὲ γινομένων ἁπάντων ἑαυτόν. Λέγεται γοῦν παρὰ πολλοῖς, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα φέρεται χωρὶς ἡγεμόνος ἀπαυτοματίζοντα, τέχνας δὲ καὶ ἐπιτηδεύματα καὶ νόμους καὶ ἔθη, καὶ πολιτικὰ καὶ ἴδια καὶ κοινὰ δίκαια πρός τε ἀνθρώπους καὶ πρὸς τὰ ἄλογα ζῶα, ἔθετο μόνος ὁ

*) Gen. 18, 17.
**) Gen. 3, 8.

ἀνθρώπινος νοῦς. Ἀλλ᾿ ὁρᾷς, ὦ ψυχή, τῶν δοξῶν τὸ παράλογον. Ἡ μὲν γὰρ τὸν ἐπὶ μέρους, τὸν γεννητὸν καὶ θνητὸν ἀπολιποῦσα, τὸν τῶν ὅλων καὶ ἀγέννητον καὶ ἄφθαρτον ἐπιγράφεται ὄντως· ἡ δὲ πάλιν θεὸν ἀποδοκιμάζουσα, τὸν μηδ᾿ αὐτῷ βοηθῆσαι ἱκανὸν νοῦν σύμμαχον ἐπισπᾶται πλημμελῶς.

§. 10. Τούτου χάριν καὶ Μωϋσῆς φησιν, ὅτι "ἐὰν ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος· ἐὰν δὲ καὶ ὁ ἥλιος ἀνατείλῃ ἐπ᾿ αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθανεῖται." *) Ἐὰν γάρ τις τὸν ἑστῶτα καὶ ὑγιῆ καὶ ὀρθὸν διακόψῃ καὶ διέλῃ λόγον, ὃς θεῷ μόνῳ τὰ πάντα δύνασθαι μαρτυρεῖ, καὶ εὑρεθῇ ἐν τῷ διορύγματι, τουτέστιν ἐν τῷ τετρωμένῳ καὶ διῃρημένῳ, ὃς τὸν ἴδιον νοῦν ἐνεργοῦντα οἶδεν, ἀλλ᾿ οὐ θεὸν, κλέπτης ἐστὶ, τὰ ἀλλότρια ἀφαιρούμενος. Θεοῦ γὰρ τὰ πάντα κτήματα. Ὥςτε ὁ ἑαυτῷ τι προςνέμων, τὰ ἑτέρου νοσφίζεται, καὶ πληγὴν ἔχει παγχάλεπον καὶ δυςίατον, οἴησιν, πρᾶγμα ἀμαθίας καὶ ἀπαιδευσίας συγ- 67
γενές. Τὸν δὲ πλήττοντα παρησύχασεν· οὐ γὰρ P.
94 ἔστιν ἕτερος τοῦ πληττομένου. Ἀλλ᾿ ὥςπερ ὁ τρίβων
M. ἑαυτὸν καὶ τρίβεται, καὶ ὁ ἐκτείνων ἑαυτὸν καὶ ἐκτείνεται, — τήν τε γὰρ τοῦ δρῶντος δύναμιν, καὶ τὸ τοῦ ὑπομένοντος πάθος αὐτὸς ἐκδέχεται, — οὕτως ὁ κλέπτων τὰ θεοῦ καὶ ἑαυτῷ ἐπιγράφων ὑπὸ τῆς αὑτοῦ ἀθεότητός τε καὶ οἰήσεως αἰκίζεται. Εἴθε μέντοι πληχθεὶς ἀποθάνοι, τουτέστιν ἄπρακτος διατελέσειεν· ἧττον γὰρ ἁμαρτάνειν δόξει. Τῆς γὰρ κακίας ἡ μὲν ἐν σχέσει, ἡ δὲ ἐν κινήσει θεωρεῖται. Νεύει δὲ πρὸς τὰς τῶν ἀποτελεσμάτων ἐκπληρώσεις ἡ ἐν τῷ κινεῖσθαι· διὸ καὶ χείρων τῆς κατὰ σχέσιν ἐστίν. Ἐὰν οὖν ἡ διάνοια ἀποθάνῃ ἡ δοξάζουσα αὑτὴν αἰτίαν τῶν γινομένων, ἀλλὰ μὴ θεὸν, τουτέστιν ἠρεμήσῃ καὶ συσταλῇ, οὐκ ἔστιν αὐτῇ φόνος·

*) Exod. 22, 1 sqq.

οὐκ ἀνήρηκε τελέως τὸ ἔμψυχον δόγμα; τῷ θεῷ τὰς ἁπάσας δυνάμεις ἐπιγράφειν. Ἐὰν δὲ ἀνατείλῃ ὁ ἥλιος, τουτέστιν ὁ φαινόμενος λαμπρὸς νοῦς ἐν ἡμῖν, καὶ δόξῃ πάντα διορᾶν καὶ πάντα βραβεύειν, καὶ μηδὲ ἐκφεύγειν ἑαυτὸν, ἔνοχός ἐστιν, ἀνταποθανεῖται τοῦ ἐμψύχου δόγματος ὃ ἀνεῖλε, καθ᾽ ὃ μόνος αἴτιός ἐστιν ὁ θεὸς, εὑρισκόμενος ἄπρακτος καὶ νεκρὸς ὄντως αὐτὸς, ἀψύχου καὶ θνητοῦ καὶ πλημμελοῦς δόγματος εἰσηγητὴς γεγενημένος.

§. **11.** Παρ᾽ ὃ καὶ καταρᾶται ὁ ἱερὸς λόγος "τιθέντι ἐν ἀποκρύφῳ γλυπτὸν ἢ χωνευτὸν, ἔργον χειρῶν τεχνίτου." *) Τί γὰρ τὰς φαύλας δόξας, ὅτι ποιός ἐστιν ὁ θεὸς, ὡς καὶ τὰ γλυπτὰ, ὁ ἄποιος, ὅτι φθαρτὸς, ὡς τὰ χωνευτὰ, ὁ ἄφθαρτος, ταμιεύεις καὶ θησαυρίζεις, ὦ διάνοια, ἐν σαυτῇ, ἀλλ᾽ οὐκ εἰς μέσον προφέρεις, ἵν᾽ ὑπὸ τῶν ἀσκητῶν τῆς ἀληθείας ἃ χρὴ διδαχθῇς; Οἴει μὲν γὰρ τεχνική τις εἶναι, ὅτι κατὰ τῆς ἀληθείας ἀμούσας πιθανότητας μεμελέτηκας· ἄτεχνος δὲ ἀνευρίσκῃ, νόσον χαλεπὴν ψυχῆς, ἀμαθίαν, οὐκ ἐθέλουσα θεραπεύεσθαι.

§. **12.** Ὅτι δὲ ὁ φαῦλος εἰς τὸν σποράδα νοῦν ἑαυτοῦ καταδύεται, φεύγων τὸν ὄντα, μαρτυρεῖ Μωϋσῆς ὁ "πατάξας τὸν Αἰγύπτιον, καὶ κρύψας ἐν τῇ ἄμμῳ," **) ὅπερ ἦν, συλλογισάμενος τὸν προστατεῖν λέγοντα τοῦ σώματος, καὶ μηδὲν τὰ ψυχῆς νομίζοντα, καὶ τέλος ἡγούμενον τὰς ἡδονάς. Κατανοήσας γὰρ τὸν πόνον τοῦ τὸν θεὸν ὁρῶντος, ὃν ἐπιτίθησιν αὐτῷ ὁ βασιλεὺς τῆς Αἰγύπτου, ἡ τῶν παθῶν ἡγεμονὶς κακία, ὁρᾷ τὸν Αἰγύπτιον ἄνθρωπον, τὸ ἀνθρώπειον καὶ ἐπίκαιρον πάθος, τύπτον καὶ αἰκιζόμενον τὸν ὁρῶντα. Περιβλεψάμενος δὲ τὴν ὅλην ψυχὴν ὧδε καὶ ἐκεῖσε, καὶ μηδένα ἰδὼν ἑστῶτα, ὅτι μὴ τὸν ὄντα θεὸν, τὰ δ᾽ ἄλλα κλονούμενα

*) Deut. 27, 15.
**) Exod. 2, 12.

95 καὶ σαλευόμενα, πατάξας καὶ συλλογισάμενος τὴν 68
M. φιλήδονον, κρύπτει ἐν τῷ σποράδι καὶ πεφορημένῳ P.
νῷ, ὃς συμφυΐας καὶ γνώσεως τῆς πρὸς τὸ καλὸν ἐστέρηται. Οὗτος μὲν ἀποκέκρυπται εἰς αὐτόν. Ὁ δὲ ἐναντίος τούτῳ φεύγει μὲν ἀφ᾽ ἑαυτοῦ, καταφεύγει δ᾽ ἐπὶ τὸν τῶν ὄντων θεόν.

§. 13. Διὸ καί φησιν, "Ἐξήγαγεν αὐτὸν ἔξω, καὶ εἶπεν, ἀνάβλεψον εἰς τὸν οὐρανὸν, καὶ ἀρίθμησον τοὺς ἀστέρας," *) οὓς ἐβουλόμεθα μὲν περιλαβεῖν καὶ περιαθρῆσαι, ἄπληστοι τῶν ἀρετῆς ὄντες ἐρώτων, ἀδυνατοῦμεν δὲ πλοῦτον ἀναμετρῆσαι θεοῦ. Ἀλλ᾽ ὅμως χάρις τῷ φιλοδώρῳ, ὅτι οὕτω σπέρματα ἐν ψυχῇ βαλέσθαι φησὶ τηλαυγῆ καὶ λαμπρὰ καὶ δι᾽ ὅλων νεαρὰ, ὡς τοὺς ἀστέρας ἐν οὐρανῷ. Οὐ παρέργως δὲ πρόσκειται τῷ ἐξήγαγεν αὐτὸν, τὸ ἔξω; Τίς γὰρ ἔνδον ἐξάγεται; Ἀλλὰ μήποτε ὃ λέγει τοιοῦτόν ἐστιν· ἐξήγαγεν αὐτὸν εἰς τὸ ἐξωτάτω χωρίον, οὐκ εἴς τι τῶν ἐκτὸς, ὃ δύναται ὑπ᾽ ἄλλων περιέχεσθαι. Ὥσπερ γὰρ ἐν ταῖς οἰκίαις τοῦ θαλάμου ἐκτὸς μέν ἐστιν ὁ ἀνδρὼν, ἐντὸς δὲ ὁ αὐλὼν, καὶ ἡ αὔλειος ἐκτὸς μὲν τῆς αὐλῆς, εἴσω δὲ τοῦ πυλῶνος· οὕτω καὶ ἐπὶ ψυχῆς δύναται τὸ ἐκτός τινος ἐντὸς εἶναι τοῦ ἑτέρου. Οὕτως οὖν ἀκουστέον, τὸν νοῦν εἰς τὸ ἐξώτατον ἐξήγαγε. Τί γὰρ ὄφελος ἦν καταλιπεῖν αὐτὸν τὸ σῶμα, καταφυγεῖν δὲ ἐπ᾽ αἴσθησιν; Τί δὲ αἰσθήσει μὲν ἀποτάξασθαι, λόγῳ δὲ ὑποστεῖλαι τὸ γεγονός; Χρὴ γὰρ τὸν μέλλοντα νοῦν ἐξάγεσθαι καὶ ἐν ἐλευθερίᾳ ἀφίεσθαι, πάντων ὑπεκστῆναι σωματικῶν ἀναγκῶν, αἰσθητικῶν ὀργάνων, καταλόγων σοφιστικῶν, πιθανοτήτων, τὰ τελευταῖα καὶ ἑαυτοῦ.

§. 14. Δι᾽ ὃ καὶ ἐν ἑτέροις αὐχεῖ λέγων, "Κύριος ὁ θεὸς τοῦ οὐρανοῦ, καὶ ὁ θεὸς τῆς γῆς, ὃς

---

*) Gen. 15, 5.

ἔλαβέ με ἐκ τοῦ οἴκου τοῦ πατρός μου." *) Οὐ
γάρ ἐστι κατοικοῦντα ἐν σώματι καὶ τῷ θνητῷ γένει
δυνατὸν θεῷ συγγενέσθαι, ἀλλὰ τὸν ἐκ τοῦ δεσμω-
τηρίου θεὸς διαῤῥύεται. Οὗ ἕνεκα καὶ ἡ τῆς ψυ-
χῆς χαρὰ, Ἰσαὰκ, ὅταν ἀδολεσχῇ καὶ ἰδιάζῃ θεῷ,
ἐξέρχεται, ἀπολείπων ἑαυτὸν καὶ τὸν ἴδιον νοῦν.
"Ἐξῆλθε γὰρ," φησὶν, "Ἰσαὰκ ἀδολεσχῆσαι εἰς τὸ
πεδίον τὸ πρὸς δείλης." **) Καὶ Μωϋσῆς δὲ ὁ
προφητικὸς λόγος φησὶν, "Ὅταν ἐξέλθω τὴν πόλιν,"
τὴν ψυχὴν, — πόλις γάρ ἐστι καὶ αὕτη τοῦ ζώου,
νόμους διδοῦσα καὶ ἔθη, — "ἐκπετάσω τὰς χεῖ-
ρας," ***) καὶ ἀναπετάσω καὶ ἐξαπλώσω πάσας
τὰς πράξεις θεῷ, μάρτυρα καλῶν καὶ ἐπίσκοπον
96 ἑκάστης, οὗ κακία κρύπτεσθαι οὐ πέφυκεν, ἐξαπλοῦ-
M. σθαι δὲ καὶ φανερῶς ὁρᾶσθαι. Ὅταν μέντοι διὰ
πάντων ἡ ψυχὴ καὶ λόγων καὶ ἔργων ἐξαπλωθῇ καὶ
ἐκθειασθῇ, παύονται τῶν αἰσθήσεων αἱ φωναὶ, καὶ 69
πάντες οἱ ὀχληροὶ καὶ δυσώνυμοι ἦχοι. Φωνεῖ γὰρ P.
καὶ καλεῖ τὸ μὲν ὁρατὸν τὴν ὅρασιν ἐφ' ἑαυτὸ, ἡ δὲ
φωνὴ τὴν ἀκοὴν, ὁ δὲ ἀτμὸς τὴν ὄσφρησιν, καὶ
συνόλως τὸ αἰσθητὸν τὴν αἴσθησιν ἐφ' ἑαυτὸ προς-
καλεῖται. Ταῦτα δὲ πάντα παύεται, ὅταν ἐξελθοῦ-
σα τὴν ψυχῆς πόλιν ἡ διάνοια θεῷ τὰς ἑαυτῆς πρά-
ξεις καὶ διανοήσεις ἀνάψῃ.

§. 15. "Καὶ γάρ εἰσιν αἱ χεῖρες Μωϋσεῖ βαρεῖαι." ****) Ἐπειδὴ γὰρ αἱ τοῦ φαύλου πράξεις ἄνεμοί τε καὶ κοῦφοι, γένοιντ' ἂν αἱ τοῦ σοφοῦ βαρεῖαι καὶ ἀκίνητοι, οὐδ' εὐσάλευτοι· παρ' ὃ καὶ "στηρίζονται ὑπό τε Ἀαρὼν," τοῦ λόγου, καὶ "Ὢρ," ὅ ἐστι φῶς. Οὐδὲν τῶν πραγμάτων φῶς ἐναργέστερόν ἐστιν ἀληθείας. Βούλεται οὖν διὰ συμβόλων σοὶ

*) Gen. 24, 7.
**) Gen. 24, 62.
***) Exod. 9, 29.
****) Exod. 17, 12.

παραστῆσαι, ὅτι αἱ τοῦ σοφοῦ πράξεις στηρίζονται ὑπὸ τῶν ἀναγκαιοτάτων, λόγου τε καὶ ἀληθείας. Διὸ καὶ Ἀαρὼν ὅταν τελευτᾷ, τουτέστιν ὅταν τελειωθῇ, εἰς Ὢρ, ὅ ἐστι φῶς, ἀνέρχεται. *) Τὸ γὰρ τέλος τοῦ λόγου ἀλήθειά ἐστιν ἡ φωτὸς τηλαυγεστέρα, εἰς ἣν σπουδάζει ὁ λόγος ἐλθεῖν. Οὐχ ὁρᾷς, ὅτι καὶ τὴν παρὰ τοῦ θεοῦ σκηνὴν **) λαβὼν, τουτέστι σοφίαν, ἐν ᾗ κατασκηνοῖ καὶ ἐνοικεῖ ὁ σοφὸς, ἔπηξε καὶ ἐβεβαιώσατο καὶ κραταιῶς ἱδρύσατο, οὐκ ἐν τῷ σώματι, ἀλλ᾽ ἔξω τούτου; Παρεμβολῇ γὰρ αὐτὸ ἀπεικάζει, στρατοπέδῳ πολέμων καὶ κακῶν ὅσα πόλεμος ἐργάζεται πλήρει, μετουσίαν εἰρήνης οὐκ ἔχοντι. "Καὶ ἐκλήθη ἡ σκηνὴ μαρτυρίου," σοφία μαρτυρουμένη ὑπὸ θεοῦ. Καὶ γὰρ "πᾶς ὁ ζητῶν κύριον ἐξεπορεύετο," παγκάλως. Εἰ γὰρ ζητεῖς θεὸν, ὦ διάνοια, ἐξελθοῦσα ἀπὸ σαυτῆς ἀναζήτει· μένουσα δὲ ἐν τοῖς σωματικοῖς ὄγκοις ἢ ταῖς κατὰ νοῦν οἰήσεσιν, ἀζητήτως ἔχεις τῶν θείων, καὶ ἂν ἐπιμορφάζῃς ὅτι ζητῇς. Εἰ δὲ ζητοῦσα εὑρήσεις θεὸν, ἄδηλον· πολλοῖς γὰρ οὐκ ἐγνώρισεν ἑαυτὸν, ἀλλ᾽ ἀτελῆ σπουδὴν ἄχρι παντὸς ἔσχον. Ἐξαρκεῖ μέντοι πρὸς μετουσίαν ἀγαθῶν καὶ ψιλὸν τὸ ζητεῖν μόνον· ἀεὶ γὰρ αἱ ἐπὶ τὰ καλὰ ὁρμαὶ, καὶ ἂν τέλους ἀτυχῶσι, τοὺς χρωμένους προευφραίνουσιν. Οὕτως ὁ μὲν φαῦλος ἀρετήν γε φεύγων, καὶ θεὸν ἀποκρυπτόμενος, ἐπ᾽ ἀσθενῆ βοηθὸν καταφεύγει τὸν ἴδιον νοῦν· ὁ δὲ σπουδαῖος ἔμπαλιν ἑαυτὸν ἀποδιδράσκων ἀναστρέ-
97 φει πρὸς τὴν τοῦ ἑνὸς ἐπίγνωσιν, καλὸν δρόμον καὶ
I πάντων ἄριστον ἀγώνισμα τοῦτο νικῶν.

§. 16. "Καὶ ἐκάλεσε κύριος ὁ θεὸς τὸν Ἀδὰμ, καὶ εἶπεν αὐτῷ, ποῦ εἶ;" ***) Διὰ τί μόνος καλεῖται ὁ Ἀδὰμ, συγκεκρυμμένης αὐτῷ καὶ τῆς γυναικός;

---

*) Num. 20, 25.

**) Exod. 33, 7.

***) Gen. 3, 9 sqq.

Λεκτέον οὖν πρῶτον ὅτι καλεῖται ὁ νοῦς ὅπου ἦν. Ὅταν ἔλεγχον λαμβάνῃ καὶ ἐπίσπασιν τῆς τροπῆς, 7(
οὐ μόνον αὐτὸς καλεῖται, ἀλλὰ καὶ αἱ δυνάμεις αὐ- P
τοῦ πᾶσαι· ἄνευ γὰρ τῶν δυνάμεων ὁ νοῦς καθ᾽ ἑαυτὸν γυμνὸς καὶ οὐδὲ ὢν εὑρίσκεται. Μία δὲ τῶν δυνάμεων καὶ ἡ αἴσθησις, ἥτις ἐστὶ γυνή. Συγκέκληται οὖν τῷ Ἀδὰμ, τῷ νοῒ, καὶ ἡ γυνὴ, αἴσθησις· ἰδίᾳ δ᾽ αὐτὴν οὐ καλεῖ. Διὰ τί; Ὅτι ἄλογος οὖσα ἔλεγχον ἐξ ἑαυτῆς λαμβάνειν οὐ δύναται. Οὔτε γὰρ ἡ ὅρασις οὔθ᾽ ἡ ἀκοὴ οὔτε τις τῶν ἄλλων αἰσθήσεων διδακτὴ, ὥςτε οὐ δύναται κατάληψιν πραγμάτων ποιήσασθαι· μόνων γὰρ σωμάτων διακριτικὴν εἰργάσατο αὐτὴν ὁ ἐργασάμενος. Ὁ δὲ νοῦς ὁ διδασκόμενός ἐστιν, οὗ χάριν αὐτὸν ἀλλ᾽ οὐ τὴν αἴσθησιν προκέκληται.

§. 17. Τὸ δὲ "ποῦ εἶ" πολλαχῶς ἐστιν ἀποδοῦναι· ἅπαξ μὲν, οὐ τὸ πευστικὸν, ἀλλὰ τὸ ἀποφαντὸν, τὸ ἴσον τῷ "ἐν τόπῳ ὑπάρχεις" βαρυτονουμένου τοῦ που εἶ. Ἐπειδὴ γὰρ ᾠήθης τὸν θεὸν ἐν τῷ παραδείσῳ περιπατεῖν, καὶ ὑπὸ τούτου περιέχεσθαι, μάθε ὅτι τοῦτο εὖ πέπονθας, καὶ ἄκουσον παρὰ τοῦ ἐπισταμένου θεοῦ ῥῆσιν ἀληθεστάτην, ὅτι ὁ μὲν θεὸς οὐχί που. Οὐ γὰρ περιέχεται, ἀλλὰ περιέχει τὸ πᾶν. Τὸ δὲ γενόμενον ἐν τόπῳ· περιέχεσθαι γὰρ αὐτὸ, ἀλλ᾽ οὐ περιέχειν ἀναγκαῖον. Δεύτερον δὲ, τὸ λεγόμενον ἴσον ἐστὶ τούτῳ, ποῦ γέγονας, ὦ ψυχή; Ἀνθ᾽ οἵων ἀγαθῶν οἷα ᾕρησαι κακά; Καλέσαντός σε τοῦ θεοῦ πρὸς μετουσίαν ἀρετῆς, κακίαν μετέρχῃ; Καὶ τὸ τῆς ζωῆς ξύλον, τουτέστι σοφίας, ᾗ δυνήσῃ ζῆν παρασχόντος εἰς ἀπόλαυσιν, ἀμαθίας καὶ φθορᾶς ἐνεφορήθης, κακοδαιμονίαν τὸν ψυχῆς θάνατον, εὐδαιμονίας τῆς ἀληθινῆς ζωῆς προκρίνασα. Τρίτον ἐστὶ τὸ πευστικὸν, πρὸς ὃ δύο γένοιντ᾽ ἂν ἀποκρίσεις. Μία μὲν, πυνθανομένῳ "ποῦ εἶ" ἢ "οὐδαμῶς." Τόπον γὰρ οὐδένα ἔχει ἡ τοῦ φαύλου ψυχὴ, ᾧ ἐπιβήσεται, ἢ ἐφ᾽ οὗ

ἱδρυνθήσεται. Παρ᾽ ὃ καὶ ἄτοπος λέγεται εἶναι ὁ φαῦλος· ἄτοπον δέ ἐστι κακὸν δύςθετον· Τοιοῦτος δὲ ὁ μὴ ἀστεῖος, σαλεύων καὶ κλονούμενος ἀεὶ, καὶ πνεύματος τρόπον ἀστάτου διαφερόμενος, βεβαίου
98 τὸ παράπαν οὐδεμιᾶς γνώμης ἑταῖρος ὤν. Ἑτέρα
M. δὲ γένοιτ᾽ ἂν ἀπόκρισις τοιάδε, ᾗ κέχρηται καὶ ὁ Ἀδὰμ, ποῦ εἰμι ἄκουε, ὅπου οἱ τὸν θεὸν ἰδεῖν ἀδυνατοῦντες, ὅπου οἱ θεοῦ οὐκ ἀκούοντες, ὅπου οἱ τὸ αἴτιον ἐπικρυπτόμενοι, ὅπου οἱ φεύγοντες ἀρετὴν, ὅπου οἱ γυμνοὶ σοφίας, ὅπου οἱ φοβούμενοι καὶ τρέμοντες ὑπ᾽ ἀνανδρίας καὶ δειλίας ψυχικῆς. Ὅταν γὰρ λέγῃ, "Τῆς φωνῆς σου ἤκουσα ἐν τῷ παραδείσῳ καὶ ἐφοβήθην ὅτι γυμνός εἰμι, καὶ ἐκρύβην," πάντα 71
τὰ εἰρημένα παρίστησιν, ὡς καὶ ἐν τοῖς προτέροις P.
διὰ μακροτέρων λόγων ἀπεδείξαμεν.

§. 18. Καίτοι γυμνὸς οὐκ ἔστι νῦν ὁ Ἀδὰμ, "ἐποίησαν ἑαυτοῖς περιζώματα," ὀλίγῳ πρότερον εἴρηται· ἀλλὰ καὶ διὰ τούτου βούλεταί σε διδάξαι, ὅτι γυμνότητα οὐ τὴν τοῦ σώματος παραλαμβάνει, ἀλλὰ καθ᾽ ἣν ὁ νοῦς ἄμοιρος καὶ γυμνὸς ἀρετῆς ἀνευρίσκεται. "Ἡ γυνὴ," φησὶν, "ἣν ἔδωκας μετ᾽ ἐμοῦ, αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου, καὶ ἔφαγον." Εὖ τὸ μὴ φάναι, ἡ γυνὴ ἣν ἔδωκας ἐμοὶ, ἀλλὰ μετ᾽ ἐμοῦ. Οὐ γὰρ ἐμοὶ ὡς κτῆμα τὴν αἴσθησιν ἔδωκας, ἀλλὰ καὶ αὐτὴν ἀφῆκας ἄνετον καὶ ἐλευθέραν, κατά τινα τρόπον οὐχ ὑπείκουσαν τοῖς τῆς ἐμῆς διανοίας ἐπιτάγμασιν. Ἐὰν γοῦν βουληθῇ ὁ νοῦς προστάξαι τῇ ὁράσει μὴ ἰδεῖν, οὐδὲν ἧττον αὕτη τὸ ὑποκείμενον ὄψεται. Καὶ ἡ ἀκοὴ μέντοι προςπεσούσης φωνῆς ἀντιλήψεται πάντως, καὶ ἂν ὁ νοῦς φιλονεικῶν διακελεύηται αὐτῇ μὴ ἀκούειν. Καὶ μὴν ἥ γε ὄσφρησις ἀτμῶν χορησάντων εἰς αὐτὴν ὀσφρήσεται, καὶ ἂν ὁ νοῦς ἀπαγορεύῃ μὴ ἀντιλαβέσθαι. Διὰ τοῦτο ὁ θεὸς οὐκ ἔδωκεν αἴσθησιν τῷ ζώῳ, ἀλλὰ μετὰ τοῦ ζώου· τὸ δὲ τοῦτ᾽ ἔστιν, ἅπαντα αἴσθησις μετὰ τοῦ ἡμετέρου νοῦ γνωρίζει, καὶ

ἅμα αὐτῷ. Οἷον ἡ ὅρασις ἅμα τῷ νῷ ἐπιβάλλει τῷ ὁρατῷ· εἶδέ τε γὰρ ὁ ὀφθαλμὸς τὸ σῶμα, καὶ εὐθὺς ὁ νοῦς ἀντελάβετο τὸ ὁραθὲν, ὅτι μέλαν ἢ λευκὸν, ἢ ὠχρὸν ἢ φοινικοῦν, ἢ τρίγωνον ἢ τετράγωνον ἢ στρογγύλον, ἢ τὰ ἄλλα χρώματά τε καὶ σχήματα. Καὶ πάλιν ἡ ἀκοὴ ἐπλήχθη ὑπὸ τῆς φωνῆς, καὶ μετ᾽ αὐτῆς ὁ νοῦς. Τεκμήριον δὲ, ἔκρινεν εὐθὺς τὴν φωνὴν, ὅτι λεπτὴ ἢ μέγεθος ἔχουσα, ἢ ἐμμελὴς καὶ ἔῤῥυθμος, καὶ πάλιν εἰ ἐκμελής τε καὶ οὐκ ἐναρμόνιος· καὶ ταὐτὸν ἐπὶ τῶν ἄλλων αἰσθήσεων εὑρίσκεται. Πάνυ δὲ καλῶς καὶ τὸ προσθεῖναι τὸ, "Αὕτη μοι ἔδωκεν ἀπὸ τοῦ ξύλου." Τὸν δὲ ξύλινον καὶ αἰσθητὸν οἶκον τῷ νῷ οὐδεὶς δίδωσιν, ὅτι μὴ αἴσθησις. Τίς γὰρ ἔδωκε τῇ διανοίᾳ γνωρίσαι τὸ σῶμα, ἢ τὸ λευκόν; Οὐχ ἡ ὄψις; Τίς δὲ τὴν φωνήν; Οὐχ ἡ ἀκοή; Τίς δὲ τὸν ἀτμόν; Οὐχ ἡ ὄσφρησις; Τίς δὲ τὸν χυλόν; Οὐχ ἡ γεῦσις;
99 Τίς δὲ τραχὺ καὶ μαλακόν; Οὐχ ἡ ἁφή; Ὀρθῶς
M. οὖν καὶ πάνυ ἀληθῶς εἴρηται ὑπὸ τοῦ νοῦ, ὅτι τὰς τῶν σωμάτων ἀντιλήψεις δίδωσί μοι μόνη ἡ αἴσθησις.

§. 19. "Καὶ εἶπεν ὁ θεὸς τῇ γυναικὶ, τί τοῦτο ἐποίησας; Καὶ εἶπεν, ὁ ὄφις ἠπάτησέ με, καὶ ἔφαγον." Ἄλλο μὲν πυνθάνεται τῆς αἰσθήσεως ὁ θεὸς, ἄλλο δὲ καὶ αὐτὴ ἀποκρίνεται. Πυνθάνεται μὲν γάρ τι περὶ τοῦ ἀνδρός. Ἡ δὲ οὐ περὶ τούτου φησὶν, ἀλλά τι περὶ ἑαυτῆς, λέγουσα ὅτι ἔφαγον, οὐχ ὅτι ἔδωκα. Μή ποτ᾽ οὖν ἀλληγοροῦντες λύσωμεν τὸ ἀπορηθὲν, καὶ δείξωμεν τὴν γυναῖκα εὐθυβόλως πρὸς τὸ πύσμα ἀποκρινομένην; Ἀνάγκη γάρ ἐστιν αὐτῆς φαγούσης καὶ τὸν ἄνδρα φαγεῖν. Ὅταν γὰρ ἡ αἴσθησις ἐπιβάλλουσα τῷ αἰσθητῷ πληρωθῇ τῆς αὐτοῦ φαντασίας, εὐθὺς καὶ ὁ νοῦς συμβέβληκε καὶ ἀντελάβετο, καὶ τρόπον τινὰ τροφῆς τῆς ἀπ᾽ ἐκείνου πεπλήρωται. Τοῦτ᾽ οὖν φησιν, ἄκουσα δέδωκα τῷ ἀνδρί· προσβαλούσης γάρ μου τῷ ὑποκει-

μένῳ, ὀξυκίνητος ὢν αὐτὸς ἐφαντασιώθη καὶ ἐτυπώθη.

§. 20. Παρατήρει δὲ, ὅτι ὁ μὲν ἀνὴρ λέγει τὴν γυναῖκα δεδωκέναι, ἡ δὲ γυνὴ οὐχὶ τὸν ὄφιν δεδωκέναι, ἀλλὰ ἠπατηκέναι. Ἴδιον γὰρ αἰσθήσεως μὲν τὸ διδόναι, ἡδονῆς δὲ τῆς ποικίλης καὶ ὀφιώδους τὸ ἀπατᾶν καὶ παρακρούεσθαι. Οἷον τὸ λευκὸν τῇ φύσει καὶ τὸ μέλαν καὶ τὸ θερμὸν καὶ τὸ ψυχρὸν δίδωσιν ἡ αἴσθησις τῷ νῷ, οὐχὶ ἀπατῶσα, ἀλλὰ πρὸς ἀλήθειαν. Τοιαῦτα γάρ ἐστι τὰ ὑποκείμενα, οἵα καὶ ἡ ἀπ᾽ αὐτῶν προσπίπτουσα φαντασία, κατὰ τοὺς πλείστους τῶν μὴ φυσικώτερον φυσιολογούντων. Ἡ δὲ ἡδονὴ, οὐχ οἷόν ἐστι τὸ ὑποκείμενον, τοιοῦτον αὐτὸ γνωρίζει τῇ διανοίᾳ, ἀλλ᾽ ἐπιψεύδεται, τέχνῃ τὸ ἀλυσιτελὲς εἰς συμφέροντος τάξιν ἐμβιβάζουσα. Ὥςπερ καὶ τῶν ἑταιρῶν τὰς εἰδεχθεῖς ἰδεῖν ἐστι φαρματτούσας καὶ ὑπογραφομένας τὴν ὄψιν, ἵνα τὸ περὶ αὐτὰς αἶσχος ἐπικρύψωσι, καὶ τὸν ἀκρατῆ ἐπὶ τῆς γαστρὸς νενευκότα ἡδονήν. Οὗτος τὸν πολὺν ἄκρατον καὶ τῶν σιτίων τὴν παρασκευὴν ἀποδέχεται ὡς ἀγαθὸν, βλαπτόμενος καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν ἀπ᾽ αὐτῶν. Πάλιν τοὺς ἐρῶντας ἰδεῖν ἐστι πολλάκις ἐπὶ γυναικῶν αἰσχίστων ὀφθῆναι ἐπιμεμηνότας· τῆς ἡδονῆς ἀπατώσης καὶ μονονουχὶ διεξιούσης, ὅτι εὐμορφία καὶ εὔχροια καὶ εὐσαρκία, καὶ τῶν μερῶν ἀναλογία περὶ τὰς πάντα τὰ ἐναντία τούτοις ἐχούσας ἐστί. Τὰς γοῦν πρὸς ἀλήθειαν ἀμέμπτῳ κεχρημένας κάλλει παρορῶσιν, ἐκείνων δὲ ὧν εἶπον κατατήκονται· Πᾶσα οὖν ἀπάτη οἰκειοτάτη ἡδονῇ, δόσις δὲ αἰσθήσει. Ἡ μὲν γὰρ σοφίζεται καὶ παράγει τὸν νοῦν, οὐχ ὁποῖα τὰ ὑποκείμενά ἐστι δηλοῦσα, ἀλλ᾽ ὁποῖα οὐκ ἔστιν· ἡ δὲ αἴσθησις ἀκραιφνῶς δίδωσι τὰ σώματα οὕτως, ὡς ἔχει φύσεως ἐκεῖνα, πλάσματος καὶ τέχνης ἐκτός.

§. 21. „Καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ὅτι ἐποίησας τοῦτο, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν

κτηνῶν, καὶ ἀπὸ πάντων τῶν θηρίων τῆς γῆς. Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ, καὶ γῆν φάγεσαι πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικὸς, καὶ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς. Αὐτός σου τηρήσει τὴν κεφαλὴν, καὶ σὺ τηρήσεις αὐτοῦ πτέρναν." *) Διὰ τίνα αἰτίαν χωρὶς ἀπολογίας καταρᾶται τῷ ὄφει, κελεύων ἐν ἑτέροις, "ἀκουσθῆναι τοὺς δύο οἷς ἐστιν ἡ ἀντιλογία," **) καὶ μὴ τῷ ἑτέρῳ προπιστεύειν; Καὶ μὴν ὁρᾷς ὅτι τῷ Ἀδὰμ οὐ προπεπίστευκε κατὰ τῆς γυναικὸς, ἀλλὰ δίδωσιν αὐτῇ ἀπολογίας ἀφορμὴν, ὅταν πυνθάνηται, "Τί τοῦτο ἐποίησας;" ***) Ἡ δέ γε ὁμολογεῖ πταῖσαι παρὰ τὴν τῆς ὀφιώδους καὶ ποικίλης ἡδονῆς ἀπάτην. Τί οὖν ἐκώλυε καὶ τῆς γυναικὸς εἰπούσης, ὅτι ὁ ὄφις ἠπάτησέ με, πυθέσθαι τοῦ ὄφεως εἰ οὕτως οὗτος ἠπάτησεν, ἀλλὰ μὴ ἀκρίτως χωρὶς ἀπολογίας καταρᾶσθαι; Λεκτέον οὖν, ὅτι ἡ αἴσθησις οὔτε τῶν φαύλων οὔτε τῶν σπουδαίων ἐστὶν, ἀλλὰ μέσον τι αὕτη καὶ κοινὸν σοφοῦ τε καὶ ἄφρονος. Καὶ γενομένη μὲν ἐν ἄφρονι, γίνεται φαύλη, ἐν ἀστείῳ δὲ, σπουδαία. Εἰκότως οὖν, ἐπειδὴ φύσιν ἐξ ἑαυτῆς μοχθηρὰν οὐκ ἔχει, ἀλλ' ἐπαμφοτερίζουσα νεύει πρὸς ἑκάτερα τό τε εὖ καὶ χεῖρον, οὐ καταδικάζεται πρὶν ὁμολογῆσαι ὅτι ἠκολούθησε τῷ χείρονι. Ὁ δὲ ὄφις, ἡ ἡδονὴ, ἐξ ἑαυτῆς ἐστι μοχθηρά. Διὰ τοῦτο ἐν μὲν σπουδαίῳ οὐχ εὑρίσκεται τὸ παράπαν, μόνος δὲ αὐτῆς ὁ φαῦλος ἀπολαύει. Κατὰ τὸ οἰκεῖον οὖν μὴ διδούσῃ ἀπολογίαν αὐτῇ καταρᾶται ὁ θεὸς, σπέρμα ἀρετῆς οὐκ ἐχούσῃ, ἀλλὰ ἀεὶ καὶ πανταχοῦ ἐπιλήπτῳ καὶ μιαρᾷ καθεστώσῃ.

*) Gen. 3, 14.
**) Deut. 19, 17.
***) Gen. 3, 13.

§. 22. *Διὰ τοῦτο καὶ τὸν Ἢρ χωρὶς αἰτίας
περιφανοῦς "πονηρὸν οἶδεν ὁ θεὸς"* *) *καὶ ἀποκτεί-
νει. Τὸν γὰρ δερμάτινον ὄγκον ἡμῶν, τὸ σῶμα, —
Ἢρ γὰρ δερμάτινος ἑρμηνεύεται, — πονηρόν τε καὶ
ἐπίβουλον τῆς ψυχῆς οὐκ ἀγνοεῖ, καὶ νεκρὸν καὶ τε-
θνηκὸς ἀεί. Μὴ γὰρ ἄλλο τι ποιήσειε ἕκαστον ἡ-*
101 *μῶν ποιεῖν, ἢ νεκροφορεῖν, τὸ νεκρὸν ἐξ ἑαυτοῦ*
M. *σῶμα ἐγειρούσης καὶ ἀμοχθὶ φερούσης τῆς ψυχῆς;
Καὶ τὴν εὐτονίαν αὐτῆς, εἰ βούλει, κατανόησον. Ὁ
μὲν ἐῤῥωμενέστατος ἀθλητὴς οὐκ ἂν ἴσχυσε τὸν
ἑαυτοῦ πρὸς βραχὺν χρόνον ἀνδριάντα κομίσαι, ἡ
δὲ ψυχὴ μέχρις ἑκατονταετίας ἔστιν ὅτε τὸν τοῦ ἀν-
θρώπου φέρει κούφως ἀνδριάντα, μὴ κάμνουσα.
Οὐ γὰρ νῦν αὐτὸν ἀπέκτεινεν, ἀλλ' ἐξ ἀρχῆς νεκρὸν
τὸ σῶμα ἀπειργάσατο. Πονηρὸν δὲ φύσει μέν, ὡς
εἶπον, ἐστὶ καὶ ψυχῆς ἐπίβουλον, οὐ φαίνεται δὲ
πᾶσιν, ἀλλὰ μόνῳ τῷ θεῷ, καὶ εἴ τις θεῷ φίλος.
"Ἐναντίον γάρ," φησί, "κυρίου πονηρὸς Ἤρ." Ὅ-* 74
*ταν γὰρ ὁ νοῦς μετεωροπολῇ καὶ τὰ τοῦ κυρίου* P.
*μυστήρια μυῆται, πονηρὸν καὶ δυσμενὲς κρίνει τὸ
σῶμα· ὅταν δὲ ἀποστῇ τῆς τῶν θείων ἐρεύνης, φί-
λον αὐτῷ καὶ συγγενὲς καὶ ἀδελφὸν ἡγεῖται. Κατα-
φεύγει γοῦν ἐπὶ τὰ φίλα τούτῳ. Διὰ τοῦτο ἀθλη-
τοῦ ψυχὴ καὶ φιλοσόφου διαφέρει. Ὁ μὲν γὰρ
ἀθλητὴς πάντα ἐπὶ τὴν τοῦ σώματος εὐεξίαν ἀνα-
φέρει, καὶ τὴν ψυχὴν αὐτὴν πρόειτ' ἂν ὑπὲρ αὐτοῦ,
ἅτε φιλοσώματος ὑπάρχων. Ὁ δὲ φιλόσοφος, ἐρα-
στὴς ὢν τοῦ καλοῦ, τοῦ ζῶντος ἐν ἑαυτῷ κήδεται,
ψυχῆς, τοῦ δὲ νεκροῦ ὄντος σώματος ἀλογεῖ, μόνον
στοχαζόμενος, ἵνα μὴ ὑπὸ κακοῦ καὶ νεκροῦ συνδέ-
του πλημμελῆται τὸ ἄριστον, ἡ ψυχή.*

§. 23. *Ὁρᾷς ὅτι τὸν Ἢρ ἀποκτείνει οὐχ ὁ κύ-
ριος, ἀλλ' ὁ θεός; Οὐ γάρ, καθ' ὃ ἄρχει καὶ ἡγε-
μονεύει δυναστείᾳ κράτους αὐτεξουσίᾳ χρώμενος,*

---

*) Gen. 38, 7.

ἀναιρεῖ τὸ σῶμα, ἀλλὰ καθ᾽ ὃ ἀγαθότητι καὶ χρη-
στότητι χρῆται. Ὁ θεὸς γὰρ ἀγαθότητός ἐστι τοῦ
αἰτίου ὄνομα, ἵνα εἰδῇς ὅτι καὶ τὰ ἄψυχα οὐκ
ἐξουσίᾳ πεποίηκεν, ἀλλ᾽ ἀγαθότητι, ᾗ καὶ τὰ ἔμψυ-
χα. Ἔδει γὰρ εἰς τὴν τῶν βελτιόνων δήλωσιν, γένε-
σιν ὑποστῆναι καὶ τῶν χειρόνων, ὑπὸ δυνάμεως τῆς
αὐτῆς ἀγαθότητος τοῦ αἰτίου, ἥτις ἐστὶν ὁ θεός.
Πότε οὖν, ὦ ψυχὴ, μάλιστα νεκροφορεῖν σαυτὴν
ὑπολήψῃ; Ἀρά γε οὐχ ὅταν τελειωθῇς καὶ βραβείων
καὶ στεφάνων ἀξιωθῇς; Ἔσῃ γὰρ τότε φιλόθεος, οὐ
φιλοσώματος. Τεύξῃ δὲ τῶν ἄθλων, ἐὰν γυνή σου
γένηται ἡ τοῦ Ἰούδα νύμφη Θάμαρ, ἥτις ἑρμηνεύε-
ται φοῖνιξ, σύμβολον νίκης. Τεκμήριον δὲ, ὅταν
αὐτὴν ἀγάγηται ὁ Εἲρ, εὐθὺς πονηρός τε εὑρίσκεται,
καὶ κτείνεται. Λέγει γὰρ, „Καὶ ἔλαβεν Ἰούδας γυ-
ναῖκα Εἲρ, τῷ πρωτοτόκῳ αὐτοῦ, ᾗ ὄνομα Θάμαρ,"
καὶ εὐθὺς λέγει, „Καὶ ἐγένετο Εἲρ πονηρὸς ἔναντι
κυρίου, καὶ ἀπέκτεινεν αὐτὸν ὁ θεός." Ὅταν γὰρ
ὁ νοῦς τὰ ἀρετῆς ἀπενέγκηται νικητήρια, θάνατον
καταψηφίσεται τοῦ νεκροῦ σώματος. Ὁρᾷς ὅτι καὶ
τὸν ὄφιν ἄνευ ἀπολογίας καταρᾶται, ἡδονὴ γάρ ἐστι,
102 καὶ τὸν Εἲρ χωρὶς αἰτίας περιφανοῦς ἀποκτείνει,
M. ἔστι γὰρ σῶμα. Καὶ σκοπῶν, ὦ γενναῖε, εὑρήσεις
τὸν θεὸν πεποιηκότα φύσεις ἐξ ἑαυτῶν ἐπιλήπτους
τε καὶ ὑπαιτίους ἐν ψυχῇ, καὶ ἐν πᾶσι σπουδαίας
καὶ ἐπαινετὰς, ὥσπερ ἔχει καὶ ἐπὶ φυτῶν καὶ ζώων.
Οὐχ ὁρᾷς, ὅτι καὶ τῶν φυτῶν τὰ μὲν ἥμερα καὶ
ὠφέλιμα καὶ σωτήρια κατεσκεύακεν ὁ δημιουργὸς, τὰ
δὲ ἄγρια καὶ βλαβερὰ καὶ νόσων καὶ φθορᾶς αἴτια,
καὶ ζῶα ὁμοίως; Καθάπερ ἀμέλει καὶ τὸν ὄφιν περὶ
οὗ νῦν ἐστιν ὁ λόγος· φθοροποιὸν γὰρ τὸ ζῶον καὶ
ἀναιρετικὸν ἐξ αὐτοῦ. Ὁ δὲ διατίθησιν ἄνθρωπον
ὄφις, τοῦτο καὶ ψυχὴν ἡδονή. Παρ᾽ ὃ καὶ ἀπεικά-
σθη ὄφις ἡδονῇ.

§. 24. Ὥσπερ οὖν ἡδονὴν καὶ σῶμα ἄνευ με- 75
μίσηκεν αἰτιῶν ὁ θεὸς, οὕτω καὶ φύσεις ἀστείας P.

χωρὶς περιφανοῦς αἰτίας προαγήοχεν, ἔργον οὐδὲν
πρὸ τῶν ἐπαίνων αὐτῶν ὁμολογήσας. Εἰ γάρ τις
ἔροιτο, διὰ τί φησι "τὸν Νῶε χάριν εὑρεῖν ἐναντίον
κυρίου τοῦ θεοῦ," *) μηδὲν πρότερον ἐργασάμε-
νον, ὅσα γε εἰς τὴν ἡμετέραν ἐπίγνωσιν, ἀστεῖον,
ἀποκρινούμεθα δεόντως, ὅτι ἐπαινετῆς ἐλέγχεται συ-
στάσεως καὶ γενέσεως. Ἑρμηνεύεται γὰρ Νῶε ἀνά-
παυσις ἢ δίκαιος. Ἀνάγκη δὲ τὸν παυόμενον ἀδι-
κημάτων καὶ ἁμαρτημάτων, ἀναπαυόμενον ἐπὶ τῷ
καλῷ καὶ δικαιοσύνῃ συζῶντα, χάριν εὑρεῖν παρὰ
θεῷ. Τὸ δὲ χάριν εὑρεῖν οὐκ ἔστι μόνον, ὡς ὀνο-
μάζουσί τινες, ἴσον τῷ εὐαρεστῆσαι, ἀλλὰ καὶ τοι-
οῦτον. Ζητῶν ὁ δίκαιος τὴν τῶν ὄντων φύσιν ἓν
τοῦτο εὑρίσκει ἄριστον εὕρεμα, χάριν ὄντα τοῦ θεοῦ
τὰ σύμπαντα. Γενέσεως δὲ οὐδὲν χάρισμα, ὅτι γε
οὐδὲ κτῆμα· διὸ καὶ μόνου τὴν χάριν οἰκεῖον. Τοῖς
γοῦν ζητοῦσι, τίς ἀρχὴ γενέσεως, ὀρθότατα ἄν τις
ἀποκρίναιτο ὅτι ἀγαθότης καὶ χάρις τοῦ θεοῦ, ἣν
ἐχαρίσατο τῷ μετ' αὐτὸν γένει· δωρεὰ γὰρ καὶ εὐερ-
γεσία καὶ χάρισμα θεοῦ τὰ πάντα ὅσα ἐν κόσμῳ
καὶ αὐτὸς ὁ κόσμος ἐστί.

§. 25. Καὶ Μελχισεδὲκ βασιλέα τε τῆς εἰρήνης,
Σαλὴμ, τοῦτο γὰρ ἑρμηνεύεται, "ἱερέα ἑαυτοῦ πε-
103 ποίηκεν ὁ θεὸς," **) οὐδὲν ἔργον αὐτοῦ προδια-
M. τυπώσας, ἀλλὰ τοιοῦτον ἐργασάμενος βασιλέα καὶ
εἰρηναῖον, καὶ ἱερωσύνης ἄξιον τῆς ἑαυτοῦ πρῶτον.
Καλεῖται γὰρ βασιλεὺς δίκαιος, βασιλεὺς δὲ ἐχθρὸν
τυράννῳ, ὅτι ὁ μὲν νόμων, ὁ δὲ ἀνομίας ἐστὶν εἰς-
ηγητής. Ὁ μὲν οὖν τύραννος νοῦς ἐπιτάγματα ἐπι-
τάττει τῇ τε ψυχῇ καὶ τῷ σώματι βίαια καὶ βλα-
βερὰ, καὶ σφοδρὰς λύπας ἐργαζόμενα, τὰς κατὰ
κακίαν πράξεις, καὶ τὰς τῶν παθῶν ἀπολαύσεις. Ὁ
δὲ δεύτερος, βασιλεὺς, πρῶτον μὲν οὖν οὐκ ἐπιτάτ-

*) Gen. 6, 8.

**) Gen. 14, 18.

τει μᾶλλον ἢ πείθει, ἐπεὶ τὰ τοιαῦτα παραγγέλλει, δι᾽ ὧν ὥσπερ σκάφος τὸ ζῶον εὐπλοίᾳ τῇ τοῦ βίου χρήσεται, κυβερνώμενον ὑπὸ τοῦ ἀγαθοῦ καὶ τεχνίτου καὶ κυβερνήτου, οὗτος δέ ἐστιν ὁ ὀρθὸς λόγος. Καλείσθω οὖν ὁ μὲν τύραννος ἄρχων πολέμου, ὁ δὲ βασιλεὺς ἡγεμὼν εἰρήνης, Σαλήμ. Καὶ προσφερέτω τῇ ψυχῇ τροφὰς εὐφροσύνης καὶ χαρᾶς πλήρεις. "Ἄρτους γὰρ καὶ οἶνον προσφέρει," ἅπερ Ἀμμανῖται καὶ Μωαβῖται τῷ βλέποντι παρασχεῖν οὐκ ἠθέλησαν· οὗ χάριν "ἐκκλησίας εἴργονται καὶ συλλόγου θείου." *) Ἀμμανῖται γὰρ οἱ ἐκ τῆς μητρὸς αἰσθήσεως, καὶ Μωαβῖται οἱ ἐκ τοῦ πατρὸς νοῦ φύντες, τρόποι δύο, ταῦτα τῶν ὄντων συνεκτικὰ νομί-76
ζοντες, νοῦν καὶ αἴσθησιν, θεοῦ δὲ μὴ λαμβάνον-P.
τες ἔννοιαν. "Οὐκ εἰςελεύσονται, φησὶ Μωϋσῆς, εἰς ἐκκλησίαν κυρίου, παρὰ τὸ μὴ συναντῆσαι αὐτοὺς ὑμῖν μετ᾽ ἄρτων καὶ ὕδατος, ἐξιοῦσιν" — ἐκ τῶν παθῶν — "Αἰγύπτου."

§. 26. Ἀλλ᾽ ὁ μὲν Μελχισεδὲκ ἀντὶ ὕδατος οἶνον προσφερέτω, καὶ ποτιζέτω καὶ ἀκρατιζέτω ψυχὰς, ἵνα κατάσχετοι γένωνται θείᾳ μέθῃ, νηφαλεωτέρᾳ νήψεως αὐτῆς· ἱερεὺς γάρ ἐστι λόγος, κλῆρον ἔχων τὸν ὄντα, καὶ ὑψηλῶς περὶ αὐτοῦ καὶ ὑπερόγκως καὶ μεγαλοπρεπῶς λογιζόμενος. "Θεοῦ γὰρ τοῦ ὑψίστου ἐστὶν ἱερεὺς," **) οὐχ ὅτι ἐστί τις ἄλλος οὐχ ὕψιστος, ὁ γὰρ θεὸς, εἷς ὢν, "ἐν τῷ οὐρανῷ ἄνω ἐστὶ, καὶ ἐπὶ γῆς κάτω, καὶ οὐκ ἔστιν ἔτι πλὴν αὐτοῦ·" ***) ἀλλὰ τῷ μὴ ταπεινῶς καὶ χαμαιζήλως, ὑπερμεγέθως δὲ καὶ ὑπεραΰλως καὶ ὑψηλῶς νοεῖν περὶ θεοῦ ἔμφασιν τοῦ ὑψίστου κινεῖ.

§. 27. Τί δὲ εἰργάσατο ἤδη καλὸν ὁ Ἄβραμ, ὅτι κελεύει αὐτῷ "πατρίδος καὶ τῆς γενεᾶς ταύτης

---

*) Deut. 23, 3.

**) Gen. 14, 18.

***) Deut. 4, 39.

ξενοῦσθαι, καὶ γῆν οἰκεῖν, ἣν αὐτὸς δῷ ὁ θεός;" *) Πόλις δέ ἐστιν ἀγαθὴ καὶ πολλὴ καὶ σφόδρα εὐδαίμων· τὰ γὰρ δῶρα τοῦ θεοῦ μεγάλα καὶ τίμια. Ἀλλὰ καὶ τοῦτον τὸν τρόπον ἐγέννησε τύπον ἔχοντα σπουδῆς ἄξιον. Ἑρμηνεύεται γὰρ Ἄβραμ "πατὴρ
104 μετέωρος," δι᾽ ἀμφοτέρων τῶν ὀνομάτων ἐπαινε-
M. τός. Ὁ γὰρ νοῦς ὅταν μὴ δεσπότου τρόπον ἀπειλῇ τῇ ψυχῇ, ἀλλ᾽ ὡς πατὴρ ἄρχῃ, μὴ τὰ ἡδέα χαριζόμενος αὐτῇ, τὰ δὲ συμφέροντα καὶ ἀκούσῃ διδοὺς, καὶ ἔτι πάντων ταπεινῶν καὶ ἀγόντων ἐπὶ τὰ θνητὰ ἀποστὰς, μετεωροπολῇ καὶ συνδιατρίβῃ θεωρήμασι τοῖς περὶ κόσμου καὶ τῶν μερῶν αὐτοῦ. Καὶ ἔτι μᾶλλον ἐπανιὼν ἐρευνᾷ τὸ θεῖον καὶ τὴν τούτου φύσιν, δι᾽ ἔρωτα ἐπιστήμης ἄλεκτον, μένειν ἐπὶ τῶν ἐξ ἀρχῆς δογμάτων οὐ δύναται, ἀλλὰ μετοικίαν ζητεῖ βελτιούμενος ἀμείνω.

§. 28. Ἐνίους δὲ ὁ θεὸς καὶ πρὸ τῆς γενέσεως καλῶς διαπλάττει καὶ διατίθεται, καὶ κλῆρον ἔχειν ἄριστον προῄρηται. Οὐχ ὁρᾷς τί περὶ τοῦ Ἰσαὰκ φησι τῷ Ἀβραὰμ οὐκ ἐλπίσαντι, ὅτι γεννήσεται τοιούτου γεννήματος πατὴρ, ἀλλὰ καὶ γελάσαντι ἐπὶ τῇ ὑποσχέσει, καὶ εἰπόντι, "Εἰ τῷ ἑκατονταετεῖ γενήσεται, καὶ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται;" **) Καταφάσκει καὶ ἐπινεύει λέγων, "Ναὶ, ἰδοὺ Σάῤῥα ἡ γυνή σου τέξεταί σοι υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰσαὰκ, καὶ στήσω τὴν διαθήκην μου πρὸς αὐτὸν εἰς διαθήκην αἰώνιον." Τί οὖν ἐστι τὸ καὶ τοῦτον πρὸ τῆς γενέσεως ἐπαινεῖσθαι πεποιηκός; Ἔνια τῶν ἀγαθῶν γενόμενα καὶ παρόντα ὠφελεῖ, οἷον, ὑγίεια, εὐαισθησία, πλοῦτος εἰ τύχοι, δόξα, — λεγέσθω γὰρ καὶ ταῦτα κατα- 77
χρηστικώτερον ἀγαθά· — ἔνια δὲ οὐ γενόμενα μό- P.
νον, ἀλλὰ θεσπισθέντα ὅτι γενήσεται, ὥσπερ ἡ χαρὰ

*) Gen. 12, 1.

**) Gen. 17, 17 sqq.

εὐπάθεια τῆς ψυχῆς ἐστιν· ἥδε γὰρ οὐχ, ὅταν παροῦσα δραστηρίως ἐνεργῇ, μόνον εὐφραίνει, ἀλλὰ καὶ ὅταν ἐλπίζηται, προγανοῖ. Ἐξαίρετον γὰρ καὶ τοῦτ᾽ ἔχει. Τὰ μὲν ἄλλα ἀγαθὰ ἴδια ἐνεργεῖ, ἡ δὲ χαρὰ καὶ ἴδιον καὶ κοινὸν ἀγαθόν ἐστιν· ἐπιγίνεται γοῦν ἅπασι. Χαίρομεν γὰρ καὶ ἐπὶ ὑγιείᾳ, καὶ ἐπ᾽ ἐλευθερίᾳ καὶ ἐπὶ τιμῇ, καὶ ἐπὶ τοῖς ἄλλοις, ὥστε κυρίως εἰπεῖν, μηδὲν εἶναι ἀγαθὸν, ᾧ μὴ πρόσεστι χαρά. Ἀλλ᾽ οὐ μόνον ἐπὶ προγεγενημένοις ἤδη τοῖς ἄλλοις ἀγαθοῖς καὶ παροῦσι χαίρομεν, ἀλλὰ καὶ ἐπὶ μέλλουσι καὶ προσδοκωμένοις, οἷον, ὅτε ἐλπίζομεν πλουτήσειν, ἢ ἄρξειν, ἢ ἐπαινεθήσεσθαι, ἢ νόσων ἀπαλλαγὴν εὑρήσεσθαι, ἢ εὐτονίας καὶ ῥώμης κοινωνήσειν, ἢ ἐπιστήμονες ἀντ᾽ ἀνεπιστημόνων ἔσεσθαι, γεγήθαμεν οὐ μετρίως. Ἐπειδὴ τοίνυν ἡ χαρὰ οὐ παροῦσα μόνον, ἀλλὰ καὶ ἐλπιζομένη ἀναχεῖ τε καὶ εὐφραίνει τὴν ψυχὴν, εἰκότως τὸν Ἰσαὰκ, πρὶν γεννηθῆναι, ὀνόματός τε καὶ δωρεᾶς μεγάλης ἠξίωσε· γέλως γὰρ ψυχῆς καὶ χαρὰ καὶ εὐφροσύνη διερμηνεύεται οὗτος.

§. 29. Πάλιν δὲ τὸν Ἰακὼβ καὶ τὸν Ἡσαῦ, τὸν μὲν ἄρχοντα καὶ ἡγεμόνα καὶ δεσπότην, τὸν δὲ
105 Ἡσαῦ ὑπήκοον καὶ δοῦλον, ἔτι κατὰ γαστρὸς ὄν-
M. τας φησὶν εἶναι. Ὁ γὰρ ζωοπλάστης θεὸς ἐπίσταται τὰ ἑαυτοῦ καλῶς δημιουργήματα, καὶ πρὶν αὐτὰ εἰς ἄκρον διατορεῦσαι, τάς τε δυνάμεις, αἷς αὖθις χρήσονται, καὶ συνόλως τὰ ἔργα τούτων καὶ πάθη. Ἐπειδὴ γὰρ πορεύεται, ἡ ὑπομονητικὴ ψυχὴ, Ῥεβέκκα πυθέσθαι παρὰ θεοῦ, ἀποκρίνεται αὐτῇ, ὅτι "Δύο ἔθνη ἐν τῇ γαστρί σού ἐστι, καὶ δύο λαοὶ ἐκ τῆς κοιλίας σοῦ διασταλήσονται, καὶ λαὸς λαοῦ ὑπερέξει, καὶ ὁ μείζων δουλεύσει τῷ ἐλάσσονι." *) Φύσει γὰρ δοῦλον παρὰ θεῷ τὸ φαῦλον καὶ ἄλογον, ἡγεμονικὸν δὲ καὶ ἐλεύθερον, τὸ ἀστεῖον

---

*) Gen. 25, 23.

καὶ λογικὸν καὶ ἄμεινον· καὶ οὐχ ὅταν ἤδη γένηται ἐν τῇ ψυχῇ τέλειον ἑκάτερον, ἀλλὰ κἂν ἐνδοιάζηται. Ὅλως γὰρ καὶ μικρά τις αὔρα τῆς ἀρετῆς ἀρχὴν καὶ ἡγεμονίαν, οὐκ ἐλευθερίαν μόνον, ἐμφαίνει· καὶ ἔμπαλιν ἡ τυχούσης κακίας γένεσις δουλοῖ τὸν λογισμὸν, κἂν μήπω τέλειον αὐτῆς ἐμφοιτήσῃ τὸ γέννημα.

§. 30. Τί δὲ παθὼν ὁ αὐτὸς οὗτος Ἰακὼβ, τοῦ Ἰωσὴφ τοὺς δύο υἱοὺς προσαγαγόντος τὸν πρεσβύτερον Μανασσῆν καὶ τὸν νεώτερον Ἐφραῒμ, ἐναλλάττει τὰς χεῖρας, καὶ τὴν μὲν δεξιὰν ἐπιτίθησι τῷ νεωτέρῳ, Ἐφραῒμ, τὴν δὲ εὐώνυμον τῷ πρεσβυτέρῳ, Μανασσῇ· καὶ βαρὺ τὸ πρᾶγμα ἡγησαμένου τοῦ Ἰωσὴφ καὶ οἰηθέντος τὸν πατέρα ἄκοντα σφαλῆναι περὶ τὴν τῶν 78 P. χειρῶν ἐπίθεσιν, φησὶν, "Οὐ διήμαρτον, ἀλλ' οἶδα, τέκνον, οἶδα καὶ οὗτος ἔσται εἰς λαὸν, καὶ οὗτος ὑψωθήσεται· ἀλλ' ὁ ἀδελφὸς αὐτοῦ ὁ νεώτερος, μείζων αὐτοῦ ἔσται;" *) Τί οὖν χρὴ λέγειν, ἢ τοῦτο; Ὅτι δύο φύσεις ἐδημιουργήθησαν ἐν ψυχῇ ὑπὸ θεοῦ σφόδρα ἀναγκαῖαι, μνήμη τε καὶ ἀνάμνησις· ἀμείνων μὲν μνήμη, χείρων δὲ ἡ ἀνάμνησις. Ἡ μὲν γὰρ ἐναύλους ἔχει καὶ ἐναργεῖς τὰς καταλήψεις, ὡς μηδὲ ἀγνοίᾳ διαμαρτεῖν. Ἀναμνήσεως δὲ λήθη πάντως προηγεῖται, πηρὸν καὶ τυφλὸν πρᾶγμα. Πρεσβύτερον δὲ τὸ χεῖρον, ἡ ἀνάμνησις, εὑρίσκεται μνήμης, τοῦ κρείττονος, συνεχὲς καὶ ἀδιάστατον. Οἱ γὰρ πρῶτον εἰς τὰς τέχνας εἰσαγόμενοι, περικρατῆσαι τῶν εἰς αὐτὰς θεωρημάτων ἀδυνατοῦμεν εὐθύς. Λήθῃ οὖν κατ' ἀρχὰς χρώμενοι, πάλιν ἀναμιμνησκόμεθα, ἕως ἐκ τοῦ πολλάκις μὲν ἐκλαθέσθαι, πολλάκις δὲ ἀναμνησθῆναι, βέβαιον αὖθις μνήμη κρατήσῃ. Παρ' ὃ καὶ νεωτέρα, ὀψίγονος γάρ ἐστι, συνίσταται τῆς ἀναμνήσεως. Συμβολικῶς οὖν ὁ μὲν Ἐφραῒμ λέγεται μνήμη. Καρποφορία γὰρ ἑρμηνεύε-

*) Gen. 48, 1 sqq.

ται τῆς τοῦ φιλομαθοῦς ψυχῆς τὸν οἰκεῖον ἐνηνο-
106 χυίας, ὁπότε διὰ μνήμης ἔχοι βεβαιοῦν τὰ θεωρή-
M. ματα. Ὁ δὲ Μανασσῆς, ἀνάμνησις· μεταληφθεὶς
γὰρ ἐκ λήθης εἶναι λέγεται. Ὁ δὲ λήθην ἐκφεύγων
ἀναμιμνήσκεται πάντως. Ὀρθότατα οὖν ὁ πτερνι-
στὴς τῶν παθῶν καὶ ἀσκητὴς ἀρετῆς Ἰακὼβ δεξιοῦ-
ται τὴν καρποφόρον μνήμην, Ἐφραῒμ, δευτερείων
δὲ ἀξιοῖ τὴν ἀνάμνησιν, Μανασσῆν. Καὶ Μωϋσῆς
μὲν τῶν θυόντων τὸ Φασὲκ τοὺς μὲν πρότερον θύ-
σαντας μάλιστα ἐπαινεῖ, ὅτι διαβάντες ἀπὸ τῶν πα-
θῶν, Αἰγύπτου, ἐπέμειναν τῇ διαβάσει, καὶ οὐχ
ὥρμησαν ἔτι ἐπ᾿ αὐτά· τοὺς δὲ τὸ δεύτερον δευτε-
ρείων ἀξιοῖ. Τραπέντες γὰρ ἀνέδραμον τὴν τροπὴν,
καὶ ὥςπερ ἐπιλαθόμενοι τῶν πρακτέων, πάλιν ἐπὶ
τὸ πράττειν ὥρμησαν αὐτὰ, οἱ δὲ πρότεροι ἄτρεπτοι
διετέλεσαν. Ἔοικεν οὖν τοῖς μὲν τὸ δεύτερον πάσχα
θύουσιν, ὁ ἐκ λήθης Μανασσῆς· τοῖς δὲ τὸ πρότε-
ρον, ὁ καρποφόρος Ἐφραΐμ.

§. 31. Ὅθεν καὶ Βεσελεὴλ ἀνακαλεῖ ὁ θεὸς ἐξ
ὀνόματος, καί φησιν „αὐτῷ δωρήσεσθαι σοφίαν καὶ
ἐπιστήμην, καὶ δημιουργὸν αὐτὸν καὶ ἀρχιτέκτονα
πάντων τῶν τῆς σκηνῆς," *) τουτέστι τῶν τῆς ψυ-
χῆς ἔργων, ἀποδείξειν, μηδὲν ἔργον ὃ καὶ ἂν ἐπαι-
νέσειέ τις, προϋποδείξας αὐτοῦ. Λεκτέον οὖν, ὅτι
καὶ τοῦτο τὸ σχῆμα τῇ ψυχῇ ἐντετύπωκεν ὁ θεὸς,
νομίσματος δοκίμου τρόπον. Τίς οὖν ἐστιν ὁ χαρα-
κτὴρ, εἰσόμεθα, ἐὰν τὴν ἑρμηνείαν πρὸ τοῦ ὀνόμα-
τος ἀκριβώσωμεν. Ἑρμηνεύεται οὖν Βεσελεὴλ, ἐν τ
σκιᾷ ὁ θεός. Σκιὰ θεοῦ δὲ ὁ λόγος αὐτοῦ ἐστιν, P
ᾧ καθάπερ ὀργάνῳ προςχρησάμενος ἐκοσμοποίει.
Αὕτη δὲ ἡ σκιὰ καὶ τὸ ὡςανεὶ ἀπεικόνισμα ἑτέρων
ἐστὶν ἀρχέτυπον. Ὥςπερ γὰρ ὁ θεὸς παράδειγμα τῆς
εἰκόνος, ἣν σκιὰν νυνὶ κέκληκεν, οὕτως ἡ εἰκὼν ἄλ-
λων γίνεται παράδειγμα, ὡς καὶ ἐναρχόμενος τῆς

*) Exod. 31, 2.

νομοθεσίας ἐδήλωσεν, εἰπὼν, „Καὶ ἐποίησεν ὁ θεὸς τὸν ἄνθρωπον κατ' εἰκόνα θεοῦ," *) ὡς τῆς μὲν εἰκόνος κατὰ τὸν θεὸν ἀπεικονισθείσης, τοῦ δὲ ἀν-
107 θρώπου κατὰ τὴν εἰκόνα, λαβοῦσαν δύναμιν πα-
M. ραδείγματος.

§. 32. Τίς οὖν ὁ ἐπιγινόμενος χαρακτὴρ, θεασώμεθα. Ἐζήτησαν οἱ πρῶτοι, πῶς ἐνοήσαμεν τὸ θεῖον. Εἶθ' οἱ δοκοῦντες ἄριστα φιλοσοφεῖν ἔφασαν, ὅτι ἀπὸ τοῦ κόσμου καὶ τῶν μερῶν αὐτοῦ καὶ τῶν ἐνυπαρχουσῶν τούτοις δυνάμεων ἀντίληψιν ἐποιησάμεθα τοῦ αἰτίου. Ὥςπερ γὰρ εἴ τις ἴδοι δεδημιουργημένην οἰκίαν ἐπιμελῶς, προπυλαίοις, στοαῖς, ἀνδρῶσι, γυναικωνίτισι, τοῖς ἄλλοις οἰκοδομήμασιν, ἔννοιαν λήψεται τοῦ τεχνίτου, — οὐ γὰρ ἄνευ τέχνης καὶ δημιουργοῦ νομιεῖ τὴν οἰκίαν ἀποτελεσθῆναι, τὸν αὐτὸν δὲ τρόπον καὶ ἐπὶ πόλεως, καὶ νεὼς, καὶ παντὸς ἐλάττονος ἢ μείζονος κατασκευάσματος· — οὕτω δὴ καὶ εἰςελθών τις ὥςπερ εἰς μεγίστην οἰκίαν ἢ πόλιν τόνδε τὸν κόσμον, καὶ θεασάμενός οὐρανὸν ἐν κύκλῳ περιπολοῦντα, καὶ πάντα ἐντὸς συνειληφότα, πλανήτας δὲ καὶ ἀπλανεῖς ἀστέρας κατὰ ταὐτὰ καὶ ὡςαύτως κινουμένους, ἐμμελῶς τε καὶ ἐναρμονίως, καὶ τῷ παντὶ ὠφελίμως, γῆν δὲ τὸν μεσαίτατον χῶρον λαχοῦσαν, ὕδατός τε καὶ ἀέρος χύσεις ἐν μεθορίῳ τεταγμένας, ἔτι δὲ ζῶα θνητά τε αὖ καὶ ἀθάνατα, καὶ φυτῶν καὶ καρπῶν διαφορὰς, λογιεῖται δήπου, ὅτι ταῦτα οὐκ ἄνευ τέχνης παντελοῦς δεδημιούργηται, ἀλλὰ καὶ ἦν καὶ ἔστιν ὁ τοῦδε τοῦ παντὸς δημιουργὸς ὁ θεός. Οἱ δὴ οὕτως ἐπιλογιζόμενοι, διὰ σκιᾶς τὸν θεὸν καταλαμβάνουσι, διὰ τῶν ἔργων τὸν τεχνίτην κατανοοῦντες.

§. 33. Ἔστι δέ τις τελεώτερος καὶ μᾶλλον κεκαθαρμένος νοῦς, τὰ μεγάλα μυστήρια μυηθεὶς, ὅστις οὐκ ἀπὸ τῶν γεγονότων τὸ αἴτιον γνωρίζει, ὡς ἂν

---

*) Gen. 1, 26.

ἀπὸ σκιᾶς τὸ μένον· ἀλλ᾽ ὑπερκύψας τὸ γεννητὸν,
ἔμφασιν ἐναργῆ τοῦ ἀγεννήτου λαμβάνει, ὡς ἀπ᾽
αὐτοῦ αὐτὸν καταλαμβάνειν, καὶ τὴν σκιὰν αὐτοῦ,
ὅπερ ἦν, τόν τε λόγον, καὶ τόνδε τὸν κόσμον. Οὗ-
τός ἐστι Μωϋσῆς, ὁ λέγων, "Ἐμφάνισόν μοι σαυ-
τὸν, γνωστῶς ἴδω σε," *) μὴ γὰρ ἐμφανισθείης μοι
δι᾽ οὐρανοῦ ἢ γῆς ἢ ὕδατος ἢ ἀέρος ἤ τινος ἁπλῶς
τῶν ἐν γενέσει, μηδὲ κατοπτρισαίμην ἐν ἄλλῳ τινὶ
τὴν σὴν ἰδέαν, ἢ ἐν σοὶ τῷ θεῷ. Αἱ γὰρ ἐν γεν-
νητοῖς ἐμφάσεις διαλύονται· αἱ δὲ ἐν τῷ ἀγεννήτῳ, 8(
μόνιμοι καὶ βέβαιοι καὶ ἀΐδιοι διατελοῖεν. Διὰ τοῦτο P
"Μωϋσῆν ἀνακέκληκε, καὶ ἐλάλησεν αὐτῷ ὁ θεός." **)
Καὶ Βεσελεὴλ ἀνακέκληκεν, ἀλλ᾽ οὐχ ὁμοίως, ἀλλὰ
τὸν μὲν, τὴν ἔμφασιν τοῦ θεοῦ λαμβάνοντα ἀπ᾽
αὐτοῦ τοῦ αἰτίου, τὸν δὲ, ὥςπερ ἀπὸ σκιᾶς τῶν γε-
νομένων, τὸν τεχνίτην ἐξ ἐπιλογισμοῦ κατανοοῦντα.
Διὰ τοῦθ᾽ εὑρήσεις τὴν σκηνὴν καὶ τὰ σκεύη πάντα
αὐτῆς, πρότερον μὲν ὑπὸ Μωϋσέως, αὖθις δ᾽ ὑπὸ
108 Βεσελεὴλ κατασκευαζόμενα. Μωϋσῆς μὲν γὰρ τὰ
M. ἀρχέτυπα τεχνιτεύει, Βεσελεὴλ δὲ τὰ τούτων μιμή-
ματα. Χρῆται μὲν γὰρ Μωϋσῆς ὑφηγητῇ τῷ θεῷ,
ὥς φησι, "Κατὰ τὸ παράδειγμα τὸ δεδειγμένον σοι
ἐν τῷ ὄρει πάντα ποιήσεις," ***) Βεσελεὴλ δὲ Μωϋ-
σεῖ. Καὶ εἰκότως. Καὶ γὰρ ὅ τε Ἀαρὼν, ὁ λόγος,
καὶ Μαριὰμ, ἡ αἴσθησις, ἐπανίσταται ῥητῶς τοῖς
ἀκούουσιν, ὅτι "Ἐὰν γένηται προφήτης κυρίῳ, ἐν
ὁράματι αὐτῷ γνωσθήσεται καὶ ἐν σκιᾷ ὁ θεὸς, οὐκ
ἐναργῶς. Μωϋσεῖ δὲ, ὅςτις πιστὸς ἐν ὅλῳ τῷ οἴ-
κῳ, στόμα κατὰ στόμα λαλήσει ἐν εἴδει, καὶ οὐ δι᾽
αἰνιγμάτων." ****)

---

*) **Exod. 33, 13.**

**) **Exod. 35, 30.**

***) **Exod. 25, 40.**

****) **Num. 12, 6.**

§. 34. Ἐπειδὴ τοίνυν δύο φύσεις εὕρομεν γενομένας, καὶ πλαττομένας, καὶ ἄκρως τετορευμένας ὑπὸ θεοῦ, τὴν μὲν ἐξ ἑαυτῆς βλαβερὰν καὶ ἐπίληπτον καὶ καταρατον, τὴν δὲ ὠφέλιμον καὶ ἐπαινετὴν καὶ ἔχουσαν τὴν μὲν κίβδηλον, τὴν δὲ δόκιμον χαρακτῆρα· καλὴν καὶ ἁρμόττουσαν εὐχὴν εὐξόμεθα, ἣν καὶ Μωϋσῆς, "ἵν' ἡμῖν ὁ θεὸς ἀνοίξῃ τὸν ἑαυτοῦ θησαυρὸν" καὶ τὸν μετάρσιον καὶ ἐγκύμονα θείων φώτων λόγον, ὃν δὴ κέκληκεν οὐρανὸν, "τοὺς δὲ τῶν κακῶν ἐπισφίγξῃ." Εἰσὶ γὰρ ὥσπερ ἀγαθῶν, οὕτω καὶ κακῶν παρὰ τῷ θεῷ θησαυροὶ, ὡς ἐν μεγάλῃ φησὶν ᾠδῇ, "Οὐκ ἰδοὺ ταῦτα συνῆκται παρ' ἐμοὶ, καὶ ἐσφράγισται ἐν τοῖς θησαυροῖς μου, ἐν ἡμέρᾳ ἐκδικήσεως, ὅταν σφαλῇ ὁ πους αὐτῶν;" *) Ὁρᾷς ὅτι κακῶν εἰσι θησαυροὶ, καὶ ὁ μὲν τῶν ἀγαθῶν εἷς. Ἐπὰν γὰρ ὁ θεὸς εἷς, καὶ ἀγαθῶν θησαυρός· πολλοὶ δὲ τῶν κακῶν, ὅτι καὶ οἱ ἁμαρτάνοντες ἄπειροι τὸ πλῆθος. Ἀλλὰ καὶ ἐν τούτῳ σκόπει τὴν τοῦ ὄντος ἀγαθότητα· τὸν μὲν τῶν ἀγαθῶν θησαυρὸν ἀνοίγει, τοὺς δὲ τῶν κακῶν ἐπισφίγγει. Θεοῦ γὰρ ἴδιον, τὰ μὲν ἀγαθὰ προτείνειν καὶ φθάνειν δωρούμενον, τὰ δὲ κακὰ μὴ ῥᾳδίως ἐπάγειν. Μωϋσῆς δὲ καὶ ἐπιτείνων τὸ τοῦ θεοῦ φιλόδωρον καὶ χαριστικὸν, οὐ μόνον ἐν τῷ ἄλλῳ χρόνῳ φησὶ τοὺς θησαυροὺς τῶν κακῶν ἐσφραγίσθαι, ἀλλὰ καὶ ὅταν ἡ ψυχὴ σφαλῇ κατὰ τὴν βάσιν τοῦ ὀρθοῦ λόγου, ὁπότε καὶ ἄξιον ἦν αὐτὴν δίκης ἀξιοῦσθαι· "ἐν ἡμέρᾳ γὰρ," φησὶν, "ἐκδικήσεως ἐσφραγίσθαι τοὺς τῶν κακῶν θησαυροὺς," δεικνύντος τοῦ ἱεροῦ λόγου, ὅτι οὐδὲ τοῖς ἁμαρτάνουσιν εὐθὺς ἐπέξεισιν ὁ θεὸς, 81
ἀλλὰ δίδωσι χρόνον εἰς μετάνοιαν, καὶ τὴν τοῦ σφάλ- P.
ματος ἴασιν καὶ ἐπανόρθωσιν.

§. 35. "Καὶ εἶπε κύριος ὁ θεὸς τῷ ὄφει, ἐπικατάρατος σὺ ἀπὸ πάντων τῶν κτηνῶν, καὶ ἀπὸ

*) Deut. 32, 34 sqq.

*πάντων τῶν θηρίων τῆς γῆς." Ὥσπερ ἡ χαρὰ
εὐπάθεια οὖσα, εὐχῆς ἐστιν ἐπαξία, οὕτω κατά-
ρας ἡδονὴ, τὸ πάθος, ἡ μεταθεῖσα τοὺς ὅρους
τῆς ψυχῆς, καὶ κατασκευάσασα αὐτὴν ἀντὶ φιλα-
109 ρέτου φιλοπαθῆ. Φησὶ δὲ Μωϋσῆς ἐν ταῖς ἀραῖς,
M. "ἐπικατάρατον εἶναι τὸν μετατιθέντα τὰ ὅρια τοῦ
πλησίον," *) ὅρον γὰρ ἔθηκε καὶ νόμον ὁ θεὸς τὴν
ἀρετὴν τῇ ψυχῇ, τὸ τῆς ζωῆς ξύλον. Τοῦτον δὲ
μετατέθεικεν, πήξας ὅρον κακίαν, ξύλον θανάτου.
"Ἐπικατάρατος μέντοι καὶ ὁ πλανῶν τυφλὸν ἐν ὁ-
δῷ." Καὶ ταῦτα δὲ ἐργάζεται ἡ ἀθεωτάτη ἡδονή.
Τυφλὸν γὰρ φύσει ἡ αἴσθησις, ἅτε ἄλογος οὖσα,
ἐπεὶ τὸ λογικὸν ἐξομματοῦται. Παρ' ὃ καὶ μόνῳ
τούτῳ τὰ πράγματα καταλαμβάνομεν, αἰσθήσει δὲ
οὐκέτι· μόνα γὰρ τὰ σώματα φαντασιούμεθα δι' αἰ-
σθήσεως. Τὴν οὖν πηρὰν αἴσθησιν τῆς τῶν πρα-
γμάτων ἀντιλήψεως ἐξηπάτηκεν, εἴ γε δυναμένην
ἐπὶ νοῦν τρέπεσθαι καὶ ἡνιοχεῖσθαι ὑπ' αὐτοῦ κεκώ-
λυκεν, ἐπὶ τὸ ἐκτὸς αἰσθητὸν ἀγαγοῦσα, καὶ λίχνον
αὐτὴν ἀπεργασαμένη τοῦ ἑαυτῆς ποιητικοῦ· ἵνα ἡ
μὲν αἴσθησις πηρὸς οὖσα, ἀκολουθῇ τυφλῷ ποδη-
γῷ, τῷ αἰσθητῷ, ὁ δὲ νοῦς ὑπ' ἀμφοτέρων ποδη-
γετούμενος οὐ βλεπόντων, ἐκτραχηλίζηται καὶ ἀκρα-
τὴς ἑαυτοῦ γίνηται. Εἰ γάρ τις ἦν τοῦ κατὰ φύσιν
ἀκολουθία, τῷ βλέποντι λογισμῷ τὰ πηρὰ ἐχρῆν
ἕπεσθαι, οὕτω γὰρ ἂν τὰ βλαβερὰ ἐπεκουφίζετο.
Νυνὶ δὲ τοσοῦτον ἔστησε μηχάνημα κατὰ τῆς ψυχῆς,
ὥστε ἡγεμόσιν αὐτὴν χρῆσθαι τυφλοῖς ἠνάγκασε,
παρακρουσαμένη καὶ ἀναπείσασα κακῶν ἀρετὴν ἀλ-
λάξαι, καὶ ἀντιδοῦναι πονηρῶν κακίαν.*

§. 36. *Ἀπείρηκε δὲ καὶ τὴν τοιαύτην ἀντιδο-
σίαν ὁ ἱερὸς λόγος, ὅταν φησὶν, "Οὐκ ἀλλάξεις κα-
λὸν πονηρῷ." **) Ἐπικατάρατος δὴ διὰ ταῦθ' ἡ*

---

*) Deut. 27, 17.

**) Lev. 27, 33.

ἡδονή. Ἃ δὲ καταρᾶται αὐτῇ, ἴδωμεν ὡς προςφυᾶ. „Ἀπὸ πάντων," φησὶ, „τῶν κτηνῶν ἐπάρατον εἶναι." *) Οὐκοῦν κτηνῶδες μέν ἐστι τὸ ἄλογον καὶ αἰσθητικόν. Ἑκάστη δὲ αἴσθησις ἡδονῇ καταρᾶται, ὡς πολεμιωτάτῃ καὶ ἐχθίστῃ. Καὶ γάρ ἐστι τῷ ὄντι πολέμιος αἰσθήσει. Τεκμήριον δὲ, ὅταν ἡδονῆς ἀμέτρου κορεσθῶμεν, οὔθ' ὁρᾶν οὔτ' ἀκούειν οὔτ' ὀσφραίνεσθαι οὔτε γεύεσθαι οὔθ' ἅπτεσθαι εἰλικρινῶς δυνάμεθα, ἀλλ' ἀμυδρὰς καὶ ἀσθενεῖς ποιούμεθα τὰς προςβολάς. Καὶ τοῦτο μὲν, ὅταν ἐπίσχωμεν τὴν χρῆσιν αὐτῆς, πάσχομεν· ἐν αὐταῖς δ' ὄντες ταῖς τῆς ἡδονῆς ἀπολαύσεσι, κατὰ τὸ παντελὲς καὶ τὴν διὰ τῶν ἐνεργουσῶν αἰσθήσεων ἀντίληψιν ἀφαι- 82
ρούμεθα, ὡς δοκεῖν πεπηρῶσθαι. Πῶς οὖν οὐκ P.
ἂν εἰκότως ἀρὰς θεῖτο αἴσθησις τῇ πηρούσῃ αὐτὴν ἡδονῇ;

110 §. 37. „Ἐπικατάρατος δέ ἐστι καὶ παρὰ πάν-
M. τα τὰ θηρία," λέγω δὴ τὰ πάθη τῆς ψυχῆς· τούτοις γὰρ νοῦς τιτρώσκεται καὶ διαφθείρεται. Διὰ τί οὖν καὶ τῶν ἄλλων παθῶν χείρων εἶναι δοκεῖ; Ὅτι σχεδὸν ὑποβέβληται πᾶσιν, ὥςπερ τις ἀρχὴ καὶ θεμέλιος. Ἥ τε γὰρ ἐπιθυμία γέγονε δι' ἔρωτος ἡδονῆς, ἥ τε λύπη συνίσταται κατὰ τὴν ταύτης ἀφαίρεσιν· φόβος τε αὖ γεννᾶται δι' εὐλάβειαν ἀπουσίας αὐτῆς. Ὥςτε δῆλον εἶναι, ὅτι πάντα ἐφορμεῖ τὰ πάθη ἡδονῇ· καὶ οὐδ' ἂν συνέστη τὸ παράπαν ἴσως ἐκεῖνα, εἰ μὴ προκατεβλήθη τὸ οἰστικὸν αὐτῶν, ἡδονή.

§. 38. „Ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ πορεύσῃ." Περὶ γὰρ ταῦτα φωλεύει τὰ μέρη τὸ πάθος, τὰ στέρνα καὶ τὴν γαστέρα. Ὅταν μὲν ἔχῃ τὰ ποιητικὰ καὶ τὰς ὕλας ἡ ἡδονὴ, περὶ τὴν γαστέρα καὶ τὰ μετ' αὐτὴν, ὅταν δὲ ἀπορῇ, περὶ τὰ στήθη, ὅπου ὁ θυμός. Οἱ γὰρ φιλήδονοι στερόμενοι τῶν ἡδονῶν,

*) Gen. 3, 14.

ὀργίζονται καὶ παραπικραίνονται. Ἔτι δὲ ἀκριβέστερον ἴδωμεν τὸ δηλούμενον. Τριμερῆ συμβέβηκε τὴν ψυχὴν ἡμῶν εἶναι, καὶ ἔχειν μέρος μὲν ἓν λογιστικὸν, δεύτερον δὲ θυμικὸν, τρίτον δὲ ἐπιθυμητικόν. Ἔνιοι μὲν οὖν τῶν φιλοσόφων τὰ μέρη ταῦτα δυνάμει μόνον διέκριναν ἀλλήλων, τινὲς δὲ καὶ τόποις. Εἶτα ἔνειμαν τῷ μὲν λογικῷ τὸν περὶ κεφαλὴν χῶρον, εἰπόντες, ὅπου ὁ βασιλεὺς, ἐκεῖ καὶ οἱ δορυφόροι· δορυφόροι δὲ αἱ αἰσθήσεις τοῦ νοῦ, περὶ κεφαλὴν οὖσαι, ὥςτε καὶ ὁ βασιλεὺς εἴη ἂν ἐκεῖ, ὥςπερ ἄκραν ἐν πόλει λαχὼν οἰκεῖν. Τῷ δὲ θυμικῷ τὰ στέρνα· παρ' ὃ καὶ τὴν φύσιν ὀχυρῶσαι τὸ μέρος πυκνότητι καὶ κραταιότητι συνεχῶν ὀστέων, ὥςπερ στρατιώτην ἀγαθὸν καθοπλίσασαν θώρακι καὶ ἀσπίδι πρὸς τὴν τῶν ἐναντιουμένων ἄμυναν. Τῷ δὲ ἐπιθυμητικῷ τὸν περὶ τὸ ἧπαρ καὶ τὴν κοιλίαν τόπον· ἐνταῦθα γὰρ κατοικεῖ ἐπιθυμία, ὄρεξις ἄλογος.

§. 39. Ἐὰν οὖν ποτε ζητῇς, ὦ διάνοια, τίνα χῶρον ἡδονὴ κεκλήρωται, μὴ σκέπτου τὸν περὶ κεφαλὴν τόπον, ὅπου τὸ λογιστικὸν, μὴ γὰρ εὑρήσεις. Ἐπεὶ μάχεται ὁ λόγος τῷ πάθει καὶ ἐν ταὐτῷ μένειν οὐ δύναται. Κρατοῦντος μὲν γὰρ λόγου, φροῦδος ἡ ἡδονή· νικώσης δὲ ἡδονῆς, φυγὰς ὁ λόγος. Ζήτει δὲ ἐν στήθει καὶ κοιλίᾳ, ὅπου ὁ θυμὸς καὶ ἡ ἐπιθυμία μέρη τοῦ ἀλόγου· ἐν αὐτῇ γὰρ εὑρίσκεται καὶ ἡ κρίσις ἡ ἡμετέρα καὶ τὰ πάθη. Οὐ κεκώλυται οὖν νοῦς, ἐκβὰς τῶν νοητῶν καὶ οἰκείων ἐπιβολῶν, ἐκδοθῆναι τῷ χείρονι. Τοῦτο δὲ οὐ συμβαίνει,
ὅταν ὁ ψυχῆς κρατήσῃ πόλεμος· ἀνάγκη γὰρ δορυά- 83
111 λωτον γίνεσθαι τὸν μὴ μάχιμον, ἀλλ' εἰρηναῖον τὸν P.
M. ἐν ἡμῖν λογισμόν.

§. 40. Εἰδὼς γοῦν ὁ ἱερὸς λόγος ὅσον ἡ ἑκατέρου δύναται ὁρμὴ πάθους, θυμοῦ τε καὶ ἐπιθυμίας, ἑκάτερον ἐπιστομίζει, ἡνίοχον καὶ κυβερνήτην ἐφιστὰς τὸν λόγον. Καὶ πρότερον περὶ τοῦ θυμοῦ, θεραπεύων αὐτὸν καὶ ἰώμενος, διαλέγεται οὕτως. "Καὶ

ἐπιθήσεις ἐπὶ τὸ λόγιον τῶν κρίσεων, τὴν δήλωσιν καὶ τὴν ἀλήθειαν, καὶ ἔσται ἐπὶ τοῦ στήθους Ἀαρὼν, ὅταν εἰςέρχηται εἰς τὸ ἅγιον ἐναντίον κυρίου." *) Λόγιον οὖν ἐστιν ἐν ἡμῖν τὸ φωνητήριον ὄργανον, ὅπερ ἐστὶν ὁ γεγονὸς λόγος. Οὗτος δὲ ἢ ἀκριτόμυθός ἐστι καὶ ἀδόκιμος, ἢ κεκριμένος καὶ δόκιμος. Εἰς ἔννοιαν δὲ ἡμᾶς ἄγει λόγου τοῦ κατὰ διάκρισιν. Τὸ γὰρ λόγιόν φησιν οὐ τὸ ἄκριτον ἢ κίβδηλον, ἀλλὰ τὸ τῶν κρίσεων, ἴσον τῷ, διακεκριμένον καὶ ἐξητασμένον. Τούτου δὲ τοῦ δοκίμου λόγου δύο ἀρετάς φησιν εἶναι τὰς ἀνωτάτω, σαφήνειαν καὶ ἀληθότητα· καὶ πάνυ ὀρθῶς. Ὁ γὰρ λόγος τὸ μὲν πρῶτον παρεῖχε τὸ σαφῆ ποιῆσαι καὶ δῆλα τὰ πράγματα τῷ πλησίον, μὴ δυνηθέντων ἡμῶν τὸ ἐγγινόμενον τῇ ψυχῇ πάθος ὑπὸ τῶν ἐκτὸς ἐπιδείξασθαι, οὐδ' οἷον ἦν παραστῆσαι.

§. 41. Διόπερ ἠναγκάσθημεν ἐλθεῖν ἐπὶ τὰ διὰ φωνῆς σύμβολα, ὀνόματα καὶ ῥήματα, ἃ δεῖ πάντως εἶναι γνώριμα, ἵνα σαφῶς καὶ ἐκδήλως ὁ πλησίον ἐκλάβηται· ἔπειτα τὸ ἀληθῶς αὐτὰ ἀπαγγεῖλαι. Τί γὰρ ὄφελος, τρανῆ μὲν καὶ σαφῆ τὴν ἑρμηνείαν ποιεῖσθαι, ψευδῆ δὲ ἄλλως; Ἀνάγκη γὰρ οὕτως ἐχόντων, ἀπατᾶσθαι τὸν ἀκροατὴν καὶ μεγίστην καρποῦσθαι συμφορὰν μετὰ ἀγνοίας καὶ ἀπαιδευσίαν. Τί γὰρ, ἂν λέγω τῷ παιδὶ τρανῶς καὶ σαφῶς, δείξας τὸ ἄλφα στοιχεῖον ὅτι ἐστὶ γάμμα, ἢ τὸ η ὅτι ἐστὶν ω; Ἢ ὁ μουσικὸς λέγει τῷ πρῶτα εἰςαγομένῳ δεικνὺς τὸ ἐναρμόνιον ὅτι χρῶμά ἐστιν, ἢ τὸ χρωματικὸν ὅτι διατονικὸν, ἢ τὴν ὑπάτην ὅτι μέση, ἢ τὸ συνημμένον ὅτι τὸ διεζευγμένον, ἢ τὴν ὑπερβολαίαν ὅτι προςλαμβανόμενος; Τρανῶς μὲν ἴσως καὶ σαφῶς ἐρεῖ, οὐκ ἀληθῶς δὲ, ἀλλὰ ταύτῃ κακίαν ἐργάσεται τὴν ἐν λόγῳ. Ὅταν δὲ ἀμφότερα καὶ σαφήνειαν καὶ ἀληθότητα ποιῆται, ὠφέλιμον

*) Exod. 28, 30 sqq.

παρέξει τῷ μανθάνοντι τὸν λόγον, χρησάμενος ταῖς δυσὶν ἀρεταῖς αὐτοῦ, ἃς καὶ μόνας σχεδὸν εἶναι συμβέβηκέ που.

§. 42. Φησὶν οὖν ἱδρύσθαι τὸν κεκριμένον λόγον, ἔχοντα τὰς ἰδίας ἀρετὰς, ἐπὶ τοῦ στήθους δηλονότι Ἀαρὼν, τουτέστιν ἐπὶ τοῦ θυμοῦ, ἵν᾽ οὗτος ἡνιοχῆται λόγῳ τὸ πρῶτον, καὶ μὴ ὑπὸ τῆς ἑαυτοῦ ἀλογίας βλάπτηται, εἶτα δὲ σαφηνείᾳ, οὐ πέφυκε
112 γὰρ θυμὸς σαφηνείας εἶναι φίλος. Τῶν γοῦν ὀρ- 84
M. γιζομένων οὐ μόνον ἡ διάνοια, ἀλλὰ καὶ τὰ ῥήματα P.
ταραχῆς καὶ συγχύσεως γέμει· οἰκεῖον οὖν ἦν τὴν τοῦ θυμοῦ σαφήνειαν ἐπανορθωθῆναι σαφηνείᾳ, ἐπὶ τούτοις ἀληθότητι. Μετὰ γὰρ τῶν ἄλλων καὶ τοῦτο ἔχει ὁ θυμὸς ἴδιον, τὸ ψεύδεσθαι. Τῶν γοῦν χρωμένων τῷ πάθει τούτῳ σχεδὸν οὐδεὶς ἀληθεύει, ἅτε μέθῃ κεκρατημένος ψυχῆς, οὐ σώματος. Ταῦτα ἀλεξιφάρμακα τοῦ θυμικοῦ μέρους ἐστὶ, λόγος, σαφήνεια λόγου, ἀλήθεια αὐτοῦ· ἓν γάρ ἐστι δυνάμει τὰ τρία, λόγος σὺν ἀρεταῖς, ἀληθότητι καὶ σαφηνείᾳ, θυμὸν, νόσημα χαλεπὸν ψυχῆς ἰώμενος.

§. 43. Τίνος οὖν ἐστι φέρειν ταῦτα; Οὐχὶ τῆς ἐμῆς ἢ τῆς τοῦ τυχόντος διανοίας, ἀλλὰ τῆς ἱερωμένης καὶ θυούσης καθαρῶς, τῆς Ἀαρών. Καὶ οὐδὲ ταύτης ἀεὶ, πολλάκις γὰρ τρέπεται, ἀλλ᾽ ὅταν ἀτρέπτως διάγῃ, ὅταν εἰςπορεύηται εἰς τὸ ἅγιον, ὅταν συνειςπορεύηται ὁ λογισμὸς ταῖς ἁγίαις γνώμαις, καὶ μὴ τούτων ἀποδιδράσκῃ. Ἀλλὰ πολλάκις συνειςέρχεται μὲν ὁ νοῦς εἰς ἱερὰς καὶ ὁσίας καὶ κεκαθαρμένας δόξας, ἀλλὰ ἀνθρωπίνους ταύτας, οἷον τὰς περὶ τῶν καθηκόντων, τὰς περὶ τῶν κατορθωμάτων, τὰς περὶ τῶν θέσει νομίμων, τὰς περὶ τῆς κατ᾽ ἀνθρώπους ἀρετῆς. Οὐδ᾽ ὁ τοῦτον διακείμενος τὸν τρόπον ἱκανός ἐστι τὸ λόγιον φέρειν ἐπὶ τοῦ στήθους μετὰ τῶν ἀρετῶν, ἀλλὰ μόνος ὁ ἐναντίον κυρίου εἰςιὼν, τουτέστιν ὁ ἕνεκα θεοῦ πάντα πράττων, καὶ μηδὲν τῶν μετὰ θεὸν ὑπερτιμῶν, ἀλλὰ νέ-

μων μὲν καὶ τούτοις τὰ κατ' ἀξίαν, μὴ ἱστάμενος μέντοι ἐπ' αὐτῶν, ἀλλ' ἀνατρέχων ἐπὶ τὴν γνῶσιν καὶ ἐπιστήμην καὶ τιμὴν τοῦ ἑνός. Τῷ γὰρ οὕτως διακειμένῳ ἡνιοχηθήσεται ὁ θυμὸς ὑπὸ τοῦ λόγου κεκαθαρμένου, τὸ ἄλογον αὐτοῦ περιαιροῦντος, καὶ ὑπὸ σαφηνείας τὸ ἀσαφὲς καὶ συγκεχυμένον θεραπευούσης, καὶ ὑπὸ ἀληθότητος τὸ ψεῦδος ἀποκοπτούσης.

§. 44. Ὁ μὲν οὖν Ἀαρών, δεύτερος γάρ ἐστι Μωϋσῆς, ἐκτέμνων τὸ στῆθος, ὅπερ ἐστὶ τὸν θυμόν, οὐκ ἐᾷ αὐτὸν ἀκρίτοις ὁρμαῖς ἐκφέρεσθαι, δεδιὼς μήποτε ἀφεθεὶς, ἵππου τρόπον ἀνασκιρτήσας, ὅλην πατήσῃ τὴν ψυχήν· ἀλλὰ θεραπεύει καὶ ἐπιστομίζει τὸ μὲν πρῶτον λόγῳ, ἵνα ἡνιόχῳ χρώμενος ἀρίστῳ, μὴ σφόδρα ἀφηνιάζῃ, ἔπειτα δὲ ταῖς ἀρεταῖς τοῦ λόγου, σαφηνείᾳ καὶ ἀληθείᾳ. Εἰ γὰρ παιδευθείη ὁ θυμὸς οὕτως, ὥστε καὶ λόγῳ εἴκειν καὶ σαφηνείᾳ, καὶ τὸ ἀψευδὲς ἀσκεῖν, ἑαυτόν τε τῆς πολλῆς ζέσεως ἀπαλλάξει, τήν τε ὅλην ψυχὴν ἵλεων κατασκευάσει.

§. 45. Ἀλλ' οὗτος μὲν, ὡς ἔφην, ἔχων τὸ πάθος, ἰᾶσθαι αὐτὸ πειρᾶται τοῖς λεχθεῖσι σωτηρίοις
13 φαρμάκοις. Μωϋσῆς δὲ ὅλον τὸν θυμὸν ἐκτέμνειν 85
I. καὶ ἀποκόπτειν οἴεται δεῖν τῆς ψυχῆς, οὐ μετριοπά- P.
θειαν, ἀλλὰ συνόλως ἀπάθειαν ἀγαπῶν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ὁ ἱερώτατος χρησμός. „Λαβὼν γὰρ," φησὶ, „Μωϋσῆς τὸ στηθύνιον, ἀφεῖλεν αὐτὸ ἐπίθεμα ἐναντίον κυρίου, ἀπὸ τοῦ κριοῦ τῆς τελειώσεως, καὶ ἐγένετο Μωϋσεῖ ἐν μερίδι." *) Πάνυ καλῶς· τοῦ γὰρ φιλαρέτου καὶ θεοφιλοῦς ἔργον ἦν, τὴν ὅλην ψυχὴν θεασάμενον λαβέσθαι τοῦ στήθους, ὅπερ ἐστὶ τοῦ θυμοῦ, καὶ ἀφελεῖν αὐτὸν καὶ ἀποκόψαι, ἵνα τοῦ πολεμικοῦ μέρους ἐκτμηθέντος, εἰρήνην τὸ λοιπὸν ἄγῃ. Ἀφαιρεῖ δὲ οὐκ ἀπὸ τοῦ τυ-

---

*) Lev. 8, 29.

χόντος ζώου, ἀλλ᾽ ἀπὸ κριοῦ τῆς τελειώσεως, καί τοι καὶ μόσχος ἱερουργήθη. Ἀλλὰ τοῦτον παρελθὼν, ἐπὶ τὸν κριὸν ἦλθε, διότι κρουστικὸν φύσει ζῶόν ἐστι καὶ θυμικὸν καὶ ὁρμητικον, παρ᾽ ὃ καὶ οἱ μηχανοποιοὶ τὰ πολλὰ τῶν πολεμιστηρίων ὀργάνων κριοὺς κατασκευάζουσι. Τὸ κριῶδες οὖν καὶ ὁρμητικὸν καὶ ἄκριτον ἐν ἡμῖν ἐστι τὸ ἐριστικὸν εἶδος. Ἔρις δὲ μήτηρ ἐστὶ θυμοῦ· παρ᾽ ὃ καὶ οἱ φιλονεικότεροι, ἔν τε ταῖς συζητήσεσι καὶ ἐν ταῖς ἄλλαις ὁμιλίαις ῥᾷστα ὀργίζονται. Τῆς οὖν ἐριστικῆς καὶ φιλονείκου ψυχῆς πλημμελὲς γέννημα θυμὸν ἐκτέμνει δεόντως, ἵνα στειρωθεῖσα παύσηται βλαβερὰ τίκτουσα, καὶ γένηται μερὶς τοῦτο ἁρμόζουσα τῷ φιλαρέτῳ, οὐ τὸ στῆθος, οὐδ᾽ ὁ θυμὸς, ἀλλὰ τὸ ἀφελεῖν αὐτά. Μοῖραν γὰρ ὁ θεὸς ἔνειμεν ἀρίστην τῷ σοφῷ τὸ ἐκτέμνειν τὰ πάθη δύνασθαι. Ὁρᾷς πῶς ὁ τέλειος τελείαν ἀπάθειαν ἀεὶ μελετᾷ. Ἀλλ᾽ ὅγε προκόπτων, δεύτερος ὢν, Ἀαρὼν, μετριοπαθῶς, ὡς ἔφην, ἀσκεῖ· ἐκτεμεῖν γὰρ ἔτι τὸ στῆθος καὶ τὸν θυμὸν ἀδυνατεῖ. Φέρει δὲ ἐπ᾽ αὐτὸν τὸν ἡνίοχον σὺν ταῖς προςφυέσιν ἀρεταῖς λόγου, τὸ λόγιον, ἐφ᾽ οὗ δήλωσίς ἐστι καὶ ἀλήθεια.

§. 46. Παραστήσει δὲ σαφέστερον τὴν διαφορὰν καὶ διὰ τοῦτο. "Τὸ γὰρ στηθύνιον," φησὶ, "τοῦ ἐπιθέματος, καὶ τὸν βραχίονα τοῦ ἀφαιρέματος εἴληφα παρὰ τῶν υἱῶν Ἰσραὴλ ἀπὸ τῶν θυσιῶν τοῦ σωτηρίου ὑμῶν, καὶ ἔδωκα αὐτὰ Ἀαρὼν, καὶ τοῖς υἱοῖς αὐτοῦ." *) Ὁρᾷς ὅτι οὐκ εἰσὶν οὗτοι ἱκανοὶ τὸ στῆθος μόνον λαβεῖν, ἀλλὰ σὺν τῷ βραχίονι, Μωϋσῆς δὲ χωρὶς τοῦ βραχίονος. Διὰ τί; Ὅτι ὁ μὲν τέλειος ὢν βραχὺ καὶ ταπεινὸν οὐδὲν φρονεῖ, οὐδὲ μετριοπαθεῖν βούλεται, ἀλλ᾽ ἐκ περιουσίας ὅλα τὰ πάθη δι᾽ ὅλων ἀπέκοψεν. Οἱ δὲ βραχέως καὶ οὐ μεγάλως ὁρμῶσιν ἐπὶ τὸν τῶν παθῶν

*) Lev. 7, 34.

πόλεμον, ἀλλὰ καταλλάττονται καὶ σπονδὰς πρὸς
14 αὐτὰ τίθενται, τὸν συμβατήριον λόγον προτείνον-
I. τες, ἵν᾽ οὕτως ἡνιοχῶν ἐμιστομίζῃ τὴν ἐπιπλέον αὐ-
τῶν φοράν. Ἔστι δὲ καὶ σύμβολον ὁ βραχίων πό-
νου καὶ κακοπαθείας· τοιοῦτος δὲ ὁ θεραπευτὴς καὶ 86
λειτουργὸς τῶν ἁγίων, ἀσκήσει καὶ πόνῳ χρώμενος. P.
Ἄπονος δὲ ἔστιν ᾧ ὁ θεὸς χαρίζεται κατὰ πολλὴν περιουσίαν τὰ ἀγαθὰ τέλεια. Βραχύτερος δὲ εὑρίσκεται καὶ ἀτελέστερος, ὁ πόνῳ κτώμενος τὴν ἀρετὴν, τοῦ ἀπόνως καὶ εὐμαρῶς αὐτὴν παρὰ θεοῦ λαβόντος Μωϋσέως. Καὶ γὰρ αὐτὸ τὸ πονεῖν βραχύτερον καὶ ἔλαττόν ἐστι τοῦ ἀπόνου· οὕτω καὶ τὸ ἀτελὲς τοῦ τελείου, καὶ τὸ μανθάνον τοῦ αὐτομαθοῦς. Διὰ τοῦτο σὺν μὲν βραχίονι λαμβάνει τὸ στῆθος Ἀαρὼν, ἄνευ δὲ βραχίονος Μωϋσῆς. Τὸ στηθύνιον δὲ ἐπιθέματος καλεῖ διὰ τοῦτο, ὅτι ἐπικεῖσθαι δεῖ τῷ θυμῷ καὶ ἐφιδρύσθαι τὸν λόγον, ὡσανεί τινα ἡνίοχον εὐθύνοντα σκληραύχενα καὶ ἀφηνιαστὴν ἵππον· τὸν δὲ βραχίονα, οὐκέτι ἐπιθέματος, ἀλλ᾽ ἀφαιρέματος, διὰ τόδε, ὅτι δεῖ τὸν ὑπὲρ ἀρετῆς πόνον μὴ ἑαυτῇ προσάγειν τὴν ψυχὴν, ἀλλ᾽ ἀφελεῖν ἀφ᾽ ἑαυτῆς καὶ θεῷ ἀνενεγκεῖν, ὁμολογοῦσαν ὅτι οὐχ ἡ ἰσχὺς αὐτῆς οὐδὲ ἡ δύναμις περιεποίησε τὸ καλὸν, ἀλλὰ καὶ ὁ τὸν ἔρωτα χαρισάμενος. Οὔτε δὲ στηθύνιον, οὔτε ὁ βραχίων λαμβάνεται, πλὴν ἀπὸ τῆς θυσίας τοῦ σωτηρίου, κατὰ τὸ εἰκός. Τότε γὰρ ἡ ψυχὴ σώζεται, ὅταν καὶ ὁ θυμὸς ἡνιοχηθῇ ὑπὸ λόγου, καὶ ὁ πόνος μὴ οἴησιν ἐγκατασκευάσῃ, ἀλλὰ παραχωρήσῃ τῷ εὐεργέτῃ θεῷ.

§. 47. Τὸ δὲ μὴ μόνον ἐπὶ τῷ στήθει, ἀλλὰ καὶ τῇ κοιλίᾳ πορεύεσθαι τὴν ἡδονὴν, εἴπομεν ἤδη, οἰκειότατον δηλοῦντες ἡδονῆς χωρίον, τὴν γαστέρα. Σχεδὸν γὰρ ἀγγεῖον τῶν ἡδονῶν ἁπασῶν αὕτη ἐστί. Πληρωθείσης γὰρ τῆς γαστρὸς, ὀρέξεις καὶ τῶν ἄλλων ἡδονῶν γίνονται σύντονοι· κενωθείσης δὲ, ἠρεμαῖαι καὶ σταθερώτεραι. Διὸ καί φησιν ἑτέρωθι,

„Πᾶς ὁ πορευόμενος ἐπὶ κοιλίᾳ, πᾶς ὁ πορευόμενος ἐπὶ τεσσάρων διαπαντὸς, ὃς πολυπληθεῖ ποσὶν, ἀκάθαρτός ἐστι.“ *) Τοιοῦτος δὲ ὁ φιλήδονος ἀεὶ χωρῶν ἐπὶ γαστέρα καὶ τὰς μετὰ ταῦτα ἡδονάς. Τῷ δὲ ἕρποντι ἐπὶ κοιλίαν τὸν ἐπὶ τεσσάρων βαδίζοντα ἥνωκεν, εἰκότως· τέτταρα γάρ ἐστι τὰ πάθη τῶν ἐν ἡδονῇ, ὥς τις κατ᾽ ἐξαίρετον λόγος μέμνηται. Ἀκάθαρτος οὖν ὁ καὶ τῷ ἑνὶ χρώμενος τῇ ἡδονῇ, καὶ ὁ πᾶσιν ἐφορμῶν τοῖς τέσσαρσι. Τούτων εἰρημένων, ἴδε διαφορὰν πάλιν τελείου καὶ προκόπτοντος. Ὥςπερ οὖν πρότερον εὑρίσκετο ὁ μὲν τέλειος ὅλον ἐκτέμνων τὸν θυμὸν τῆς ἐριστικῆς ψυχῆς, καὶ ποιῶν αὐτὴν τιθασσὸν καὶ χειροήθη, καὶ εἰρηναῖον, καὶ ἵλεων πρὸς πάντα ἔργῳ τε καὶ λόγῳ.
115 Ὁ δὲ προκόπτων, οὐ δυνάμενος μὲν ἀποκόψαι τὸ
M. πάθος, φέρει γὰρ τὸ στῆθος, παιδεύων δὲ αὐτὸ λόλῳ κεκριμένῳ, ἔχοντι δύο ἀρετὰς, σαφήνειαν καὶ ἀλήθειαν.

§. 48. Οὕτω καὶ νῦν εὑρεθήσεται ὁ μὲν σοφὸς τελείως ἡδονὰς ἀποῤῥιπτόμενος καὶ ἀποσειόμενος, Μωϊσῆς· ὁ δὲ προκόπτων, οὐχ ἅπασαν, ἀλλὰ τὴν μὲν ἀναγκαίαν καὶ ἁπλῆν προσιέμενος, τὴν δὲ περίεργον καὶ περιττὴν κατὰ τὰς ἐπεντρώσεις παραιτούμενος. Ἐπὶ γὰρ Μωϋσέως φησὶν οὕτως, „Καὶ τὴν κοιλίαν καὶ τοὺς πόδας ἔπλυνεν ὕδατι τοῦ ὁλοκαυτώματος·“ **) πάνυ καλῶς. Ὅλην γὰρ τὴν ψυχὴν ἀξίαν οὖσαν θεῷ προσάγεσθαι, διὰ τὸ μηδένα ἔχειν μήθ᾽ ἑκούσιον μήτ᾽ ἀκούσιον μῶμον, ὁ σοφὸς καθαγιάζει. Οὕτω δὲ διακείμενος, ὅλην τὴν γαστέρα καὶ τὰς αὐτῆς καὶ μετ᾽ αὐτὴν ἡδονὰς ἐκπλύνει καὶ ἀπολούεται καὶ ἀποῤῥύπτεται, οὐχὶ μέρος τι. Ἀλλ᾽ οὕτω καταφρονητικῶς ἔσχηκεν αὐτῆς, ὥστε οὐδὲ τὰ ἀναγκαῖα σιτία ἢ ποτὰ προσίεται, θεωρίᾳ τῶν θείων

*) Lev. 11, 42.

**) Lev. 9, 14.

τρεφόμενος. Διὸ καὶ ἐν ἑτέροις μαρτυρεῖται αὐτῷ, "Τετταράκοντα ἡμέρας ἄρτον οὐκ ἔφαγε, καὶ ὕδωρ οὐκ ἔπιεν," *) ὅτε ἐν τῷ θείῳ ὄρει γενόμενος χρησμῶν θεοῦ νομοθετοῦντος ἤκουεν. Ἀλλ' οὐ μόνον ὅλῃ τῇ γαστρὶ ἀποτάττεται, ἀλλὰ καὶ τοὺς πόδας αὐτῇ συναποῤῥύπτεται, τουτέστι τὰς ἐπιβάσεις τῆς ἡδονῆς· ἐπιβάσεις δὲ ἡδονῆς εἰσι τὰ ποιητικὰ αὐτῆς. Ὅ τε γὰρ προκόπτων λέγεται "τὰ ἐγκοίλια καὶ τοὺς πόδας λούειν," **) οὐ τὴν ὅλην κοιλίαν. Ἱκανὸς γὰρ οὐκ ἔστι πᾶσαν ἡδονὴν διώσασθαι, ἀγαπητὸν δὲ, ἐὰν τὰ ἐγκοίλια αὐτῆς, τουτέστι τὰ ἐπεντρώματα, ἅ φασιν οἱ φιλήδονοι ἐπιδύσεις εἶναί τινας τῶν προηγουμένων ἡδονῶν, ἃ γίνεται ὀψαρτυτῶν καὶ σιτοπόνων λίχνων περιεργίᾳ.

§. 49. Καὶ προςεπιτείνει τὴν τοῦ προςπίπτοντος μετριοπάθειαν, τῷ τὸν μὲν ἄνευ προστάξεως παραιτεῖσθαι ὅλην τὴν γαστρὸς ἡδονὴν, τὸν δὲ προκόπτοντα μετὰ προστάξεως. Ἐπὶ μὲν γὰρ τοῦ σοφοῦ λέγεται οὕτως, "τὴν κοιλίαν καὶ τοὺς πόδας ὕδατι πλύνει," ***) ἀνεπικελεύστως κατὰ τὴν ἑκούσιον γνώμην. Ἐπὶ δὲ τῶν ἱερέων οὕτως, "τὰ δὲ ἐγκοίλια καὶ τοὺς πόδας" οὐχὶ ἔπλυναν, ἀλλὰ "πλυνοῦσι"· ****) σφόδρα παρατετηρημένως. Δεῖ γὰρ τὸν μὲν τέλειον ἐξ ἑαυτοῦ κινεῖσθαι πρὸς τὰς κατ' ἀρετὴν ἐνεργείας· τὸν δὲ ἀσκητὴν, μετὰ τοῦ ὑφηγουμένου τὰ πρακτέα λόγου, ᾧ προστάττοντι πείθε-
16 σθαι καλόν. Οὐ δεῖ δὲ ἀγνοεῖν, ὅτι Μωϋσῆς ὅλην τὴν κοιλίαν, τουτέστι τὴν γαστρὸς ἐκπλήρωσιν, παραιτούμενος, σχεδὸν καὶ τοῖς ἄλλοις πάθεσιν ἀποτάττεται· τοῦ νομοθέτου ἀπὸ μέρους ἑνὸς τὸ σύμπαν ἐναργῶς παριστάντος, καὶ ἀπὸ συνεκτικωτά-

*) Exod. 34, 28.
**) Lev. 1, 9.
***) Lev. 9, 14.
****) Lev. 1, 13.

του περὶ τῶν ἄλλων ἐν οἷς ἡσύχαζε, δυνάμει διεξιόντος.

§. 50. Συνεκτικώτατον ἡ γαστρὸς ἐκπλήρωσις, καὶ ὡςανεὶ θεμέλιός τις τῶν ἄλλων παθῶν. Οὐδὲν γοῦν ἐκείνων δύναται συστῆναι, μὴ ἐπερειδόμενον γαστρὶ, ἐφ᾽ ᾗ πάντα ἐφίδρυκεν ἡ φύσις. Διὰ τοῦτο γεννηθέντων τῶν ἐκ τῆς Λείας προτέρων τῶν ἀγαθῶν ψυχικῶν, καὶ στάντων ἐπὶ τῆς ἐξομολογήσεως Ἰούδα, *) μέλλων ὁ θεὸς δημιουργεῖν καὶ τὰς σώματος προκοπὰς, Βάλλαν τὴν Ῥαχὴλ παιδίσκην καὶ πρὸ τῆς δεσποίνης τίκτειν παρασκευάζει. Βάλλα δέ ἐστιν ἐγκατάποσις. Ἤδει γὰρ ὅτι οὐδὲν τῶν σωματικῶν ἄνευ καταπόσεως καὶ γαστρὸς ὑποστῆναι δύναται, ἀλλὰ αὕτη κρατεῖ καὶ ἡγεμονεύει παντὸς τοῦ σώματος, καὶ τοῦ κατὰ τὸ ζῆν ψιλὸν ὄγκου. Παρατήρει δὲ πᾶσαν τὴν λεπτολογίαν, οὐδὲν γὰρ λεχθὲν παρέργως εὑρήσεις. Μωϋσῆς μὲν τὸ "στηθύνιον ἀφαιρεῖται," τὴν δὲ κοιλίαν οὐκ ἀφαιρεῖ μὲν, "πλύνει" δέ. **) Διὰ τί; Ὅτι ὁ τέλειος σοφὸς ὅλον μὲν τὸν θυμὸν ἰσχύει παραιτήσασθαι καὶ ἀποκόψαι, ὀργῆς κατεξαναστὰς, τὴν δὲ κοιλίαν ἐκτεμεῖν ἀδυνατεῖ. Τοῖς γὰρ ἀναγκαίοις σιτίοις καὶ ποτοῖς ἡ φύσις βιάζεται χρῆσθαι, καὶ τὸν ὀλιγοδεέστατον καὶ καταφρονητικὸν αὐτῶν τῶν ἀναγκαίων, καὶ ἀσιτίαν αὐτῶν μελετῶντα. Πλυνέτω οὖν αὐτὴν καὶ καθαιρέτω ἀπὸ τῶν περιττῶν καὶ ἀκαθάρτων παρασκευῶν· ἱκανὴ γὰρ καὶ αὕτη παρὰ θεοῦ τῷ φιλαρέτῳ δωρεά.

§. 51. Διὰ τοῦτο ἐπὶ τῆς ὑπονοηθείσης διεφθάρθαι ψυχῆς φησιν, ***) ὅτι ἂν μὲν ἀπολελοιπυῖα τὸν ὀρθὸν λόγον, ὅς ἐστιν ἀνὴρ νόμιμος, εὑρεθῇ προςκεχωρηκυῖα τῷ μιαίνοντι τὴν ψυχὴν πάθει,

---

*) Gen. 29, 35.

**) Lev. 8, 29, 9, 14.

***) Num. 5, 27 sqq.

“πρησθήσεται τὴν γαστέρα,” ὅπερ ἦν, ἀπληρώτους
καὶ ἀκορέστους ἕξει τῆς γαστρὸς ἡδονὰς καὶ ἐπιθυ-
μίας, καὶ οὐδέποτε παύσεται ἄπληστος οὖσα δι᾽ ἀπαι-
δευσίαν, ἀλλ᾽ ἀμυθήτων ἐπιῤῥεόντων, ἀΐδιον ἕξει τὸ
πάθος. Οἶδα οὖν πολλοὺς οὕτω πταίοντας περὶ
τὴν τῆς γαστρὸς ἐπιθυμίαν, ὥςτε ἔτι αὐτοῖς χρησό-
μενοι πάλιν ἐπὶ τὸν ἄκρατον καὶ τὰ ἄλλα ὥρμησαν·
οὐ γὰρ ἀναλογεῖ τοῖς σωματικοῖς ὄγκοις ἡ τῆς ἀκρά-
τορος ψυχῆς ἐπιθυμία. Ἀλλ᾽ οἱ μὲν, ἅτε ἀγγεῖα
ὄντες μεμετρημένα, ἄμετρον οὐδὲν προςίενται, ἀλλὰ
τὸ περιττὸν ἐκβάλλουσιν· ἡ δὲ ἐπιθυμία πληροῦται
μὲν οὐδέποτε, μένει δὲ ἐνδεὴς καὶ διψαλέα ἀεί.
17 Παρ᾽ ὃ καὶ τὸ ἀκόλουθον προςτίθεται τῷ “πρη-
I. σθῆναι τὴν γαστέρα” τὸ “διαπεσεῖν τὸν μηρόν.”
Διαπίπτει γὰρ τότε τῇ ψυχῇ καὶ ὁ σπερματικὸς καὶ
γεννητικὸς τῶν καλῶν λόγος ὀρθός. “Ἐὰν γοῦν,”
φησὶ, “μὴ μιανθῇ, καὶ καθαρὰ καὶ ἀθῷος ἔσται
ἐκ σπερμάτων εἰς σπέρμα.” Ἐὰν ὑπὸ πάθους μὴ
μιανθῇ, καθαρεύσῃ δὲ πρὸς τὸν νόμιμον ἄνδρα,
τὸν ὑγιῆ καὶ ἡγεμόνα λόγον, γόνιμον ἕξει ψυχὴν καὶ
καρποφόρον, φέρουσαν γέννημα φρονήσεως καὶ δι-
καιοσύνης καὶ τῆς συμπάσης ἀρετῆς.

§. 52. Ἆρ᾽ οὖν ἡμᾶς ἐνδεδεμένους σώματι οἷόν 89
τε σωματικαῖς ἀνάγκαις μὴ χρῆσθαι; Καὶ πῶς ἔνε- P.
στιν; Ἀλλ᾽ ὅρα. Ὁ ἱεροφάντης τὸν τρόπον παραγ-
γέλλει τῷ ἀγομένῳ ὑπὸ σωματικῆς χρείας αὐτῷ μό-
νῳ χρῆσθαι τῷ ἀναγκαίῳ. “Πρῶτον μὲν,” φησὶ,
“τόπος ἔστω σοι ἔξω τῆς παρεμβολῆς,” *) παρεμβο-
λὴν καλῶν τὴν ἀρετὴν, ἐν ᾗ ἐστρατοπέδευκεν ἡ ψυ-
χή· οὐ γὰρ δύναται τὸν αὐτὸν κρατεῖν χῶρον φρό-
νησις, καὶ σωματικῆς ἀνάγκης ἀπόλαυσις. Εἶτα
“Ἐξελεύσῃ,” φησὶν, “ἐκεῖ ἔξω.” Διὰ τί; Ὅτι οὐ
δύναται ἡ ψυχὴ καταμένουσα μετὰ φρονήσεως, καὶ
ἐν τῷ οἴκῳ διατρίβουσα τῆς σοφίας, χρῆσθαί τινι

*) Deut. 23, 12.

τῶν φίλων σώματος· τρέφεται γὰρ τότε θειοτέραις τροφαῖς ἐν ταῖς ἐπιστήμαις, δι᾽ ἃς καὶ τῆς σαρκὸς ἀμελεῖ. Ἐπειδὰν γὰρ ἐξέλθῃ τῶν ἱερῶν ἀρετῆς ὀσσῶν, τηνικαῦτα ἐπὶ τὰς τὸ σῶμα πλημμελούσας καὶ πιεζούσας ὕλας τρέπεται. Πῶς οὖν αὐταῖς χρήσομαι; "Πάσσαλος ἔστω σοι," φησὶν, "ἐπὶ τῆς ζώνης σου, καὶ ὀρύξεις ἐν αὐτῷ," *) τουτέστι λόγος ἐπὶ τοῦ πάθους ἐξορύττων καὶ ἀναστέλλων καὶ ἀπαμφιεννὺς αὐτό. Ἀνεζῶσθαι γὰρ βούλεται ἡμᾶς τὰ πάθη, ἀλλὰ μὴ ἀνειμένα καὶ κεχαλασμένα φορεῖν. Διὸ καὶ ἐπὶ τῆς διαβάσεως αὐτῶν, ὃ καλεῖται πάσχα, προστάττει τὰς "ὀσφῦς περιεζῶσθαι," **) ἤτοι συνεστάλθαι τὰς ἐπιθυμίας. Πάσσαλος οὖν, τουτέστι λόγος, ἑπέσθω τῷ πάθει, κωλύων αὐτὸ χεῖσθαι. Οὕτω γὰρ αὐτοῖς μόνοις χρησόμεθα τοῖς ἀναγκαίοις, τῶν δὲ περιττῶν ἀφεξόμεθα.

§. 53. Καὶ ἂν ἐν συνουσίαις ὄντες καὶ μέλλοντες εἰς ἀπόλαυσιν καὶ χρῆσιν τῶν παρεσκευασμένων ἐλθεῖν, σὺν λόγῳ παραγενώμεθα, ὥςπερ ὅπλῳ τινὶ ἀμυντηρίῳ, οὔτε πέραν τοῦ μετρίου σιτίων ἐμφορησθησόμεθα αἰθυιῶν τρόπον, οὔτ᾽ ἀκράτῳ ἀμέτρῳ κορεσθέντες μέθῃ ληραίνειν ἀναγκαζούσῃ χρησόμεθα· ἐπιστομιεῖ γὰρ ὁ λόγος καὶ ἐγχαλινώσει τὴν ῥύ-
118 μην καὶ φορὰν τοῦ πάθους. Ἐγὼ γοῦν αὐτὸ πολ-
M. λάκις παθὼν οἶδα. Εἰς γὰρ ἀδιάγωγον συνουσίαν ἐλθὼν καὶ πολυτελῆ δεῖπνα, ὁπότε μὴ ἀφικοίμην σὺν λόγῳ, δοῦλος ἐγενόμην τῶν παρεσκευασμένων, ἀγόμενος ὑπὸ δεσποτῶν ἀτιθάσσων, θεαμάτων καὶ ἀκουσμάτων, καὶ τῶν ὅσα διὰ μυκτῆρος καὶ γεύσεως ἡδονὰς ἀπεργάζεται. Ὁπότε δὲ μετὰ τοῦ αἱροῦντος λόγου, δεσπότης ἀντὶ δούλου γίνομαι, καὶ ἀνακράτος νικῶ καλὴν νίκην καρτερίας καὶ σωφροσύνης, ἀντιβαίνων καὶ ἀντιφιλονεικῶν πᾶσι τοῖς ἀναῤῥη-

*) Deut. 23, 12.
**) Exod. 12, 11.

γνῶσι τὰς ἀκράτορας ἐπιθυμίας. "Θωρήξῃ," φησὶ γοῦν, "τῷ πασσάλῳ," *) τουτέστιν ἣν ἕκαστον ἔχει φύσιν, τὸ φαγεῖν, τὸ πιεῖν, τὸ τοῖς μετὰ γαστέρα χρῆσθαι, τῷ λόγῳ γυμνώσεις, καὶ διαστείλῃς, ἵνα διακρίνας γνῷς τὸ ἀληθές. Τότε γὰρ εἴσῃ ὅτι ἐν 90
οὐδενὶ τούτων ἐστὶ τὸ ἀγαθὸν, ἀλλὰ τὸ ἀναγκαῖον P.
μόνον καὶ χρήσιμον. "Καὶ ἐπαγαγὼν καλύψεις τὴν ἀσχημοσύνην σου·" **) πάνυ καλῶς. Ἄγαγε γὰρ, ὦ ψυχὴ, τὸν λόγον ἐπὶ πάντα, ᾧ καλύπτεται καὶ συσκιάζεται καὶ συγκρύπτεται πᾶσα ἀσχημοσύνη σαρκὸς καὶ πάθους. Τὰ γὰρ μὴ σὺν λόγῳ πάντα αἰσχρὰ, ὥςπερ τὰ σὺν λόγῳ κόσμια. Οὐκοῦν ὁ μὲν φιλήδονος ἐπὶ κοιλίαν βαδίζει, ὁ δὲ τέλειος τὴν κοιλίαν ὅλην ἐκπλύνει, ὁ δὲ προκόπτων, τὰ ἐν κοιλίᾳ. Ὁ δὲ ἄρτι ἀρχόμενος παιδεύεσθαι ἔξω πρόεισιν, ὅταν μέλλῃ τῆς γαστρὸς, τοῖς ἀναγκαίοις ἐπιφερόμενος λόγον, ἐπιστομιεῖν τὸ πάθος, ὃς εἴρηται συμβολικῶς πάσσαλος.

§. 54. Εὖ μέντοι καὶ τὸ προςθεῖναι, "Πορεύσῃ ἐπὶ τῷ στήθει καὶ τῇ κοιλίᾳ." ***) Ἡ γὰρ ἡδονὴ οὐκ ἔστι τῶν ἠρεμούντων καὶ ἱσταμένων, ἀλλὰ τῶν κινουμένων καὶ ταραχῆς γεμόντων. Ὥςπερ γὰρ ἡ φλὸξ ἐν κινήσει, οὕτω φλογμοῦ τινα τρόπον τὸ πάθος ἐν ψυχῇ κινούμενον, ἠρεμεῖν αὐτὴν οὐκ ἐᾷ. Διὸ καὶ τοῖς λέγουσι καταστηματικὴν εἶναι τὴν ἡδονὴν οὐ συμφέρεται· ἠρεμία γὰρ λίθῳ μὲν καὶ ξύλῳ καὶ παντὶ ἀψύχῳ οἰκεῖον, ἀλλότριον δὲ ἡδονῇ. Γαργαλισμοῦ γὰρ καὶ σπασμώδους ἐφίεται, καὶ ἐπ᾽ ἐνίων οὐκ ἠρεμίας ἀλλὰ συντόνου καὶ σφοδρᾶς αἰκίσεώς ἐστι χρεία.

§. 55. Τὸ δὲ "Γῆν φάγεσαι πάσας τὰς ἡμέρας

---

*) Deut. 23, 12.
**) Deut. 23, 13.
***) Gen. 3, 14.

τῆς ζωῆς σου," *) τοῦτο προςφυῶς εἴρηται. Τῆς
119 γὰρ σώματος τροφῆς ἡδοναὶ γήϊναι. Καὶ μήποτ'
M. εἰκότως; Δύο ἐστὶν ἐξ ὧν συνέσταμεν, ψυχή τε καὶ
σῶμα. Τὸ μὲν οὖν σῶμα ἐκ γῆς δεδημιούργηται,
ἡ δὲ ψυχὴ αἰθέρος ἐστὶν, ἀπόσπασμα θεῖον. "Ἐνεφύσησε γὰρ εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς ὁ
θεὸς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζωῆς." **)
Εὐλόγως οὖν τὸ μὲν ἐκ γῆς διαπλασθὲν σῶμα συγγενεῖς ἔχει τροφὰς ἃς ἀναδίδωσιν ἡ γῆ, ἡ δὲ αἰθερίου φύσεως μοῖρα οὖσα ψυχὴ πάλιν αἰθερίους καὶ
θείας· ἐπιστήμαις γὰρ τρέφεται, καὶ οὐ σιτίοις ἢ
ποτοῖς, ὧν ἐπιδεές ἐστι τὸ σῶμα.

§. 56. Ὅτι δὲ οὐ γήϊνοι ἀλλ' οὐράνιοι αἱ ψυχῆς τροφαὶ, μαρτυρήσει διὰ πλειόνων ὁ ἱερὸς λόγος. "Ἰδοὺ
ἐγὼ ὕω ὑμῖν ἄρτους τοῦ οὐρανοῦ, καὶ ἐξελεύσεται ὁ
λαὸς, καὶ συνάξουσι τὸ τῆς ἡμέρας εἰς ἡμέραν, ὅταν
πειράσω αὐτοὺς, εἰ πορεύσονται τῷ νόμῳ μου ἢ
οὔ." ***) Ὁρᾷς ὅτι οὐ γηΐνοις καὶ φθαρτοῖς τρέφεται ἡ ψυχὴ, ἀλλ' οἷς ἂν ὁ θεὸς ὀμβρήσῃ λόγοις
ἐκ τῆς μεταρσίου καὶ καθαρᾶς φύσεως, ἣν οὐρανὸν
κέκληκεν; "Ἐξίτω μέντοι ὁ λεὼς," καὶ πᾶν τὸ τῆς
ψυχῆς σύστημα, καὶ συναγαγέτω καὶ ἀρχέσθω τῆς
ἐπιστήμης, μὴ ἀθρόως, ἀλλὰ "τὸ τῆς ἡμέρας εἰς
ἡμέραν." Πρῶτον μὲν γὰρ ἀθρόον οὐ κενώσει τὸν 91
πολὺν πλοῦτον τῶν τοῦ θεοῦ χαρίτων, ἀλλὰ τῇ P.
φορᾷ χειμάῤῥου τρόπον ἐπικλυσθήσεται. Ἔπειτ'
ἔστιν αὐτάρκη λαβόντας ἀγαθὰ καὶ μεμετρημένα
τῶν λοιπῶν ταμίαν οἰηθῆναι θεόν. Ὁ δὲ πάντα
μετρῶν ἀθρόον, δυςελπιστίαν μετὰ πολλῆς ἀνίας
κτᾶται· δύςελπις γὰρ, εἰ νῦν μόνον ἀλλὰ καὶ μὴ
αὖθις ἐλπίζει τὸν θεὸν ὀμβρήσειν αὐτῷ ἀγαθά· ἄπιστος δὲ, εἰ μὴ πεπίστευκε καὶ νῦν καὶ ἀεὶ τὰς τοῦ

*) Gen. 3, 14.
**) Gen. 2, 7.
***) Exod. 16, 4.

θεοῦ χάριτας ἀφθόνως τοῖς ἀξίοις προσνέμεσθαι· ἄνους δὲ, εἰ οἴεται τῶν συναχθέντων ἱκανὸς ἔσεσθαι φύλαξ, ἄκοντος θεοῦ. Μικρὰ γὰρ ῥοπὴ τὸν ἀσφαλῆ καὶ βεβαιότατον περιάπτοντα νοῦν ὑπὸ μεγαλαυχίας ἑαυτῷ, ἄκυρον καὶ ἀβέβαιον ὧν ἐδόκει φύλαξ εἶναι πάντων ἐποίησε.

§. 57. Σύναγε οὖν, ὦ ψυχὴ, τὰ αὐτάρκη καὶ καθήκοντα, καὶ μήτε πλείω τῶν ἱκανῶν ὡς ὑπερβάλλειν, μήτε ἐλάττω πάλιν ὡς ἐνδεῖν, ἵνα μέτροις δικαίοις χρωμένη μὴ ἀδικῇς. Καὶ γὰρ διάβασίν γε μελετῶσαν ἀπὸ τῶν παθῶν καὶ τὸ πάσχα θύουσαν, δεῖ τὴν προκοπὴν, τὸ πρόβατον, λαμβάνειν μὴ ἀμέτρως. "Ἕκαστος γὰρ," φησὶ, "τὸ ἀρκοῦν αὐτῷ συναριθμήσεται εἰς πρόβατον." *) Καὶ ἐπὶ τοῦ μάννα οὖν, καὶ ἐπὶ πάσης δωρεᾶς ἣν ὁ θεὸς δωρεῖται τῷ γένει ἡμῶν, καλὸν τὸ ἐνάριθμιον, καὶ μεμετρημένον, καὶ μὴ τὸ ὑπὲρ ἡμᾶς λαμβάνειν· πλεονεξία γὰρ τοῦτό γε. Τὸ τῆς ἡμέρας οὖν εἰς ἡμέραν συναγαγέτω ἡ ψυχὴ, **) ἵνα μὴ ἑαυτὴν φύλακα τῶν ἀγαθῶν, ἀλλὰ τὸν φιλόδωρον θεὸν ἀποφήνῃ.

§. 58. Καὶ διὰ τοῦτό μοι δοκεῖ τὸ προκείμενον λέγεσθαι. Σύμβολον φωτός ἐστιν ἡ ἡμέρα. Φῶς δὲ ψυχῆς ἐστι παιδεία. Πολλοὶ οὖν τὰ ἐν ψυχῇ φῶτα ἐκτήσαντο εἰς νύκτα καὶ σκότος, ἀλλ' οὐκ εἰς ἡμέραν καὶ φῶς, οἷον τὰ προπαιδεύματα πάντα, καὶ τὰ ἐγκύκλια λεγόμενα, καὶ φιλοσοφίαν αὐτὴν τρυφῆς ἕνεκα ἢ ἀρχῆς τῆς πρὸς τοὺς ἡγεμόνας. Ὁ δέ γε ἀστεῖος τὴν ἡμέραν ἕνεκα ἡμέρας, καὶ τὸ φῶς ἕνεκα φωτὸς, καὶ τὸ καλὸν ἕνεκα τοῦ καλοῦ κτᾶται μόνου, οὐχ ἕνεκα ἄλλου τινός. Διὸ καὶ ἐπιφέρει, "Ὅπως πειράσω αὐτοὺς εἰ πορεύσονται τῷ νόμῳ

---

*) Exod. 12, 5.

**) Exod. 16, 4.

μου ἢ οὔ. *) Νόμος γὰρ θεῖος οὗτος, τὴν ἀρετὴν δι' ἑαυτὴν τιμᾶν. Τοὺς οὖν ἀσκητὰς ὥςπερ νόμισμα δοκιμάζει ὁ ὀρθὸς λόγος, πότερα κεκηλίδωνται, ἐπί τι τῶν ἐκτὸς ἀναφέροντες τὸ τῆς ψυχῆς ἀγαθὸν, ἢ ὡς δόκιμον διαστέλλουσιν, ἐν διανοίᾳ μόνῃ διαφυλάττοντες τοῦτο. Τούτοις συμβέβηκε μὴ τοῖς γηΐνοις, ἀλλὰ ταῖς ἐπουρανίαις ἐπιστήμαις τρέφεσθαι.

§. 59. Δηλοῖ δὲ καὶ δι' ἑτέρων, ὅταν φησὶ, "Τὸ πρωῒ ἐγένετο καταπαυομένης τῆς δρόσου κύκλῳ τῆς παρεμβολῆς, καὶ ἰδοὺ ἐπὶ πρόσωπον τῆς ἐρήμου λεπτὸν ὡςεὶ κόριον, λευκὸν, ὡςεὶ πάγος ἐπὶ τῆς γῆς. Ἰδόντες δὲ αὐτὸ εἶπον ἕτερος τῷ ἑτέρῳ, τί ἐστι τοῦτο; Οὐ γὰρ ᾔδεισαν τί ἦν. Εἶπε δὲ αὐτοῖς Μωϋσῆς, οὗτος ὁ ἄρτος ὃν δέδωκεν ἡμῖν κύριος τοῦ φαγεῖν, τοῦτο τὸ ῥῆμα ὃ συνέταξε κύριος." **) Ὁρᾷς τῆς ψυχῆς τροφὴν οἵα ἐστί; Λόγος θεοῦ συνεχὴς, ἐοικὼς δρόσῳ, κύκλῳ πᾶσαν περιειληφὼς, καὶ μηδὲν μέρος ἀμέτοχον αὐτοῦ ἐῶν. Φαίνεται δὲ οὐ πανταχοῦ ὁ λόγος οὗτος, ἀλλ' ἐπ' ἐρήμου παθῶν καὶ κακιῶν, καὶ ἔστι λεπτὸς νοῆσαί τε καὶ νοηθῆναι, καὶ σφόδρα διαυγὴς καὶ καθαρὸς ὁραθῆναι, καὶ ἔστιν ὡςεὶ κόριον. Φασὶ δὲ οἱ γεηπόνοι τὸ σπέρμα τοῦ κορίου διαιρεθὲν εἰς ἄπειρα καὶ τμηθὲν, καθ' ἕκαστον τῶν μερῶν καὶ τμημάτων σπαρὲν βλαστάνειν οὕτως, ὡς καὶ τὸ ὅλον ἠδύνατο. Τοιοῦτος καὶ ὁ θεοῦ λόγος, καὶ δι' ὅλων ὠφελητικὸς, καὶ διὰ παντὸς μέρους καὶ τοῦ τυχόντος. Μήποτε δὲ ὁμοιοῦται καὶ τῇ κατὰ τὸν ὀφθαλμὸν κόρῃ; Ὡς γὰρ αὕτη βραχύτατον οὖσα μέρος, τὰς τῶν ὄντων ὁρᾷ ζώνας ὅλας, καὶ θάλατ-
121 ταν ἄπειρον, καὶ ἀέρος μέγεθος, καὶ τοῦ παντὸς
M. οὐρανοῦ ὅσον ἀνατέλλων καὶ δυόμενος ὁ ἥλιος ὁρί-

*) Exod. 16, 4.

**) Exod. 16, 13 sqq.

ζει· οὕτω καὶ ὁ θεῖος λόγος ὀξυδερκέστατός ἐστιν, ὡς πάντα ἐφορᾶν εἶναι ἱκανὸς, ᾧ τὰ θέας ἄξια κατόψονται, παρ᾽ ὃ καὶ λευκόν ἐστι. Τί γὰρ ἂν εἴη λαμπρότερον ἢ τηλαυγέστερον θείου λόγου, οὗ κατὰ μετουσίαν καὶ τὰ ἄλλα τὴν ἀχλὺν καὶ τὸν ζόφον ἀπελαύνει, φωτὸς κοινωνῆσαι ψυχικοῦ γλιχόμενα;

§. 60. Ἴδιον δὲ περὶ τοῦτον τὸν λόγον συμβαίνει πάθος. Ὅταν γὰρ καλέσῃ πρὸς ἑαυτὸν τὴν ψυχὴν, πῆξιν ἀνεγείρει τῷ γεώδει καὶ σωματικῷ καὶ αἰσθητικῷ παντί. Διὸ λέγεται τὸ "ὡσεὶ πάγος ἐπὶ τῆς γῆς." *) Καὶ γὰρ ἡνίκα ὁ τὸν θεὸν ὁρῶν φυγὴν τὴν ἀπὸ τῶν παθῶν μελετᾷ, "πήγνυνται τὰ κύματα," τουτέστιν ἡ φορὰ καὶ αὔξησις καὶ τὸ μεγάλαυχον αὐτῶν· "ἐπάγη γὰρ τὰ κύματα ἐν μέσῳ τῆς θαλάσσης," **) ἵνα διαβῇ τὸ πάθος ὁ βλέπων τὸν ὄντα. "Πυνθάνονται οὖν ἀλλήλων αἱ ψυχαὶ" ***) αἱ πεπονθυῖαι μὲν ἤδη τὸν λόγον, οὐκ ἔχουσαι δὲ εἰπεῖν τὸ "τί ἐστι." Καὶ γὰρ γλυκανθέντες πολλάκις, τὸν κεκινηκότα χυμὸν ἀγνοοῦμεν, καὶ ἡδέων ἀτμῶν ὀσφραινόμενοι τίνες εἰσὶν οὐκ ἴσμεν. Οὕτως οὖν ἡ ψυχὴ γανωθεῖσα πολλάκις εἰπεῖν οὐκ ἔχει, τί τὸ γανῶσαν αὐτήν ἐστι· διδάσκεται δὲ ὑπὸ τοῦ ἱεροφάντου καὶ προφήτου Μωϋσέως, ὃς ἐρεῖ, "Οὗτός ἐστιν ὁ ἄρτος, ἡ τροφὴ ἣν ἔδωκεν ὁ θεὸς τῇ ψυχῇ," ****) προσενέγκασθαι τὸ ἑαυτοῦ ῥῆμα, καὶ τὸν ἑαυτοῦ λόγον· οὗτος γὰρ ὁ ἄρτος ὃν δέδωκεν ἡμῖν φαγεῖν, τοῦτο τὸ ῥῆμα.

§. 61. Λέγει δὲ καὶ ἐν Δευτερονομίῳ, "Καὶ 93
ἐκάκωσέ σε, καὶ ἐλιμαγχόνησέ σε, καὶ ἐψώμισέ σε P.
τὸ μάννα, ὃ οὐκ ᾔδεισαν οἱ πατέρες σου, ἵνα ἀναγ-

*) Exod. 16, 14.
**) Exod. 15, 8.
***) Exod. 16, 15.
****) Ibid.

γείλῃ σοι, ὅτι οὐκ ἐπὶ ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ ῥήματι ἐκπορευομένῳ διὰ στόματος θεοῦ." Ἡ κάκωσις αὕτη ἱλασμός ἐστι· καὶ γὰρ τῇ δεκάτῃ κακῶν ἡμῶν τὰς ψυχὰς ἱλάσκεται. Ὅταν γὰρ τὰ ἡδέα περισυλᾶται, δοκοῦμεν κακοῦσθαι, τόδ' ἔστι πρὸς ἀλήθειαν, ἵλεω τὸν θεὸν ἔχειν. Περιποιεῖ δὲ ἡμῖν καὶ λιμὸν, οὐκ ἀρετῆς, ἀλλὰ τὸν ἐκ πάθους καὶ κακίας συνιστάμενον. Τεκμήριον δὲ, διατρέφει γὰρ ἡμᾶς τῷ γενικωτάτῳ αὐτοῦ λόγῳ. Τὸ γὰρ μάννα ἑρμηνεύεται Τί, τοῦτό ἐστι τὸ γενικώτατον τῶν ὄντων. Καὶ ὁ λόγος δὲ τοῦ θεοῦ ὑπεράνω παντός ἐστι τοῦ κόσμου, καὶ πρεσβύτατος καὶ γενικώτατος τῶν ὅσα γέγονε. Τοῦτον τὸν λόγον οὐκ ᾔδεισαν οἱ πατέρες, οὐχ οἱ πρὸς ἀλήθειαν, ἀλλ' οἱ χρόνῳ πολιοὶ, οἱ λέγοντες, "Δῶμεν ἀρχηγὸν, καὶ ἀποστρέψωμεν" *) εἰς τὸ πάθος, Αἰγύπτου. Ἀναγγελλέτω οὖν ὁ θεὸς τῇ ψυχῇ, ὅτι "οὐκ
122 ἐπ' ἄρτῳ μόνῳ ζήσεται ὁ ἄνθρωπος," κατ' εἰκόνα,
M. "ἀλλ' ἐπὶ παντὶ ῥήματι τῷ ἐκπορευομένῳ διὰ στόματος θεοῦ," **) τουτέστι, καὶ διὰ παντὸς τοῦ λόγου τραφήσεται, καὶ διὰ μέρους αὐτοῦ. Τὸ μὲν γὰρ στόμα σύμβολον τοῦ λόγου, τὸ δὲ ῥῆμα μέρος αὐτοῦ. Τρέφεται δὲ τῶν μὲν τελειοτέρων ἡ ψυχὴ ὅλῳ τῷ λόγῳ· ἀγαπήσαιμεν δ' ἂν ἡμεῖς, εἰ καὶ μέρει τραφείημεν αὐτοῦ.

§. 62. Ἀλλ' οὗτοι μὲν εὔχονται θεοῦ λόγῳ τραφῆναι, ὁ δὲ Ἰακὼβ καὶ τὸν λόγον ὑπερκύψας, ὑπ' αὐτοῦ φησι τρέφεσθαι τοῦ θεοῦ. Λέγει δὲ οὕτως, "Ὁ θεὸς, ᾧ εὐηρέστησαν οἱ πατέρες μου, Ἀβραὰμ καὶ Ἰσαὰκ, ὁ θεὸς ὁ τρέφων με ἐκ νεότητος ἕως τῆς ἡμέρας ταύτης, ὁ ἄγγελος ὁ ῥυόμενός με ἐκ πάντων τῶν κακῶν, εὐλογήσαι τὰ παιδία ταῦτα." ***) Ὡραῖος οὗτος ὁ τρόπος, τροφέα τὸν θεὸν, οὐχὶ λό-

*) Num. 14, 4.

**) Deut. 8, 3.

***) Gen. 48, 15.

γον, ἡγεῖται· τὸν δὲ ἄγγελον, ὅς ἐστι λόγος, ὥςπερ ἰατρὸν κακῶν, φυσικώτατα. Ἀρέσκει γὰρ αὐτῷ τὰ μὲν προηγούμενα ἀγαθὰ, αὐτοπροςώπως αὐτὸν τὸν ὄντα διδόναι, τὰ δεύτερα δὲ τοὺς ἀγγέλους καὶ λόγους αὐτοῦ. Δεύτερα δέ ἐστιν ὅσα περιέχει κακῶν ἀπαλλαγήν. Διὰ τοῦτ' οἶμαι καὶ ὑγείαν μὲν τὴν ἁπλῆν, ἧς οὐ προηγεῖται νόσος ἐν τοῖς σώμασιν, ὁ θεὸς χαρίζεται δι' ἑαυτοῦ μόνου, τὴν δὲ γινομένην κατὰ νόσου φυγὴν, καὶ διὰ τέχνης καὶ διὰ ἰατρικῆς· ἐπιγράφων καὶ ἐπιστήμῃ καὶ τεχνίτῃ τῷ δοκεῖν ἰᾶσθαι, πρὸς ἀλήθειαν αὐτὸς καὶ διὰ τούτων καὶ ἄνευ τούτων ἰώμενος. Τοῦτον δὴ τὸν τρόπον καὶ ἐπὶ ψυχῆς ἔχει. Τὰ μὲν ἀγαθὰ, τὰς τροφὰς, αὐτὸς
χαρίζεται δι' ἑαυτοῦ, διὰ δὲ ἀγγέλων καὶ λόγων, ὅσα 94
ἀπαλλαγὴν περιέχει κακῶν. P.

§. 63. Ταῦτα δὲ ηὔξατο αἰτιώμενος τὸν πολιτικὸν Ἰωσὴφ, ὃς ἐτόλμησεν εἰπεῖν ὅτι "ἐκθρέψω σε ἐκεῖ." *) "Σπεύσαντες γὰρ," φησὶν, "ἀνάβητε πρὸς τὸν πατέρα μου, καὶ εἴπατε αὐτῷ, τάδε λέγει," καὶ τὰ ἑξῆς· εἶτα, "Κατάβηθι πρὸς μὲ καὶ μὴ μείνῃς· ἐπὶ πᾶσι, καὶ ἐκθρέψω σε ἐκεῖ, ἔτη γὰρ πέντε λιμός." Ἐπιμεμφόμενος οὖν ἅμα, καὶ διδάσκων τὸν δοκησίσοφον λέγει· ὦ οὗτος, ἴσθι τὰς ψυχῆς τροφὰς ἐπιστήμας ὑπαρχούσας, ἃς οὐχ ὁ αἰσθητὸς λόγος, ἀλλ' ὁ θεὸς δωρεῖται, ὁ τρέφων ἐκ νεότητος καὶ πρώτης ἀκμῆς μέχρι τελείου φωτὸς, αὐτὸς ἐμπλήσει. Ἔπαθεν οὖν ταὐτὸν ὁ Ἰωσὴφ τῇ μητρὶ αὐτοῦ Ῥαχήλ. Καὶ γὰρ αὐτὴ ἐνόμισε δύνασθαί τι τὸ γεννητόν. Διὸ λέγει, "Δός μοι τέκνα." Ἀλλ' ὅ γε πτερνιστὴς ἑαυτὸν μιμησάμενος ἐρεῖ. "Πλάνον πε-
123 πλάνησαι πολύν. Οὐ γὰρ ἀντὶ θεοῦ ἐγώ εἰμι, τοῦ
M. μόνου δυναμένου τὰς ψυχῶν μήτρας ἀνοιγνύναι," **) καὶ σπείρειν ἐν αὐταῖς ἀρετὰς, καὶ ποιεῖν

---

*) Gen. 45, 11.

**) Gen. 30, 1 sqq.

ἐγκύμονας καὶ τικτούσας τὰ καλά. Κατάμαθε γέ τοι τὴν ἀδελφήν σου Λείαν, καὶ εὑρήσεις ἐξ οὐδενὸς γεννητοῦ λαμβάνουσαν τὴν σπορὰν καὶ τὴν γονὴν, ἀλλ᾽ ὑπ᾽ αὐτοῦ τοῦ θεοῦ. „Ἰδὼν γὰρ κύριος ὅτι μισεῖται Λεία, ἤνοιξε τὴν μήτραν αὐτῆς. Ῥαχὴλ δὲ ἦν στεῖρα." *) Ἀλλ᾽ ὅρα πάλιν τὴν ἐν τούτῳ λεπτουργίαν τῆς ἀρετῆς. Ὁ θεὸς τὰς μήτρας ἀνοίγει, σπείρων ἐν αὐταῖς τὰς καλὰς πράξεις. Ἡ δὲ μήτρα παραδεξαμένη τὴν ἀρετὴν ὑπὸ θεοῦ, οὐ τίκτει τῷ θεῷ, — χρεῖος γὰρ οὐδενός ἐστιν ὁ ὢν, — ἀλλ᾽ ἐμοὶ τῷ Ἰακὼβ υἱούς. Ἐμοῦ γὰρ ἕνεκα ἔσπειρεν ὁ θεὸς ἐν τῇ ἀρετῇ τάχα, οὐχ ἑαυτοῦ. Οὐκοῦν ἄλλος μὲν ἀνὴρ τῆς Λείας ὁ ἡσυχαζόμενος εὑρίσκεται, ἄλλος δὲ πατὴρ τῶν ἐκ Λείας τέκνων. Ἀνὴρ μὲν γὰρ ὁ τὴν μήτραν ἀνοίγων, πατὴρ δὲ τῶν τέκνων, ᾧ ταῦτα τίκτειν λέγεται. —

§. 64. „Καὶ ἔχθραν θήσω ἀνὰ μέσον σοῦ καὶ ἀνὰ μέσον τῆς γυναικός." **) Ὄντως ἐστὶν ἡδονὴ ἐχθρὸν αἰσθήσει, καί τοι δοκοῦν ἐνίοις μάλιστα εἶναι φίλον. Ἀλλ᾽ ὥσπερ τὸν κόλακα οὐκ ἄν τις ἑταῖρον εἴποι, νόσος γὰρ φιλίας ἡ κολακεία, οὐδὲ τὴν ἑταίραν εὔνουν ἐραστῇ, τοῖς γὰρ διδομένοις, οὐκ αὐτῷ, προσπέπονθεν· οὕτω καὶ τὴν ἡδονὴν ἐξετάζων εὑρήσεις νόθον οἰκειότητα ὑποδυομένην πρὸς αἴσθησιν. Ὅταν γέ τοι κορεσθῶμεν ἡδονῆς, ἐκπίπτει τῶν τόνων ἡμῶν τὰ αἰσθητήρια. Ἢ τοὺς οἴνων ἔρωτι μεθύοντας οὐ καταλαμβάνεις, ὅτι ὁρῶντες οὐχ ὁρῶσι, καὶ ἀκούοντες οὐκ ἀκούουσι, καὶ τῶν ἄλλων αἰσθήσεων ἀφήρηνται τὰς ἀκριβεῖς ἐνεργείας; Ἔστι δὲ ὅτε καὶ διὰ πλῆθος ἄμετρον τροφῆς ἅπαντες οἱ τόνοι τῶν αἰσθήσεων ὑφείθησαν ὕπνου κατα- 95
λαμβάνοντος, ὃς καὶ τὸ ὄνομα ἔσχεν ὑπὸ τῆς ὑφέ- P.
σεως αὐτῶν. Χαλᾶται γὰρ τότε τὸ αἰσθητικὸν ὄρ-

*) Gen. 29, 31.

**) Gen. 3, 15.

γανον, ὥςπερ ἐν ταῖς ἐγρηγόρσεσιν ἐπιτείνεται, μηκέτι κωφὰς τὰς ἀπὸ τοῦ ἐκτὸς πλήξεις δεχόμενον, ἀλλὰ γεγωνυίας καὶ ἐναργεῖς, τήν τε ἠχὴν ἄχρι τοῦ νοῦ διαδιδούσας. Δεῖ γὰρ αὐτὸν πληχθέντα γνωρίσαι τὸ ἐκτὸς, καὶ λαβεῖν αὐτοῦ τύπον ἐναργῆ. —

§. 65. Τήρει δὲ, ὅτι οὐκ εἶπεν, "ἔχθραν θήσω σοὶ καὶ τῇ γυναικὶ," ἀλλὰ "ἀνὰ μέσον σοῦ καὶ τῆς γυναικός." Διὰ τί δέ; Ὅτι περὶ τὸ μέσον, καὶ ὡς ἂν ἐν μεθορίῳ κείμενον ἡδονῆς καὶ αἰσθήσεως, γί-
124 νεται τούτων ὁ πόλεμος. Τὸ δὲ μέσον ἀμφοῖν ἐστι
M. τὸ πότιμον, τὸ ἐδώδιμον, τὸ εὐτρεπὲς πρὸς τὰ τοιαῦτα πάντα, ὧν ἕκαστον αἰσθητόν τέ ἐστι καὶ ποιητικὸν ἡδονῆς. Ὅταν οὖν ἀπλήστως ἐμφορηθήσεται τούτων ἡ ἡδονὴ, βλάβην εὐθὺς εἰργάζετο αἰσθήσει. Τὸ δὲ ἀνὰ μέσον τοῦ σπέρματός σου καὶ τοῦ σπέρματος αὐτῆς, εἴρηται πάλιν φυσικῶς. Σπέρμα γὰρ πᾶν ἐστι γενέσεως ἀρχή. Ἀρχὴ δὲ ἡδονῆς μὲν οὐ τὸ πάθος, ἀλλ' ἄλογος ὁρμὴ αἰσθήσεως διὰ νοῦ. Ἀπὸ γὰρ τούτου καθάπερ τινὸς πηγῆς, αἱ αἰσθητικαὶ τείνονται δυνάμεις, μάλιστα κατὰ τὸν ἱερώτατον Μωϋσῆν, ὃς ἐκ τοῦ Ἀδὰμ πεπλάσθαι φησὶ τὴν γυναῖκα, τὴν αἴσθησιν ἐκ τοῦ νοῦ. Ὅπερ οὖν ἡδονὴ πρὸς αἴσθησιν, τοῦτο πάθος πρὸς νοῦν. Ὥςτε ἐπειδὴ ἐκεῖνα ἐχθρὰ, καὶ ταῦτ' ἂν εἴη πολέμια.

§. 66. Καὶ περιφανής ἐστιν ὁ τῶνδε πόλεμος. Κατὰ γοῦν τὰς ἐπικρατείας τοῦ νοῦ, ὅτε τοῖς νοητοῖς καὶ ἀσωμάτοις παραβάλλει, φυγαδεύεται τὸ πάθος. Καὶ ἔμπαλιν ὅταν τοῦτο νικήσῃ νίκην κακὴν, εἴκει ὁ νοῦς, κωλυόμενος προσέχειν ἑαυτῷ καὶ τοῖς ἑαυτοῦ πᾶσιν ἔργοις. Φησὶ γοῦν ἐν ἑτέροις, ὅτι "Ὅταν μὲν ἐπῆρε τὰς χεῖρας Μωϋσῆς, κατίσχυεν Ἰσραὴλ, ὅταν δὲ καθῆκε, κατίσχυεν Ἀμαλήκ." *) Τοῦτο παριστῶν, ὅτι ὁ νοῦς ἐπειδὰν μὲν ἐξάρῃ αὐτὸν ἀπὸ τῶν θνητῶν, καὶ μετεωρισθῇ, ῥώννυται

*) Exod. 17, 11.

τῷ ὁρᾶν τὸν θεὸν, ὅπερ ἐστὶν Ἰσραήλ. Ἐπειδὰν δὲ καθῇ τοὺς ἰδίους τόνους, καὶ ἐξασθενήσῃ, αὐτίκα τὸ πάθος ἰσχύσει ὁ Ἀμαλὴκ, ὃς ἑρμηνεύεται λαὸς ἐκλείχων. Ὄντως γὰρ διεσθίει τὴν ὅλην ψυχὴν καὶ ἐκλιχμᾶται, μηδὲν ἐν αὐτῇ σπέρμα ἢ ζώπυρον ἀρετῆς ὑπολείπων. Παρ᾽ ὃ καὶ λέγεται, "Ἀρχὴ ἐθνῶν Ἀμαλὴκ," ὅτι τῶν μιγάδων καὶ συγκλύδων καὶ πεφυρμένων ἀβουλὶ τὸ πάθος ἄρχει καὶ κυριεύει. Διὰ τοῦτο πᾶς ὁ ψυχῆς ἀναῤῥιπίζεται πόλεμος. Αἷς γοῦν χαρίζεται διανοίαις ὁ θεὸς εἰρήνην, ταύταις ὁμολογεῖ ἀπαλείψειν τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπ᾽ οὐρανόν.—

§. 67. Τὸ δὲ "Αὐτός σου τηρήσει κεφαλὴν, καὶ
σὺ τηρήσεις αὐτοῦ πτέρναν" *) τῇ μὲν φωνῇ βαρ-
βαρισμός ἐστι, τῷ δὲ σημαινομένῳ κατόρθωμα. Τί 96
γάρ; Ὀφείλεται περὶ τῆς γυναικὸς, ἡ δὲ γυνὴ "αὐ- P.
τὸς" οὐκ ἔστιν ἀλλ᾽ "αὐτή." Τί οὖν λεκτέον; Ἀπὸ
τοῦ περὶ τῆς γυναικὸς λόγου μετελήλυθεν ἐπὶ τὸ
σπέρμα καὶ τὴν ἀρχὴν αὐτῆς. Ἀρχὴ δὲ ἦν αἰσθή-
125 σεως ὁ νοῦς. Οὗτος δὲ ἄῤῥην, ἐφ᾽ οὗ χρὴ λέγειν,
M. αὐτὸς καὶ αὐτοῦ, καὶ τὰ τοιαῦτα. Ὀρθῶς οὖν τῇ
ἡδονῇ λέγεται, ὅτι ὁ νοῦς σου τηρήσει τὸ κεφάλαιον
καὶ ἡγεμονικὸν δόγμα, καὶ σὺ τηρήσεις αὐτοῦ τοῦ
νοῦ τὰς ἐπιβάσεις καὶ ἐφιδρύσεις τῶν ἀρεσκόντων,
αἷς αἱ πτέρναι κατὰ λόγον εἰκάσθησαν.

§. 68. Τὸ δὲ "τηρήσει" δύο δηλοῖ· ἓν μὲν τὸ οἷον διαφυλάξει καὶ διασώσει, ἕτερον δὲ τὸ ἴσον τῷ ἐπιτηρήσει πρὸς ἀναίρεσιν. Ἀνάγκη δὲ τὸν νοῦν ἢ φαῦλον ἢ σπουδαῖον εἶναι. Ὁ μὲν οὖν ἄφρων φύλαξ καὶ ταμίας ἂν γένοιτο τῆς ἡδονῆς, χαίρει γὰρ αὐτῇ, ὁ δὲ σπουδαῖος ἐχθρὸς, καραδοκῶν ὅτε ἐπιθέμενος ἰσχύσει καθελεῖν αὐτὴν εἰσάπαν. Καὶ μὴν ἔμπαλιν ἡ ἡδονὴ τοῦ μὲν ἄφρονος διατηρεῖ τὴν ἐπίβασιν, τοῦ δὲ σοφοῦ λύειν καὶ ἀναιρεῖν ἐπιχειρεῖ τὴν ἔνστασιν,

---

*) Gen. 3, 15.

ἡγουμένη τὸν μὲν κατάλυσιν αὐτῆς μελετᾶν, τὸν δὲ ἄφρονα, δι᾽ ὧν μάλιστα σωθήσεται. Ἀλλ᾽ ὅμως πτερνίζειν δοκοῦσα καὶ ἀπατᾶν τὸν ἀστεῖον, αὐτὴ πτερνισθήσεται πρὸς τοῦ πάλην ἠσκηκότος Ἰακὼβ, — πάλην δὲ οὐ τὴν τοῦ σώματος, ἀλλ᾽ ἣν παλαίει ψυχὴ πρὸς τοὺς ἀνταγωνιστὰς τρόπους αὐτῆς, πάθεσι καὶ κακίαις μαχομένους, — καὶ οὐ πρότερον ἀνήσει πτέρναν τοῦ ἀνταγωνιστοῦ πάθους, πρὶν ἀπειπεῖν αὐτὸ, καὶ ὁμολογῆσαι ὅτι ἐπτέρνισται καὶ νενίκηται δὶς, ἔν τε τοῖς πρωτοτοκίοις, καὶ ἐν τῷ εὐλογιστεῖν. „Δικαίως γὰρ," φησὶν, „ἐκλήθη τὸ ὄνομα αὐτοῦ Ἰακώβ. Ἐπτέρνικέ με γὰρ ἤδη δεύτερον. Τότε τὰ πρωτοτόκιά μου εἴληφε, καὶ νῦν εἴληφε τὴν εὐλογίαν μου." *) Πρεσβύτερα δὲ ὁ μὲν φαῦλος ἡγεῖται τὰ σώματος, ὁ δὲ ἀστεῖος τὰ ψυχῆς, ἃ καὶ πρὸς ἀλήθειάν ἐστιν, οὐ χρόνῳ, ἀλλὰ δυνάμει καὶ ἀξιώματι πρεσβύτερα καὶ πρῶτα ὄντως, ὡς καὶ ἄρχων ἐν πόλει· ἡγεμονὶς δὲ τοῦ συγκρίματος ἡ ψυχή.

§. 69. Εἴληφεν οὖν τὰ πρῶτα ὁ πρῶτος κατ᾽ ἀρετὴν, ἃ καὶ ἐπέβαλεν αὐτῷ· εἴληφε γὰρ καὶ εὐλογιστεῖν σὺν εὐχαῖς τελείαις. Μάταιος δὲ καὶ οἰησίσοφος ὁ λέγων, „τὰς ἐμὰς εὐλογίας καὶ τὰ ἐμὰ πρωτοτόκια εἴληφεν." **) Οὐ γὰρ τὰ σὰ, ὦ οὗτος, λαμβάνει, ἀλλὰ τοῖς σοῖς τὰ ἐναντία. Τὰ μὲν γὰρ σὰ δουλείας, τὰ δὲ ἐκείνου δεσποτείας ἠξίωται. Καὶ εἰ ἀγαπήσεις δοῦλος γενέσθαι τοῦ σοφοῦ, νουθεσίας καὶ σωφρονισμοῦ κοινωνήσεις, ἀμαθίαν καὶ ἀπαιδευσίαν κῆρας ψυχῆς ἀποβαλών. Εὐχόμενος γὰρ ὁ πατήρ σοί φησιν, ὅτι „τῷ ἀδελφῷ σου δουλεύσεις," ***) ἀλλ᾽ οὐχὶ νῦν, — οὐ γὰρ ἀνέξεταί σε ἀφηνιάζοντα, — ἀλλ᾽ ὅταν ἐκλύσῃς τὸν ζυγὸν ἀπὸ τοῦ τραχήλου 97
σου, τὸ αὔχημα καὶ φρύαγμα ἀποβαλὼν ὃ ἐκτήσω, P.

---

*) Gen. 27, 36.

**) Ibid.

***) Gen. 27, 40.

126 ὑποζεύξας ἑαυτὸν ὀχήματι παθῶν, ἡνιοχούσης
M. ἀφροσύνης. Νυνὶ μὲν δοῦλος εἶ χαλεπῶν καὶ ἀφορήτων τῶν ἐν ἑαυτῷ δεσποτῶν, οἷς νόμος ἐστὶ, μηδένα ἐλεύθερον ποιεῖν. Ἐὰν δὲ τούτους δρασμῷ χρησάμενος καταλίπῃς, ὑποδέξεταί σε φιλόδουλος δεσπότης ἐπ' ἐλπίσι χρησταῖς ἐλευθερίας, καὶ οὐκ ἐκδώσει ἔτι τοῖς προτέροις δεσπόταις, μαθὼν παρὰ Μωϋσέως δίδαγμα καὶ δόγμα ἀναγκαῖον, „μὴ παραδιδόναι παῖδα τῷ κυρίῳ ὃς προστέθειται αὐτῷ παρὰ τοῦ κυρίου· μετὰ γὰρ αὐτοῦ κατοικήσει ἐν παντὶ τόπῳ, ᾧ ἂν ἀρέσκῃ αὐτῷ." *)

§. 70. Ἀλλ' ἕως οὐκ ἀποδέδρακας, ἔτι δ' ἐγκεχαλίνωσαι ταῖς ἐκείνων τῶν δεσποτῶν ἡνίαις, ἀναξίαις δουλεύειν σοφῷ, τεκμήριον μέγιστον ἤθους ἀνελευθέρου καὶ δουλοπρεποῦς παρέχεις, ὅταν λέγῃς, „τὰ ἐμὰ πρωτοτόκια καὶ τὰς ἐμὰς εὐλογίας." **) Εἰς ἄμετρον γὰρ ἀμαθίαν κεχωρηκότων αἵδε αἱ φωναὶ, ἐπειδὴ μόνῳ ἁρμόττει θεῷ λέγειν τὸ ἐμόν· αὐτοῦ γὰρ ὄντως κτήματα μόνου τὰ πάντα. Διὸ καὶ μαρτυρήσει ὅταν φῇ, „Τὰ δῶρά μου, δόματά μου, καρπώματά μου." ***) Διατηρήσεις ὅτι δῶρα δομάτων διαφέρουσι. Τὰ μὲν γὰρ ἔμφασιν μεγέθους τελείων ἀγαθῶν δηλοῦσιν, ἃ τοῖς τελείοις χαρίζεται ὁ θεὸς, τὰ δὲ εἰς βραχύτατον ἔσταλται, ὧν μετέχουσιν οἱ εὐφυεῖς ἀσκηταὶ οἱ προκόπτοντες. Οὗ χάριν καὶ Ἀβραὰμ ἀκολουθῶν τῷ θεοῦ θελήματι, τὰ μὲν ὑπάρχοντα ἅπερ ἦν αὐτῷ ἐκ θεοῦ, κατέχει, „ἀποπέμπεται δὲ τὴν ἵππον τοῦ βασιλέως Σοδόμων," ****) ὡς καὶ τὰ ὑπαρκτὰ τῶν παλλακῶν. Καὶ Μωϋσῆς μέντοι τὰ μέγιστα δικαιονομεῖν ἀξιοῖ, καὶ περὶ τῶν μεγίστων· τὰ δὲ βραχέα

---

*) Deut. 23, 16.
**) Gen. 27, 36.
***) Num. 28, 2.
****) Gen. 14, 21.

τῶν κριμάτων ἐπιτρέπει τοῖς δευτερεύουσι σκοπεῖν. Ὅςτις δὲ τολμᾷ λέγειν ἑαυτοῦ τι εἶναι, δοῦλος τὸν πάντα αἰῶνα γεγράψεται· ὥςπερ ὁ λέγων, „Ἠγάπηκα τὸν κύριόν μου, καὶ τὴν γυναῖκά μου, καὶ τὰ παιδία μου· οὐκ ἀποτρέχω ἐλεύθερος.“ *) Εὖγε τὸ ἑαυτῷ ὁμολογῆσαι δουλείαν. Πῶς γὰρ ὁ λέγων, οὐ δοῦλος, ἐμὸς ὁ κύριος νοῦς ἐστι, κύριος ἑαυτοῦ καὶ αὐτοκράτωρ· ἐμὴ καὶ ἡ αἴσθησις, αὔταρκες τῶν σωμάτων κριτήριον· ἐμὰ καὶ τὰ τούτων ἔκγονα, τοῦ μὲν νοῦ τὰ νοητὰ, τῆς δὲ αἰσθήσεως τὰ αἰσθητά· ἐπ᾽ ἐμοὶ γὰρ τὸ νοεῖν, τὸ αἰσθάνεσθαι. Ἀλλὰ μὴ μόνον ἑαυτοῦ καταμαρτυρείτω, ἀλλὰ καὶ ὑπὸ τοῦ θεοῦ καταδικασθεὶς, αἰωνίαν καὶ βεβαιοτάτην ὑπομενέτω δουλείαν κελεύοντος· τό τε οὖς τρυπάσθω, ἵνα μὴ παραδέξηται λόγους ἀρετῆς, καὶ δουλεύῃ τὸν αἰῶνα τῷ νῷ καὶ τῇ αἰσθήσει, κακοῖς καὶ ἀνηλεέσι δεσπόταις. —

§. 71. „Καὶ τῇ γυναικὶ εἶπε, πληθύνων πληθυ- 98
νῶ τὰς λύπας σου καὶ τὸν στεναγμόν σου.“ **) Τῆς P.
γυναικὸς, ἥτις αἴσθησις ἦν, ἴδιόν ἐστιν ἀλγηδὼν πά-
127 θος, ἣ λύπη καλεῖται. Περὶ ὃ γὰρ γίνεται τὸ ἥ-
M. δεσθαι, περὶ τοῦτο καὶ τὸ ἀλγεῖν. Ἡδόμεθα δὲ διὰ τῶν αἰσθήσεων, ὥςτε ἐξ ἀνάγκης καὶ ἀλγοῦμεν δι᾽ αὐτῶν. Ἀλλ᾽ ὁ μὲν σπουδαῖος καὶ κεκαθαρμένος νοῦς ἐλάχιστα ἀλγεῖ· ἥκιστα γὰρ ἐπιτίθενται αὐτῷ αἱ αἰσθήσεις. Τῷ δὲ ἄφρονι περιττεύει τὸ πάθος, οὐδὲν ἔχοντι ἀλεξιφάρμακον ἐν τῇ ψυχῇ, ᾧ τὰς ἀπὸ τῶν αἰσθήσεων καὶ αἰσθητῶν κῆρας ἀμυνεῖται. Ὥςπερ γὰρ ἑτέρως τύπτεται ὁ ἀθλητὴς, καὶ ὁ δοῦλος, — ὁ μὲν καθ᾽ ὑπόπτωσιν ἐνδιδοὺς πρὸς τὰς αἰκίας καὶ ὑπείκων, ὁ δὲ ἀθλητὴς ἀντέχων καὶ ἀντιστατῶν, καὶ τὰς ἐπιφερομένας ἀποσειόμενος, καὶ κείρεις ἑτέρως μὲν ἄνθρωπον, ἑτέρως δὲ τὸ κώδιον,

*) Gen. 21, 5.

**) Gen. 3, 16.

τὸ μὲν γὰρ ἐν τῷ πάσχειν μόνον ἐξετάζεται; ὁ δὲ ἄνθρωπος καὶ ἀντιδρᾷ, καὶ ὥςπερ ἀντιπέπονθε, σχηματίζων ἑαυτὸν πρὸς τὸ κείρεσθαι, — οὕτως ὁ μὲν ἀλόγιστος, ἀνδραπόδων δίκην, ἑτέρῳ ὑπείκει, καὶ ὑποπίπτει ταῖς ἀλγηδόσιν ὡς ἀφορήτοις δεσποίναις, ἀντιβλέψαι πρὸς αὐτὰς ἀδυνατῶν, ἄῤῥενας καὶ ἐλευθέρους σπᾶν μὴ δυνάμενος λογισμούς. Παρὸ δὴ καὶ πλῆθος ἄπειρον διὰ τῶν αἰσθήσεων αὐτῷ τῶν ὀδυνηρῶν ἐπαντλεῖται. Ὁ δὲ ἐπιστήμων ἀθλητοῦ τρόπον μετὰ δυνάμεως καὶ ῥώμης καρτερῶς ἀντιβὰς, πρὸς τὰ ἀλγεινὰ πάντα ἀντιπνεῖ, ὡς μὴ τιτρώσκεσθαι πρὸς αὐτῶν, ἀλλ' ἔξω διαφορεῖν ἕκαστον. Καί μοι δοκεῖ νεανιευσάμενος ἂν ἐπιφωνῆσαι τὸ τραγικὸν πρὸς τὴν ἀλγηδόνα οὕτως·

Πίμπρα κάταιθε σάρκας, ἐμπλήσθητί μου
Πίνουσα κέλαινον αἷμα· πρόσθε γὰρ κάτω
Γῆς εἶσιν ἄστρα, γῆ δ' ἄνω εἰς αἰθέρα,
Πρὶν ἐξ ἐμοῦ σοι θῶπ' ἀπαντῆσαι λόγον.*)

§. 72. Ὥςπερ δὲ τῇ αἰσθήσει τὰ ἀλγεινὰ πάντα παραυξήσας τέθεικεν ὁ θεὸς, οὕτω τῇ σπουδαίᾳ ψυχῇ πλῆθος ἄφθονον ἀγαθῶν δεδώρηται. Φησὶ γοῦν ἐπὶ τοῦ τελείου Ἀβραὰμ τὸν τρόπον τοῦτον, "Κατ' ἐμαυτοῦ ὤμοσα, λέγει κύριος, οὗ ἕνεκα ἐποίησας τὸ ῥῆμα τοῦτο, καὶ οὐκ ἐφείσω τοῦ υἱοῦ σου τοῦ ἀγαπητοῦ δι' ἐμὲ, ἦ μὴν εὐλογῶν εὐλογήσω σε, καὶ πληθύνων πληθυνῶ τὸ σπέρμα σου, ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης." **) Εὖ καὶ τῷ ὅρκῳ βεβαιώσας τὴν ὑπόσχεσιν, καὶ ὅρκῳ θεοπρεπεῖ. Ὁρᾷς γὰρ ὅτι οὐ καθ' ἑτέρου ὀμνύει θεὸς, οὐδὲν γὰρ αὐτοῦ κρεῖττον, ἀλλὰ καθ' ἑαυτοῦ, ὅς ἐστι πάντων ἄριστος. Ἔφασαν δέ τινες, ὡς ἀνοίκειον ἦν ὀμνύναι. Ὁ ὅρκος

---

*) Verba sunt Herculis in Euripidis Syleo; vide infra p. 537. 869. 880. ed. Par.

**) Gen. 22, 16.

28 γὰρ πίστεως ἕνεκα παραλαμβάνεται· πιστὸς δὲ μόνος ὁ θεὸς, καὶ εἴ τις θεῷ φίλος, καθάπερ Μωϋσῆς λέγεται "πιστὸς ἐν παντὶ τῷ οἴκῳ γεγενῆσθαι." *) Ἄλλως τε καὶ οἱ λόγοι τοῦ θεοῦ εἰσιν ὅρκοι καὶ 99
νόμοι τοῦ θεοῦ καὶ θεσμοὶ ἱεροπρέστατοι. Τεκμή- P.
ριον δὲ τῆς ἰσχυρότητος αὐτοῦ, ὃ ἂν εἴπῃ γίνεται, ὅπερ ἦν οἰκειότατον ὅρκῳ. Ὥςτε ἀκόλουθον ἂν εἴη λέγειν, ὅτι πάντες οἱ τοῦ θεοῦ λόγοι εἰσὶν ὅρκοι βεβαιούμενοι ἔργων ἀποτελέσμασι.

§. 73. Φασί γε μὴν, ὅρκον εἶναι μαρτυρίαν θεοῦ περὶ πράγματος ἀμφισβητουμένου· εἰ δὲ ὄμνυσιν ὁ θεὸς, ἑαυτῷ μαρτυρεῖ, ὅπερ ἐστὶν ἄτοπον· ἕτερον γὰρ δεῖ εἶναι τὸν ποιούμενον τὴν μαρτυρίαν καὶ τὸν ὑπὲρ οὗ γίνεται. Τί οὖν λεκτέον; Πρῶτον μὲν, ὡς οὐκ ἔστιν ὑπαίτιον ἑαυτῷ μαρτυρεῖν τὸν θεόν. Τίς γὰρ ἂν ἄλλος γένοιτο ἱκανὸς αὐτῷ μαρτυρῆσαι; Ἔπειτα, πάντ᾽ ἔστιν αὐτὸς ἑαυτῷ τὰ τιμιώτατα, συγγενὴς, οἰκεῖος, φίλος, ἀρετὴ, εὐδαιμονία, μακαριότης, ἐπιστήμη, σύνεσις, ἀρχὴ, τέλος, ὅλον, πᾶν, δικαστὴς, γνώμη, βουλὴ, νόμος, πρᾶξις, ἡγεμονία. Ἄλλως τε ἂν τὸ "κατ᾽ ἐμαυτοῦ ὤμοσα" ὃν χρὴ τρόπον ἐκδεξώμεθα, παυσόμεθα τῆς ἄγαν σοφιστείας. Μήποτ᾽ οὖν ἐστι τοιοῦτον, οὐδὲν τῶν δυναμένων πιστεύειν δύναται παγίως περὶ θεοῦ πιστεῦσαι· οὐδενὶ γὰρ ἔδειξεν αὐτοῦ τὴν φύσιν, ἀλλ᾽ ἀόρατον αὐτὴν παντὶ τῷ γένει παρεσκεύασεν. Τίς ἂν ἰσχύσῃ ἢ ὅτι σῶμα, ἢ ὅτι ἀσώματον, ἢ ὅτι ποιὸν, ἢ ὅτι ἄποιον, τὸ αἴτιον εἰπεῖν, ἢ συνόλως περὶ οὐσίας, ἢ ποιότητος, ἢ σχέσεως, ἢ κινήσεως αὐτοῦ, βεβαίως ἀποφήνασθαι; Ἀλλὰ περί γε ἑαυτοῦ μόνου ἰσχυριεῖται, ἐπεὶ καὶ μόνος ἀψευδῶς τὴν ἑαυτοῦ φύσιν ἠκρίβωσε. Βεβαιότης οὖν εὐχάριστος ἑαυτοῦ τὸ πρῶτον, ἔπειτα καὶ τῶν ἔργων αὐτοῦ μόνος ὁ θεὸς, ὥστε εἰκότως ὤμνυε καθ᾽ ἑαυτοῦ, πι-

*) Num. 12, 7.

στούμενος ἑαυτὸν, ὃ μὴ δυνατὸν ἦν ἄλλῳ. Διὸ καὶ ἀσεβεῖς ἂν νομισθεῖεν οἱ φάσκοντες ὀμνύναι κατὰ θεοῦ. Εἰκότως γὰρ οὐδεὶς ὄμνυσι καθ' ἑαυτοῦ, ὅτι γε οὐ περὶ τῆς φύσεως αὐτοῦ διαγνῶναι δύναται, ἀλλ' ἀγαπητὸν, ἐὰν τοῦ ὀνόματος αὐτοῦ δυνηθῶμεν, ὅπερ ἦν, τοῦ ἑρμηνέως λόγου. Οὗτος γὰρ ἡμῶν τῶν ἀτελῶν ἂν εἴη θεὸς, τῶν δὲ σοφῶν καὶ τελείων, ὁ πρῶτος. Καὶ Μωϋσῆς μέντοι τὴν ὑπερβολὴν θαυμάσας τοῦ ἀγεννήτου, φησὶν, "Καὶ τῷ ὀνόματι αὐτοῦ ὀμῇ,"*) οὐχὶ αὐτῷ. Ἱκανὸν γὰρ τῷ γεννητῷ πιστοῦσθαι, καὶ μαρτυρεῖσθαι λόγῳ θείῳ. Ὁ δὲ θεὸς αὐτοῦ πίστις ἔστω καὶ μαρτυρία
129 βεβαιοτάτη.

M. §. 74. Τὸ δὲ "Οὗ εἵνεκα ἐποίησας τὸ ῥῆμα τοῦτο"**) σύμβολόν ἐστιν εὐσεβείας. Τὸ γὰρ ἕνεκα θεοῦ μόνου πάντα πράττειν, εὐθές. Παρ' ὃ καὶ ἀφειδοῦμεν τοῦ ἀγαπητοῦ τέκνου τῆς ἀρετῆς, τοῦ εὐδαιμονῆσαι, παραχωροῦντες αὐτῷ τῷ δημιουργῷ, ἄξιον τὸ γέννημα κρίνοντες κτῆμα θεοῦ νομίζεσθαι, ἀλλὰ μὴ γεννητοῦ τινος. Εὖ δὲ τὸ φάναι, "Εὐ- 100
λογῶν εὐλογήσω." Πολλὰ γὰρ εὐλόγιστα δρῶσί τινες, P.
ἀλλ' οὐκ ἐπ' εὐλογίαις. Ἐπεὶ καὶ ὁ φαῦλος ἔνια δρᾷ τῶν καθηκόντων, οὐκ ἀφ' ἕξεως καθηκούσης· καὶ ὁ μεθύων μέντοι καὶ μεμηνὼς ἔστιν ὅτε νηφάλια φθέγγεταί τε καὶ ποιεῖ, ἀλλ' οὐκ ἀπὸ νηφούσης διανοίας· καὶ οἱ ἔτι κομιδῇ νήπιοι παῖδες οὐκ ἀπὸ λογικῆς ἕξεως, οὔπω γὰρ αὐτοὺς ἡ φύσις λογικοὺς πεπαίδευκε, πολλὰ πράττουσι καὶ λέγουσιν ὧν οἱ λογικοί. Βούλεται δὲ ὁ νομοθέτης τὸν σοφὸν μὴ σχετικῶς, καὶ εὐαλώτως καὶ ὡς ἂν ἐκ τύχης, εὐλόγιστον δοκεῖν εἶναι, ἀλλ' ἀπὸ ἕξεως καὶ διαθέσεως εὐλογίστου. —

---

*) Deut. 6, 13.
**) Gen. 22, 16 sqq.

§. 75. Οὐκ ἐξήρκεσεν οὖν τῇ βαρυδαίμονι αἰσθήσει χρῆσθαι πλουσίως ταῖς λύπαις, ἀλλὰ καὶ „τῷ στεναγμῷ.“ Ἔστι δὲ στεναγμὸς σφοδρὰ καὶ ἐπιτεταμένη λύπη. Πολλάκις γὰρ ἀλγοῦμεν οὐχὶ στένοντες· ὅταν δὲ στένωμεν, ἀνιαρῶς καὶ πάνυ ὀμβρηρῶς χρώμεθα ταῖς λύπαις. Τὸ δὲ στένειν ἐστὶ διττόν· ἓν μὲν, ὃ γίνεται περὶ τοὺς ἐπιθυμοῦντας καὶ ὀρεγομένους τῶν ἀδικιῶν καὶ μὴ τυγχάνοντας, ὃ δὴ καὶ φαῦλόν ἐστιν· ἕτερον δὲ, ὃ γίνεται περὶ τοὺς μετανοοῦντας καὶ ἀχθομένους ἐπὶ τῇ πάλαι τροπῇ, καὶ λέγοντας, κακοδαίμονες ἡμεῖς, ὅσον ἄρα χρόνον ἐληλύθειμεν νοσοῦντες ἀφροσύνης νόσον, καὶ ἀνοίας καὶ ἀδικίας ἐπιτηδευμάτων; Τοῦτο δὲ οὐ γίνεται, ἐὰν μὴ τελευτήσῃ καὶ ἀποθάνῃ ἐκ τῆς ψυχῆς ὁ βασιλεὺς τῆς Αἰγύπτου, ὁ ἄθεος καὶ φιλήδονος τρόπος, „μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς τῆς Αἰγύπτου.“ *). Εἶτ᾽ εὐθὺς ἀποθανούσης κακίας στενάζει ὁ ὁρῶν τὸν θεὸν, καὶ τὴν ἑαυτοῦ τροπὴν, „κατεστέναξαν γὰρ οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ τῶν σωματικῶν καὶ Αἰγυπτιακῶν ἔργων.“ Ἐπεὶ ζῶν γε ὁ βασιλεὺς καὶ φιλήδονος τρόπος ἐν ἡμῖν, γεγηθέναι τὴν ψυχὴν ἀναπείθει, ἐφ᾽ οἷς ἁμαρτάνει· ὅταν δὲ τελευτήσῃ, στένει· Διὸ καὶ ἐκβοᾷ πρὸς τὸν δεσπότην ἱκετεύουσα μηκέτι τραπῆναι, μηδὲ ἀτελῆ τὴν τελείωσιν λαβεῖν. Πολλαῖς γὰρ ψυχαῖς μετανοίᾳ χρῆσθαι βουληθείσαις οὐκ ἐπέτρεψεν ὁ θεὸς, ἀλλ᾽ ὥσπερ ὑπὸ παλιῤῥοίας εἰς τὸ ἔμπα-
30 λιν ἀνεχώρησαν· τρόπον τινὰ τῆς Λὼτ **) γυναι-
I. κὸς τῆς λιθουμένης διὰ τὸ Σοδόμων ἐρᾶν, καὶ εἰς τὰς κατεστραμμένας ὑπὸ τοῦ θεοῦ φύσεις ἀνατρέχειν.

§. 76. Ἀλλὰ νυνί γε φησὶν, ὅτι „ἀνέβη ἡ βοὴ

*) Exod. 2, 23.

**) Exod. 19, 26.

*αὐτῶν πρὸς τὸν θεὸν,*) μαρτυρῶν τῇ τοῦ ὄντος χάριτι. Εἰ γὰρ μὴ δυνατῶς πρὸς ἑαυτὸν ἐκάλεσε τὸν ἱκέτην λόγον, οὐκ ἂν ἀνέβη· τουτέστιν οὐκ ἂν ἀνεβιβάσθη καὶ ηὐξήθη καὶ μετεωρεῖν ἤρξατο, φυγὼν τὴν ταπεινότητα τῶν γηΐνων. Διὸ καὶ ἐν τοῖς ἑξῆς φησιν, "Ἰδοῦ κραυγὴ τῶν υἱῶν Ἰσραὴλ ἥκει* 10 *πρός με."**) Πάνυ καλῶς τὸ φθάσαι μέχρι θεοῦ τὴν ἱκεσίαν· οὐκ ἂν δὲ ἔφθασεν, εἰ μὴ ὁ καλῶν χρηστὸς ἦν. Ἐνίαις δὲ ψυχαῖς προαπαντᾷ, "Ἥξω πρός σε καὶ εὐλογήσω σε." Ὁρᾷς ὅση τοῦ αἰτίου ἡ χάρις, φθάνοντος τὴν ἡμετέραν μέλλησιν καὶ προαπαντῶντος εἰς εὐεργεσίαν παντελῆ τῆς ψυχῆς. Καὶ χρησμός ἐστι δογματικὸς τὸ λεγόμενον· ἐὰν γὰρ ἔλθῃ εἰς τὴν διάνοιαν ἔννοια θεοῦ, εὐλογιστεῖ τε εὐθὺς, καὶ πάσας τὰς νόσους αὐτῆς ἰᾶται. Ἡ δέ γε αἴσθησις ἀεὶ λυπεῖται καὶ στένει καὶ τίκτει μετ᾽ ὀδύνης καὶ ἀλγηδόνων ἀνηκέστων τὸ αἰσθάνεσθαι· ὡς καὶ αὐτός φησιν, "Ἐν λύπαις τέξῃ τέκνα." Τίκτει δὲ ἡ μὲν ὅρασις τὸ ὁρᾶν, ἡ δὲ ἀκοὴ τὸ ἀκούειν, ἡ δὲ γεῦσις τὸ γεύεσθαι, καὶ συνόλως ἡ αἴσθησις τὸ αἰσθάνεσθαι, ἀλλ᾽ οὐκ ἄνευ χαλεπῆς ἀνίας τῷ ἄφρονι ἕκαστον τούτων ποιεῖται. Ἐπιλύπως γὰρ οὗτος καὶ ὁρᾷ, καὶ ἀκούει, καὶ γεύεται, καὶ ὀσφραίνεται, καὶ κοινῶς αἰσθάνεται.*

*§. 77. Ἔμπαλιν δὲ τὴν ἀρετὴν εὑρήσεις μετὰ χαρᾶς ὑπερβαλλούσης καὶ κυοφοροῦσαν, καὶ τὸ σπουδαῖον σὺν γέλωτι καὶ εὐθυμίᾳ γεννῶσαν, καὶ τὸ γέννημα ἀμφοῖν αὐτὸ γέλως ὄν. Ὡς μὲν οὖν ὁ σοφὸς χαίρων ἀλλ᾽ οὐ λυπούμενος γεννᾷ, μαρτυρήσει λέγων οὕτως ὁ θεῖος λόγος, "Καὶ εἶπεν ὁ θεὸς τῷ Ἀβραὰμ, Σάρα ἡ γυνή σου οὐ κληθήσεται Σάρα, ἀλλὰ Σάῤῥα αὐτῆς ἔσται τὸ ὄνομα. Εὐλογήσω αὐ-*

---

*) Exod. 2, 23.

**) Exod. 3, 9.

τὴν, καὶ δώσω σοι ἐξ αὐτῆς τέκνον." *) Εἶτ' ἐπιλέγει, "Καὶ ἔπεσεν Ἀβραὰμ ἐπὶ πρόσωπον, καὶ ἐγέλασε καὶ εἶπεν, εἰ τῷ ἑκατονταετεῖ γενήσεται υἱὸς, καὶ ἡ Σάῤῥα ἐννενήκοντα ἐτῶν οὖσα τέξεται;" Οὗτος μὲν δὴ φαίνεται γεγηθὼς καὶ γελᾶν, ὅτι μέλλει γεννᾶν τὸ εὐδαιμονεῖν τὸν Ἰσαὰκ, γελᾷ δὲ καὶ ἡ ἀρετὴ Σάῤῥα. Μαρτυρήσει δὲ ὁ αὐτὸς λέγων ὧδε, "Ἐξέλιπε Σάῤῥα γίνεσθαι τὰ γυναικεῖα, καὶ ἐγέλασε τῇ διανοίᾳ, καὶ εἶπεν, οὔπω μοι γέγονε τὸ εὐδαιμονεῖν, ἕως τοῦ νῦν· ὁ δὲ κύριός μου," θεῖος λόγος, "πρεσβύτερός ἐστιν," ᾧ προσεῖναι τοῦτο ἀνάγκη, καὶ πιστεύειν καλὸν ὑπισχνουμένῳ. Καὶ τὸ γέννημα δέ ἐστι γέλως καὶ χαρά· τοῦτο γὰρ καὶ Ἰσαὰκ ἑρ-
131 μηνεύεται. Λυπείσθω τοιγαροῦν αἴσθησις, ἀρετὴ
M. δὲ ἀεὶ χαιρέτω. Καὶ γὰρ γεννηθέντος τοῦ εὐδαιμονεῖν, φησὶ σεμνυνομένη, "Γέλωτα ἐποίησέ μοι ὁ κύριος· ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι." **) Ἀναπετάσαντες οὖν ὦτα, οἱ μύσται, παραδέξασθε τελετὰς ἱερωτάτας. Ὁ γέλως ἐστὶν ἡ χαρὰ, τὸ δὲ "ἐποίησεν" ἴσον τῷ ἐγέννησεν. ὥστε εἶναι τὸ λεγόμενον τοιοῦτον, Ἰσαὰκ ἐγέννησεν ὁ κύριος· αὐτὸς γὰρ πατήρ ἐστι τῆς τελείας φύσεως, σπείρων ἐν ταῖς ψυχαῖς καὶ γεννῶν τὸ εὐδαιμονεῖν. —

§. 78. "Καὶ πρὸς τὸν ἄνδρα σου," φησὶν, "ἡ 102
ἀποστροφή σου." ***) Δύο αἰσθήσεων ἄνδρες εἰσὶν, P.
ὁ μὲν νόμιμος, ὁ δὲ φθορεύς. Ἀνδρὸς μὲν γὰρ τρόπον τὸ μὲν ὁρατὸν κινεῖ τὴν ὅρασιν, ἡ δὲ φωνὴ τὴν ἀκοὴν, ὁ δὲ χυλὸς τὴν γεῦσιν, καὶ τῶν ἄλλων ἕκαστον. Ταῦτα δ' ἀποστρέφει καὶ καλεῖ τὴν ἄλογον αἴσθησιν πρὸς ἑαυτὴν, καὶ κατακρατεῖ καὶ κυριεύει. Τό τε γὰρ κάλλος τὴν ὅρασιν ἐδουλώσατο, ὅ τε ἡδὺς χυλὸς τὴν γεῦσιν, καὶ τῶν ἄλλων ἕκαστον

*) Gen. 17, 15 sqq.

**) Gen. 21, 7.

***) Gen. 3, 16.

αἰσθητῶν τὴν κατ᾽ αὐτὸ αἴσθησιν. Ἴδε δέ τοι τὸν λίχνον, ὡς δουλεύει ταῖς παρασκευαῖς τῶν ὅσα ὀψαρτυταὶ καὶ σιτοπόνοι τεχνιτεύουσι· καὶ τὸν σεσοβημένον περὶ μέλος, πῶς ἐπικρατεῖται ὑπὸ κιθάρας, ἢ αὐλοῦ, ἢ καὶ ᾄδειν ἐπισταμένου. Τῇ δέ γε πρὸς τὸν νόμιμον ἄνδρα, τὸν νοῦν, ἀποστραφείσῃ μεγίστη ἐστὶν ὠφέλεια αἰσθήσει.

§. 79. Ἴδωμεν οὖν ἑξῆς τίνα καὶ περὶ τοῦ νοῦ διεξέρχεται παρὰ τὸν ὀρθὸν λόγον κινουμένου. Τῷ δὲ Ἀδὰμ εἶπεν ὁ θεὸς, "Ὅτι ἤκουσας τῆς φωνῆς τῆς γυναικός σου, καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι μὴ φαγεῖν, ἀπ᾽ αὐτοῦ ἔφαγες, ἐπικατάρατος ἡ γῆ ἐν τοῖς ἔργοις σου." *) Ἀλυσιτελέστατόν ἐστιν ἀκούειν αἰσθήσεως νοῦν, ἀλλὰ μὴ αἴσθησιν νοῦ. Ἀεὶ γὰρ τὸ κρεῖττον ἄρχειν, τὸ δὲ χεῖρον ἄρχεσθαι δεῖ. Νοῦς δὲ κρείττων αἰσθήσεως. Ὥςπερ οὖν ἄρχοντος μὲν ἡνιόχου καὶ ταῖς ἡνίαις τὰ ζῶα ἄγοντος ᾗ βούλεται ἄγεται τὸ ἅρμα, ἀφηνιασάντων δὲ ἐκείνων καὶ κρατησάντων ὅ τε ἡνίοχος κατεσύρη πολλάκις, τά τε ζῶα ἐστιν ὅτε τῇ ῥύμῃ τῆς φορᾶς εἰς βόθρον κατηνέχθη, πλημμελῶς τε πάντα φέρεται, καὶ ναῦς εὐθυδρομεῖ μὲν, ἡνίκα τῶν οἰάκων λαβόμενος ὁ κυβερνήτης ἀκολούθως πηδαλιουχεῖ, περιτρέπεται δὲ, ὅτε πνεύματος ἐναντίου περιπνεύσαντος τῇ θαλάττῃ ὁ κλύδων ἐνῴκησεν· οὕτως, ἐπειδὰν μὲν ὁ τῆς ψυ-
132 χῆς ἡνίοχος ἢ κυβερνήτης ὁ νοῦς ἄρχῃ τοῦ ζώου
M. ὅλου, καθάπερ ἡγεμὼν πόλεως, εὐθύνεται ὁ βίος. Ὅταν δὲ ἡ ἄλογος αἴσθησις φέρηται τὰ πρωτεῖα, σύγχυσις καταλαμβάνει δεινὴ, οἷα δούλων δεσπόταις ἐπιτεθειμένων. Τότε γὰρ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἐμπίμπραται φλεγόμενος ὁ νοῦς, τῶν αἰσθήσεων, τὴν φλόγα ἐγειρουσῶν, τὰ αἰσθητὰ ὑποβεβλημένων.

§. 80. Καὶ Μωϋσῆς μέντοι δηλοῖ περὶ τῆς τοιαύτης ἐμπρήσεως, ἣ γίνεται διὰ τῶν αἰσθήσεων,

---

*) Gen. 3, 17.

τοῦ νοῦ, ὅταν λέγῃ, "Καὶ αἱ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐν Μωάβ·" *) ἑρμηνεύεται γὰρ ἐκ πατρὸς, ὅτι ὁ πατὴρ ἡμῶν ὁ νοῦς ἐστι. "Τότε γὰρ," φησὶν, "ἐροῦσιν οἱ αἰνιγματισταὶ, ἔλθετε εἰς Ἐσεβὼν, ἵν' οἰκοδομηθῇ καὶ κατασκευασθῇ πόλις Σηών. Ὅτι πῦρ ἐξῆλθεν ἐξ Ἐσεβὼν, φλὸξ ἐκ πόλεως Σηὼν· καὶ κατέφαγεν ἕως Μωὰβ, καὶ κατέπαυσε 103
στήλας Ἀρνῶν. Οὐαί σοι Μωὰβ, ἀπόλωλε Χαμώς. P.
Ἀπεδόθησαν υἱοὶ αὐτῶν σώζεσθαι, καὶ αἱ θυγατέρες αὐτῶν αἰχμάλωτοι τῷ βασιλεῖ Ἀμοῤῥαίων Σηών· καὶ τὸ σπέρμα αὐτῶν ἀπολεῖται Ἐσεβὼν ἕως Δεβών. Καὶ γυναῖκες ἔτι προσεξέκαυσαν πῦρ ἐπὶ Μωάβ." Ἐσεβὼν ἑρμηνεύεται λογισμοὶ, οὗτοι δ' εἰσὶν αἰνίγματα ἀσαφείας γέμοντα. Ἴδε λογισμὸν ἰατροῦ, κενώσω τὸν κάμνοντα, θρέψω, φαρμάκοις ἰάσομαι καὶ διαίτῃ, τεμῶ, καύσω. Ἀλλὰ πολλάκις ἡ φύσις καὶ ἄνευ τούτων ἰάσατο, καὶ μετὰ τούτων ἀπώλεσεν, ὡς τοὺς ἰατροῦ πάντως ἐπιλογισμοὺς ἐνύπνια εὑρεθῆναι, ἀσαφείας καὶ αἰνιγμάτων πλήρη. Πάλιν ὁ γεηπόνος φησὶ, σπέρματα βαλοῦμαι, φυτεύσω, αὐξήσει τὰ φυτὰ, καρποὺς ταῦτα οἴσει, οἳ οὐ μόνον εἰς ἀπόλαυσιν ἔσονται χρήσιμοι τὴν ἀναγκαίαν, ἀλλὰ καὶ πρὸς περιουσίαν ἀρκήσουσιν. Εἶτ' ἐξαίφνης φλὸξ, ἢ ζάλη, ἢ ἐπομβρίαι συνεχεῖς διέφθειραν πάντα. Ἔστι δὲ ὅτε τὰ μὲν ἐτελεσιούργησεν, ὁ δὲ ταῦτα λογισάμενος οὐκ ὤνατο, ἀλλὰ προαπέθανε, καὶ ἐπὶ τοῖς τῶν πονηθέντων καρποῖς μάτην ἀπόλαυσιν ἐμαντεύσατο.

§. 81. Ἄριστον οὖν τῷ θεῷ πεπιστευκέναι, καὶ μὴ τοῖς ἀσαφέσι λογισμοῖς, καὶ ταῖς ἀβεβαίοις εἰκασίαις. "Ἀβραὰμ γέ τοι ἐπίστευσε τῷ θεῷ, καὶ δίκαιος ἐνομίσθη." **) Καὶ Μωϋσῆς ἄρχει μαρτυ-

*) Num. 21, 27 sqq.
**) Gen. 15, 6.

ρούμενος ὅτι ἐστὶ "πιστὸς ὅλῳ τῷ οἴκῳ·" *) ἐὰν δὲ ἀποπιστεύσωμεν τοῖς ἰδίοις λογισμοῖς, κατασκευάσομεν καὶ οἰκοδομήσομεν τὴν πόλιν τοῦ διαφθείροντος τὴν ἀλήθειαν νοῦ. Σηὼν γὰρ ἑρμηνεύεται διαφθείρων. Παρ' ὃ καὶ ἀναστὰς, παρ' ᾧ ἦν ἐνύπνια,
133 εὗρεν ὅτι αἱ κινήσεις ἅπασαι καὶ αἱ διαστάσεις τοῦ
M. ἄφρονός εἰσιν ἐνύπνια ἀληθείας ἀμέτοχα, — αὐτὸς γὰρ ὁ νοῦς ἐνύπνιον εὑρέθη, — ὅτι ἀληθὲς μέν ἐστι δόγμα τὸ πιστεύειν θεῷ, ψεῦδος δὲ τὸ πιστεύειν τοῖς κενοῖς λογισμοῖς. Ἄλογος δὲ ὁρμὴ ἐξέρχεται καὶ φοιτᾷ ἐφ' ἑκάτερά τε, τῶν λογισμῶν καὶ τοῦ νοῦ τοῦ διαφθείροντος τὴν ἀλήθειαν. Διὸ καί φησιν, ὅτι "πῦρ ἐξῆλθεν ἐξ Ἐσεβὼν, φλὸξ ἐκ πόλεως Σηών." **) Οὕτω γὰρ ἄλογον τὸ πιστεύειν ἢ λογισμοῖς πιθανοῖς, ἢ νῷ διαφθείροντι τὸ ἀληθές.

§. 82. "Κατεσθίει γέ τοι καὶ ἕως Μωὰβ," τουτέστιν ἕως τοῦ νοῦ. Τίνα γὰρ ἄλλον ἢ τὸν ἄθλιον νοῦν ἡ ψευδὴς δόξα ἀπατᾷ; Κατεσθίει καὶ βιβρώσκει, καὶ μέντοι καὶ καταπίνει τὰς ἐν αὐτῷ στήλας, τουτέστι τὰ κατὰ μέρος ἐνθυμήματα, ἃ καθάπερ ἐν στήλῃ τετύπωται καὶ ἐγκεχάρακται. Ἀρνῶν δ' εἰσὶν αἱ στῆλαι, ὅπερ ἑρμηνεύεται φῶς αὐτῶν, ἐπεὶ τῶν πραγμάτων ἕκαστον ἐν λογισμῷ σαφηνίζεται. Ἄρχεται μὲν οὖν θρηνεῖν τὸν αὐθάδη καὶ φίλαυτον νοῦν 10
οὕτως, "Οὐαί σοι Μωὰβ πόλις." Εἰ γὰρ αἰ- P
νίγμασι προσέχεις τοῖς κατὰ τὴν τῶν εἰκότων ἐπιβολὴν, ἀπολώλεκας ἀλήθειαν. "Λαὸς Χαμὼς," τουτέστιν ὁ λαός σου καὶ ἡ δύναμις εὕρηται πηρὸς καὶ τετυφλωμένος. Χαμὼς γὰρ ἑρμηνεύεται, ὡς ψηλάφημα. Ἴδιον δὲ τοῦ μὴ ὁρῶντος τὸ ἔργον τοῦτο. Τούτοις οἱ μὲν υἱοὶ κατὰ μέρος λογισμοὶ, φυγάδες, αἱ δὲ γνῶμαι θυγατέρων ἔχουσαι δύναμιν, αἰχμάλωτοι τῷ βασιλεῖ τῶν Ἀμοῤῥαίων, τουτέστι τῷ

*) Num. 12, 7.

**) Num. 21, 27 sqq.

σοφιστῇ λαλούντων. Οἱ γὰρ Ἀμοῤῥαῖοι ἑρμηνεύονται λαλοῦντες, τοῦ γεγονότος λαοῦ σύμβολον ὄντες. Ὁ δὲ τούτων ἡγεμὼν ὁ σοφιστής ἐστι καὶ δεινὸς λόγων ἀνερευνᾶν τέχνας, ὑφ᾽ οὗ κατασοφίζονται οἱ τὸν ὅρον τῆς ἀληθείας ὑπερβαίνοντες.

§. 83. Σηὼν οὖν ὁ διαφθείρων τὸν ὑγιῆ κανόνα τῆς ἀληθείας, καὶ τὸ σπέρμα αὐτοῦ ἀπολεῖται, καὶ Ἐσεβὼν τὰ αἰνίγματα τὰ σοφιστικὰ ἕως Δεβὼν, ὃ καλεῖται δικασμός· πάνυ προσφυῶς. Τὰ γὰρ εἰκότα καὶ πιθανὰ οὐκ ἔχει περὶ ἀληθείας ἐπιστήμην, ἀλλὰ δίκην καὶ ἀμφισβήτησιν, καὶ ἐριστικὴν ἅμιλλαν καὶ φιλονεικίαν, καὶ πάντα τὰ τοιαῦτα. Ἀλλ᾽ οὐκ ἐξήρκεσε τῷ νῷ τὰς ἰδίας καὶ νοητὰς ἔχειν κῆρας, ἀλλ᾽ ἔτι καὶ αἱ γυναῖκες προσέκαυσαν πῦρ, αἱ αἰσθήσεις πυρκαϊὰν πολλὴν ἐπ᾽ αὐτόν. Ἴδε μέντοι τὸ λεγόμενον οἷόν ἐστι. Πολλάκις νύκτωρ οὐδεμιᾷ τῶν αἰσθήσεων ἐνεργοῦντες, ἀτόπους περὶ πολλῶν καὶ διαφερόντων
4 λαμβάνομεν ἐννοίας, τῆς ψυχῆς ἀεικινήτου ὑπαρχούσης, καὶ μυρίας τροπὰς ἐνδεχομένης. Ἦν οὖν ἱκανὰ πρὸς διαφθορὰν αὐτῇ, ὅσα αὐτὴ ἐξ ἑαυτῆς ἐγέννησε. Νυνὶ δὲ καὶ ὁ τῶν αἰσθήσεων ὄχλος ἐπεισωδίωσεν αὐτῇ κηρῶν ἀμήχανον πλῆθος, τοῦτο μὲν ἐκ τῶν ὁρατῶν, τοῦτο δὲ ἐκ τῶν φωνῶν, εἶτα χυλῶν, καὶ ἀτμῶν τῶν κατὰ τὴν ὀσμήν. Καὶ σχεδὸν ἡ ἀπ᾽ αὐτῶν φλὸξ χαλεπώτερον τὴν ψυχὴν διατίθησι τῆς ἐγγινομένης ὑπ᾽ αὐτῆς τῆς ψυχῆς ἄνευ συμπαραλήψεως αἰσθητηρίων.

§. 84. Τούτων μία τῶν γυναικῶν ἐστιν ἡ Πεντεφρῆ τοῦ Φαραὼ ἀρχιμαγείρου. *) Ὅπως δὲ ἔχει γυναῖκα εὐνοῦχος ὢν ἐπισκεπτέον· τοῖς γὰρ τὰ ῥήματα τοῦ νόμου μὴ πραγματευομένοις πρὸς ἀλληγορίαν, ἀκολουθήσει τὸ δοκοῦν ἀπορεῖσθαι. Ὁ γὰρ εὐνοῦχος καὶ ἀρχιμάγειρος ὄντως νοῦς, μὴ ταῖς ἁπλαῖς μόνον ἀλλὰ καὶ ταῖς περιτταῖς χρώμενος ἡδο-

---

*) Gen. 39, 1 sqq.

ναῖς, εὐνοῦχος κέκληται καὶ ἄγονος σοφίας, ὢν εὐνοῦχος οὐκ ἄλλου τινὸς ἢ τοῦ σκεδαστοῦ τῶν καλῶν Φαραώ. Ἐπεί τοι κατ᾽ ἄλλον τὸν λόγον ἄριστον ἂν εἴη τὸ εὐνοῦχον γενέσθαι, εἰ δυνήσεται ἡμῶν ἡ ψυχὴ κακίαν ἐκφυγοῦσα ἀπομαθεῖν τὸ πάθος. Διὸ καὶ Ἰωσὴφ ὁ ἐγκρατὴς τρόπος τῇ λεγούσῃ ἡδονῇ, "κοιμήθητι μετ᾽ ἐμοῦ, καὶ ἄνθρωπος ὢν, ἀνθρωποπάθησον καὶ ἀπόλαυσον τῶν κατὰ τὸν βίον τερπνῶν," ἐναντιοῦται φάσκων, "Ἁμαρτήσομαι εἰς τὸν θεὸν τὸν φιλάρετον, εἰ γενοίμην φιλήδονος· πονηρὸν γὰρ τοῦτ᾽ ἔργον."

§. 85. Καὶ νῦν μὲν ἀκροβολίζεται, ἤδη δὲ καὶ καρτερῶς ἀπομάχεται, ὅταν εἰς τὸν ἑαυτῆς εἰσέλθῃ οἶκον ἡ ψυχὴ, καὶ ἀναδραμοῦσα ἐπὶ τοὺς ἑαυτῆς τόνους ἀποτάξηται τοῖς κατὰ τὸ σῶμα, καὶ τὰ ἴδια ὡς ψυχῆς ἔργα ἐργάσηται, οὔτ᾽ εἰς τὸν οἶκον Ἰωσὴφ, οὔτε Πεντεφρῆ, ἀλλ᾽ εἰς τὴν οἰκίαν. Καὶ οὐ προστίθησι τὴν τίνος, ἵνα σκεπτικῶς ἀλληγορῇς, "ποιεῖν τὰ ἔργα αὐτοῦ." Ἡ μὲν οὖν οἰκία ἐστὶν ἡ ψυχὴ, εἰς ἣν ἀνατρέχει καταλιπὼν τὰ ἐκτὸς, ἵνα τὸ λεγόμενον ἔνθεν αὐτῷ γένηται. Τὰ δὲ τοῦ ἐγκρατοῦς ἔργα μήποτε θεοῦ βουλήματί ἐστι; Καὶ γὰρ οὐδεὶς ἦν ἀλλότριος λογισμὸς τῶν εἰωθότων ἐν τῇ ψυχῇ κατοικεῖν εἴσω. Πλὴν οὐκ ἀφίσταται ζυγομαχοῦσα ἡ ἡδονὴ, ἀλλὰ τῶν ἱματίων λαβομένη, φησὶ, "κοιμήθητι μετ᾽ ἐμοῦ." Σκεπάσματα δὲ ὥσπερ σώματος τὰ ἐσθήματά ἐστιν, οὕτω τοῦ ζώου σιτία καὶ ποτά. Τοῦτο δέ φησι, "Τί παραιτῇ τὴν ἡδονὴν, ἧς ἄνευ οὐ δύνασαι ζῆν; Ἰδοὺ ἐκλαμβάνομαι τῶν ποιητικῶν αὐτῆς, καί φημί σε μὴ ἂν δυνηθῆναι ὑποστῆναι, εἰ μή τινι τῶν ποιητικῶν χρήσαιο." Τί οὖν ὁ ἐγκρατής; "Εἰ μέλλω," φησὶ,
135 "δουλεύειν πάθει διὰ τὴν ποιητικὴν ὕλην, καὶ ἐξε-
M. λεύσομαι ἀπὸ τοῦ πάθους ἔξω." Καταλιπὼν γὰρ τὰ ἱμάτια ἐν ταῖς χερσὶν αὐτῆς, ἔφυγε καὶ ἐξῆλθεν ἔξω.

§. 86. Τίς δὲ ἔνδον, φαίη τις ἄν, ἐξέρχεται; Οὐ πολλοί; Ἢ οὐ φυγόντες τινὲς τὸ ἱεροσυλεῖν ἐξ ἰδιωτικῆς ἔκλεψαν οἰκίας, καὶ οὐκ ὄντες πατροτύπται ἀλλότριον ὕβρισαν; Οὗτοι ἐξέρχονται μὲν ἀπὸ τῶν ἁμαρτημάτων, εἰς ἕτερα δὲ εἰσέρχονται. Τὸν δὲ τελείως ἐγκρατῆ δεῖ πάντα φεύγειν τὰ ἁμαρτήματα, καὶ τὰ μείζω καὶ τὰ ἐλάττω, καὶ ἐν μηδενὶ ἐξετάζεσθαι τὸ παράπαν. Ἀλλ' ὁ μὲν Ἰωσὴφ, νέος τε γάρ ἐστι, καὶ τῷ αἰγυπτίῳ σώματι οὐκ ἴσχυσεν ἀγωνίσασθαι καὶ νικῆσαι τὴν ἡδονὴν, ἀποδιδράσκει. Φινεὲς δὲ ὁ ἱερεὺς ὁ ζηλώσας τὸν ὑπὲρ θεοῦ ζῆλον, οὐ φυγῇ τὴν ἰδίαν σωτηρίαν πεπόρισται, ἀλλὰ τὸν "σειρομάστην," ταυτέστι τὸν ζηλωτικὸν λόγον λαβὼν, οὐκ ἀποστήσεται, πρὶν ἢ "ἐκκεντῆσαι τὴν Μαδιανῖτιν," τὴν ἐγκεχριμμένην θείῳ χορῷ φύσιν, "διὰ τῆς μήτρας αὐτῆς," *) ἵνα μηδέποτε ἰσχύσῃ φυτὸν ἢ σπέρμα κακίας ἀνατεῖλαι.

§. 87. Οὗ χάριν ἐκκοπείσης ἀφροσύνης ἆθλον καὶ κλῆρον ἡ ψυχὴ λαμβάνει διττὸν, εἰρήνην καὶ ἱερωσύνην, συγγενεῖς καὶ ἀδελφὰς ἀρετάς. Τοιαύτης μὲν οὖν γυναικὸς οὐκ ἀκουστέον, αἰσθήσεως μοχθηρᾶς λέγω, ἐπεὶ καὶ "τὰς μαίας εὖ ἐποίει ὁ θεὸς," **) ὅτι τῶν προστάξεων τοῦ σκεδαστοῦ Φαραὼ ἠλόγουν "τὰ ἄῤῥενα τῆς ψυχῆς ζωογονοῦσαι," 106 P. ἃ ἐκεῖνος ἤθελε διαφθείρειν, τῆς θηλείας ὅλης ἐραστὴς ὢν, τὸ δ' αἴτιον ἀγνοῶν, καὶ λέγων ὅτι "οὐκ οἶδα αὐτόν." Ἑτέρᾳ δὲ πειστέον γυναικὶ, οἵαν συμβέβηκε Σάῤῥαν εἶναι, τὴν ἄρχουσαν ἀρετήν. Καὶ "πείθεταί γε ὁ σοφὸς Ἀβραὰμ αὐτῇ παραινούσῃ ἃ δεῖ." ***) Πρότερον μὲν γὰρ ὅτε οὔπω τέλειος ἐγεγένητο, ἀλλ' ἔτι πρὶν μετονομασθῆναι, τὰ μετέωρα ἐφιλοσόφει· ἐπισταμένη ὅτι οὐκ ἂν δύναιτο γεννᾶν

*) Num. 25, 7.
**) Exod. 1, 20.
***) Gen. 21, 12.

ἐξ ἀρετῆς τελείας, συμβουλεύει ἐκ τῆς παιδίσκης, τουτέστι παιδείας τῆς ἐγκυκλίου, παιδοποιεῖσθαι, τῆς Ἄγαρ, *) ὃ λέγεται παροίκησις. Ὁ γὰρ μελετῶν ἐν ἀρετῇ τελείᾳ κατοικεῖν, πρὶν ἐγγραφῆναι τῇ πόλει αὐτῆς, τοῖς ἐγκυκλίοις μαθήμασι παροικεῖ, ἵνα διὰ τούτων πρὸς τελείαν ἀρετὴν ἀφέτως ὁρμήσῃ. Ἔπειτα ὅταν ἴδῃ τετελειωμένον αὐτὸν, καὶ ἤδη δυνάμενον σπείρειν, καὶ ἂν ἐκεῖνος εὐχάριστος ὢν πρὸς τὰ παιδεύματα τὰ δι᾽ ὧν ἀρετῇ συνεστάθη, χαλεπὸν ἡγῆται παραιτήσασθαι αὐτὰ, χρησμῷ πραϋνθήσεται θεοῦ τῷ κελεύοντι, "Πάντα ἂν ὅσα εἴποι Σάῤῥα, ἄκουε τῆς φωνῆς αὐτῆς." **) Νόμος ἡμῶν ἔστω
136 ἑκάστῳ, τὸ δοκοῦν ἀρετῇ. Εἰ γὰρ πάντων ὅσα
M παραινεῖ ἡ ἀρετὴ βουλόμεθα ἀκούειν, εὐδαιμονήσομεν. —

§. 88. Τὸ δὲ, "Καὶ ἔφαγες ἀπὸ τοῦ ξύλου οὗ ἐνετειλάμην σοι τούτου μόνου μὴ φαγεῖν," ***) ἴσον ἐστὶ τῷ, συγκατέθου κακίᾳ, ἣν χρή σε ἀνὰ κράτος ἀπείργειν· διὰ τοῦτο "ἐπικατάρατος σὺ," οὐχὶ ἡ γῆ, "ἐν τοῖς ἔργοις σοῦ." Τίς οὖν ἡ αἰτία τούτων; Ὁ ὄφις ἦν, ἡ ἡδονὴ ἔπαρσις ἄλογος ψυχῆς. Αὕτη κατάρατος ἐξ ἑαυτῆς, μόνῳ γέ τοι τῷ φαύλῳ προσγίνεται, σπουδαίῳ δὲ οὐδενί. Ὁ Ἀδὰμ δὲ ὁ μέσος ἐστὶ νοῦς, ὃς τοτὲ μὲν ἀμείνων τοτὲ δὲ χείρων ἐξετάζεται· ᾗ γὰρ νοῦς ἐστιν, οὔτε φαῦλος οὔτε σπουδαῖος εἶναι πέφυκεν, ἀρετῇ δὲ καὶ κακίᾳ πρός τε τὸ εὖ καὶ πρὸς τὸ χεῖρον εἴωθε μεταβάλλειν. Εἰκότως οὖν οὐκ ἔστιν ἐπικατάρατος ἐξ ἑαυτοῦ, ὡς οὔτε κακία ὢν οὔτε κατὰ κακίαν πρᾶξις, ἀλλ᾽ ἐν τοῖς ἔργοις αὐτοῦ ἡ γῆ κατάρατος. Αἱ γὰρ πράξεις αἱ διὰ τῆς ὅλης ψυχῆς, ἣν κέκληκε γῆν, ἐπίληπτοι καὶ ὑπαίτιοι κατὰ κακίαν ἕκαστα δρῶντός εἰσι. Παρ᾽ ὃ καὶ ἐπιφέρει, ὅτι

*) Gen. 16, 2.

**) Gen. 21, 11.

***) Gen. 3, 17 sqq.

"ἐν λύπῃ φάγεσαι αὐτὴν," ὅπερ ἐστὶν ἴσον τῷ, ἀπολαύσῃ τῆς ψυχῆς ἐπιλύπως. Ἐπωδύνως γὰρ ὁ φαῦλος πάντα τὸν βίον χρῆται τῇ ἑαυτοῦ ψυχῇ, μηδὲν ἔχων χαρᾶς αἴτιον, ὃ πέφυκε γεννᾶν δικαιοσύνη καὶ φρόνησις, καὶ αἱ σύνθρονοι ταύτης ἀρεταί. —

§. 89. "Ἀκάνθας οὖν καὶ τριβόλους ἀνατελεῖ σοι." Ἀλλὰ τί φύεται καὶ βλαστάνει ἐν ἄφρονος ψυχῇ, πλὴν τὰ κεντοῦντα καὶ τιτρώσκοντα αὐτὴν
πάθη; Ἃ διὰ συμβόλων ἀκάνθας κέκληκεν, οἷς ἡ 107
ἄλογος ὁρμὴ πρὸς τὸν τρόπον πρώτοις ἐντυγχάνει, P.
μεθ' ὧν ταχθεῖσα πάντα τὰ αὐτῆς καταφλέγει καὶ διαφθείρει. Λέγει γὰρ οὕτως, "Ἐὰν δὲ ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας, καὶ προςεμπρήσῃ ἅλωνα ἢ στάχυας ἢ πεδίον, ἀποτίσει ὁ τὸ πῦρ ἐκκαύσας." *) Ὁρᾷς ὅτι τὸ πῦρ ἐξελθὸν, ἡ ἄλογος ὁρμὴ, οὐκ ἐμπίπρησι τὰς ἀκάνθας, ἀλλὰ εὑρίσκει; Ζητητικὴ γὰρ τῶν παθῶν οὖσα ἃ ἐπόθει λαβεῖν εὗρεν. Ὅταν δὲ εὕρῃ, καταφλέγει τρία ταῦτα, ἀρετὴν τελείαν, προκοπὴν, εὐφυΐαν. Ἀρετὴν μὲν οὖν παραβέβληκε τῇ "ἅλῳ·" συγκεκόμισται γὰρ ὡς ἐνταῦθα ὁ καρπὸς, οὕτω καὶ ἐν τῇ τοῦ σοφοῦ ψυχῇ τὰ καλά. Στάχυσι δὲ τὴν προκοπὴν, ἐπεὶ καὶ ἑκάτερον ἀτελὲς, ἐφιέμενον τοῦ τέλους. Πεδίῳ δὲ τὴν εὐφυΐαν, ὅτι εὐπαράδεκτος
37 σπερμάτων ἀρετῆς ἐστιν. Ἕκαστον δὲ τῶν παθῶν
I. τριβόλια εἴρηκεν· ἐπειδὴ τριττά ἐστιν, αὐτό τε, καὶ τὸ ποιητικὸν, καὶ τὸ ἐκ τούτων ἀποτέλεσμα, οἷον ἡδονὴ, ἡδὺ, ἥδεσθαι· ἐπιθυμία, ἐπιθυμητὸν, ἐπιθυμεῖν· λύπη, λυπηρὸν, λυπεῖσθαι· φόβος, φοβερὸν, φοβεῖσθαι.

§. 90. "Καὶ φάγεσαι τὸν χόρτον τοῦ ἀγροῦ, ἐν ἱδρῶτι τοῦ προςώπου σου φάγεσαι τὸν ἄρτον σου." Χόρτον καὶ ἄρτον καλεῖ συνωνύμως, πρᾶγμα ταὐτόν. Χόρτος ἀλόγου τροφή ἐστιν· ἄλογον δὲ φαῦλος ἐκτετμημένος τὸν ὀρθὸν λόγον. Ἄλογοι δὲ καὶ

---

*) Exod. 22, 6.

αἱ αἰσθήσεις τῆς ψυχῆς οὖσαι μέρος· ὁ δὲ νοῦς ἐφιέμενος τῶν αἰσθητῶν, διὰ τῶν ἀλόγων αἰσθήσεων, οὐκ ἄνευ πόνου καὶ ἱδρῶτος ἐφίεται. Σφόδρα γὰρ ὀδυνηρὸς καὶ ἐπαχθὴς ὁ τοῦ ἄφρονος βίος, μετιόντος καὶ ἐπιλιχνεύοντος τὰ ποιητικὰ τῶν ἡδονῶν, καὶ τῶν ὅσα κακία ἀπεργάζεσθαι φιλεῖ. Καὶ μέχρι τίνος; "Μέχρι," φησὶν, "ἀποστρέψεις εἰς τὴν γῆν ἐξ ἧς ἐλήφθης." Νῦν γὰρ οὐκ ἐν τοῖς γεώδεσι καὶ ἀσυστάτοις ἐξετάζεται, τὴν οὐράνιον σοφίαν καταλιπών; Πῇ οὖν ἔτι ἀποστρέφεται, σκεπτέον. Ἀλλὰ μήποτε ὃ λέγει τοιοῦτόν ἐστιν, ὅτι ὁ ἄφρων νοῦς ἀπέστραπται μὲν ἀεὶ τὸν ὀρθὸν λόγον, εἴληπται δὲ οὐκ ἀπὸ τῆς μεταρσίου φύσεως, ἀλλ' ἀπὸ τῆς γεωδεστέρας ὕλης. Καὶ μένων δὲ καὶ κινούμενος ὁ αὐτός ἐστιν, ἐφιέμενός τε τῶν αὐτῶν. Διὸ καὶ ἐπιφέρει, ὅτι "γῆ εἶ, καὶ εἰς γῆν ἀπελεύσῃ," ὅπερ ἴσον ἐστὶ τῷ προειρημένῳ. Δηλοῖ δὲ καὶ τοῦτο, ἡ ἀρχή σου καὶ τὸ τέλος ἓν καὶ ταὐτόν ἐστιν. Ἦρξω τε γὰρ ἀπὸ τῶν φθειρομένων γῆς σωμάτων, τελευτήσεις δὲ πάλιν εἰς ἐκεῖνα, τὴν μεταξὺ τοῦ βίου τρίψας ὁδὸν, οὐ λεωφόρον, ἀλλὰ τραχεῖαν, βάτων καὶ τριβόλων κεντεῖν τε καὶ τιτρώσκειν πεφυκότων μεστήν.

# ΠΕΡΙ ΤΩΝ
# ΧΕΡΟΥΒΙΜ
## ΚΑΙ ΤΗΣ
## ΦΛΟΓΙΝΗΣ ΡΟΜΦΑΙΑΣ
## ΚΑΙ ΤΟΥ ΚΤΙΣΘΕΝΤΟΣ
## ΠΡΩΤΟΥ ΕΞ ΑΝΘΡΩΠΟΥ
## ΚΑΙΝ.

---

# ARGUMENTUM LIBRI
## DE
# CHERUBIM
## ET
## FLAMMEO GLADIO
## ET DE
# CAIN
## QUI PRIMUS EX HOMINE PROCREATUS EST.

---

(Cf. Gen. 3, 24. 4, 1.)

Adam eiicitur paradiso, i. e. intellectus imprudentia corruptus virtutum regione prohibetur. Ita et Agar, quae est institutio encyclica, et Ismael, qui significat artem sophisticam, expelluntur (1—3). Flammeus gladius et Cherubim collocantur ad

paradisum, i. e. animam esse quasi ponendam coram deo, ut hunc videre sinamus, utrum illa vitii expers sit necne (4 -- 6). Illa vero sunt vel orbes coelestes stellarum fixarum et erraticarum, vel bonitas et potentia (Cherubim) dei, quarum conciliator l. mediator est ratio divina (gladius flammeus), ut et in homine ratio ceteras animi facultates gubernat (7 - 11). Mens fecunda reddita a deo parit recte facta, non deo quidem, sed hominibus. Hoc sentiendum de coitu Abrami cum Sara, quae est princeps et dux, Isaaci cum Rebecca, quae est constantia in honestis etc. Sed mens, quae sine deo gignere vult, parit Cainum, i. e. possessionem non possidendam, qua indicatur arrogantia, cuncta non dei sed hominum esse putans (12 -- 15). Hominis enim animus sensu pellectus omnia, quae extra se percipit, se solum possidere credit, non alium (16 -- 20). Ridiculum igitur, quod Laban, qui qualitatibus addictus (ποιοτήτων ἠρτημένος) dixit: filiae meae et filii mei et pecora mea; nam et filiae, quae sunt artes scientiaeque animae, et filii, qui sunt particulares ratiocinationes animae, et pecora, quae sunt sensus, non ab homine processerunt, sed a deo, quamobrem huius sunt, non hominum (21). Deus enim, ut omnia ita et hominis mentem regit, et creati se regi pati debent; nam dei omnia (22 — 24). Huic igitur pia fides est offerenda, non ea quidem, quam Graeci et barbari diebus festis exhibent (25), sed qua sabbato a Iudaeis colitur (26). Illorum enim festa rebus deo indignis polluuntur (27 et 28); solum enim deo dignum domicilium est mens pia splendore virtutum ornata, non templum lapideum etc. (29 et 30). Illâ solâ deus, omnium dominus, a nobis, inquilinis civitatis dei, recte colitur (31 -- 36).

---

138 §. 1. „Καὶ ἐξέβαλε τὸν Ἀδὰμ, καὶ κατῴκισεν 10
M ἀπέναντι τοῦ παραδείσου τῆς τρυφῆς. Καὶ ἔταξε I
τὰ Χερουβὶμ καὶ τὴν φλογίνην ῥομφαίαν τὴν στρεφομένην, φυλάσσειν τὴν ὁδὸν τοῦ ξύλου τῆς ζωῆς.“ *)

Νῦν μὲν „ἐξέβαλε“ φησὶ, πρότερον δ᾽ εἶπεν „ἐξαπέστειλεν,“ οὐ παρέργως τὰ ὀνόματα τιθεὶς, ἀλλ᾽

---

*) Gen. 3, 24.

39 εἰδὼς ἐφ᾽ ὧν κυρίως καὶ εὐθυβόλως πραγμάτων
1. αὐτὰ τάττει. Ὁ μὲν οὖν ἀποστελλόμενος ἐπανόδου τυχεῖν οὐ κεκώλυται, ὁ δὲ ἐκβληθεὶς ὑπὸ θεοῦ τὴν ἀΐδιον φυγὴν ὑπομένει. Τῷ μὲν γὰρ μήπω κραταιῶς ὑπὸ κακίας καταληφθέντι δέδοται μετανοήσαντι, καθάπερ εἰς πατρίδα τὴν ἀρετὴν, ἀφ᾽ ἧς ἐξέπεσεν, ἀνελθεῖν· τὸν δὲ πιεσθέντα καὶ ὑποβεβλημένον σφοδρᾷ καὶ ἀνιάτῳ νόσῳ, φέρειν ἀνάγκη τὰ δεινὰ, μέχρι τοῦ παντὸς αἰῶνος ἀθάνατα σκορακισθέντα εἰς ἀσεβῶν χῶρον, ἵνα ἄκρατον καὶ συνεχῆ βαρυδαιμονίαν ὑπομένῃ. *) Ἐπεὶ καὶ τὴν μέσην παιδείαν τὴν τοῖς ἐγκυκλίοις χορεύουσαν ὁρῶμεν Ἄγαρ, **) δὶς μὲν ἐξιοῦσαν ἀπὸ τῆς ἀρχούσης ἀρετῆς Σάῤῥας, ἅπαξ δὲ τὴν προτέραν ὁδὸν ὑποστρέφουσαν· ἣ τοτὲ μὲν ἀποδρᾶσα, οὐ φυγαδευθεῖσα, κατάγεται, ὑπαντήσαντος ἀγγέλου, ὅς ἐστι θεῖος λόγος, εἰς τὸν δεσποτικὸν οἶκον, αὖθις δὲ κατὰ τὸ παντελὲς ἀνέπακτος ἐκβάλλεται.

§. 2. Τὰς δὲ αἰτίας καὶ τοῦ προτέρου δρασμοῦ, καὶ τῆς αὖθις ἀϊδίου φυγῆς, λεκτέον. Μέχρι μὲν οὔπω μετωνομάσθησαν, ὅπερ ἦν, μετεχαράχθησαν τοὺς ψυχῆς πρὸς τὸ ἄμεινον βελτιούμενοι χαρακτῆρας, ἀλλ᾽ ἔτι ἦν ὁ μὲν Ἄβραμ πατὴρ μετέωρος, τὴν μετάρσιον τῶν κατὰ τὸν ἀέρα συμβαινόντων, καὶ τὴν μετέωρον τῶν κατὰ τὸν οὐρανὸν ὑπαρχόντων φιλοσοφίαν μετιὼν, — ἣν φυσιολογίας τὸ κράτιστον εἶδος ἀποτέτμηται μαθηματικὴ, — Σάρα δὲ σύμ- 109
βολον ἀρχῆς ἐμῆς, — καλεῖται γὰρ ἀρχή μου, — P.
γενικὴ μὲν οὐκ ἔφθη μεταβαλοῦσα ἀρετὴ γενέσθαι, — γένος δὲ πᾶν ἄφθαρτον, — ταῖς δὲ ἐν μέρει καὶ κατ᾽ εἶδος ἐξητάζετο, αἳ δὴ αὗται, φρόνησίς τε ἡ ἐν ἐμοὶ καὶ σωφροσύνη καὶ ἀνδρία καὶ δικαιοσύνη τὸν αὐτὸν τρόπον, — φθαρταὶ δὲ αὗται, ὅτι καὶ τὸ δεξάμενον αὐτὰς χωρίον ἐγὼ φθαρτός· — Ἄγαρ

*) Gen. 16, 9. — **) Gen. 21, 14 sqq.

ἡ μέση καὶ ἐγκύκλιος παιδεία, καὶ ἂν τὸν αὐστηρὸν καὶ σκυθρωπὸν τῶν φιλαρέτων ἀποδρᾶναι βίον σπουδάσῃ, πάλιν ὑποστρέψει πρὸς τὸν αὐτὸν, μήπω τὰς γενικὰς καὶ ἀφθάρτους ἀκρότητας ἔχειν δυνάμενον, ἀλλ' ἔτι τῶν ἐν μέρει καὶ κατ' εἶδος ἐφαπτόμενον, ἐν οἷς πρὸ τῶν ἄκρων τὰ μέσα αἱρετά. Ὅταν δὲ ἤδη ὁ μὲν Ἄβραμ ἀντὶ φυσιολογικοῦ γένηται σοφὸς καὶ φιλόθεος, μετονομασθεὶς Ἀβραὰμ, ὃς ἑρμηνεύε-
140 ται πατὴρ ἐκλεκτὸς ἤχου, — ἠχεῖ μὲν γὰρ γεγωνὸς
M λόγος, πατὴρ δὲ τούτου ὁ νοῦς, ἐπειλημμένος τοῦ σπουδαίου, — Σάρα δὲ ἀντὶ τῆς ἀρχῆς μου γένηται Σάῤῥα, ἧς ἐστιν ἡ κλῆσις ἄρχουσα, — ὅπερ ἐστὶν ἴσον τῷ, ἀντὶ εἰδικῆς καὶ φθαρτῆς ἀρετῆς γενικὴν καὶ ἄφθαρτον γενέσθαι, — ἐπιλάμψῃ δὲ καὶ τὸ εὐδαιμονίας γένος, ὁ Ἰσαὰκ, ἐκλιπόντων τὰ γυναικεῖα, καὶ ἀποθανόντων τὰ πάθη χαρᾶς καὶ εὐφροσύνης, καὶ παιδιὰς οὐ τὰς παίδων, ἀλλὰ τὰς θείας, οὐκ ἄνευ σπουδῆς μεταδιώκων· ἐκβληθήσεται μὲν τὰ ἐπώνυμα τῆς Ἄγαρ προπαιδεύματα, ἐκβληθήσεται δὲ καὶ ὁ σοφιστὴς αὐτῶν υἱὸς, ἐπίκλησιν Ἰσμαήλ.

§. 3. Ἐνδύσονται δὲ τὴν φυγὴν ἀΐδιον, βεβαιοῦντος τοῦ θεοῦ τὴν ἔλασιν αὐτοῖς, ὅταν κελεύῃ τῷ σοφῷ "ὑπακούειν τῶν λεγομένων ὑπὸ Σάῤῥας." *) Λέγει δὲ ἄντικρυς "ἐκβαλεῖν τὴν παιδίσκην καὶ τὸν υἱόν." Ἀρετῇ δὲ πείθεσθαι καλὸν, καὶ μάλιστα τοιοῦτον εἰσηγουμένῃ δόγμα, ὅτι αἱ τελειόταται φύσεις τῶν μέσων ἕξεων πάμπολυ διεστᾶσι, καὶ ὅτι σοφία σοφιστείας ἀλλότριον. Ἡ μὲν γὰρ τὰ πιθανὰ ἐπὶ κατασκευῇ ψευδοῦς δόξης, ἥτις λυμαίνεται ψυχὴν, ἐκπεπόνηκε· σοφία δὲ διὰ μελέτης τῶν ἀληθῶν, τὸ μετὰ διανοίας ὄφελος ἐπιστήμη ὀρθοῦ λόγου πεπόρισται. Τί οὖν θαυμάζομεν, εἰ καὶ τὸν Ἀδὰμ, τὸν νοῦν, ἀφροσύνην, ἀνίατον νόσον, κτη-

*) Gen. 21, 10 sqq.

σάμενον, ἐκβέβληκεν εἰςάπαν ὁ θεὸς ἐκ τοῦ τῶν ἀρετῶν χωρίου, μὴ ἐπιτρέψας ἔτι κατελθεῖν αὐτῷ; Ὁπότε καὶ πάντα σοφιστὴν καὶ μητέρα αὐτοῦ, τὴν τῶν προπαιδευμάτων διδασκαλίαν, ἐλαύνει καὶ φυγαδεύει ἀπὸ σοφίας καὶ σοφοῦ, ὧν ὀνόματα Ἀβραάμ τε καὶ Σάῤῥαν καλεῖ;

§. 4. Τότε καὶ "ἡ φλογίνη ῥομφαία καὶ τὰ Χερουβὶμ ἀντικρὺ τοῦ παραδείσου τὴν οἴκησιν ἴσχει." Λέγεται δὲ "ἀντικρὺ," τὸ μὲν ὡς ἐχθρὸν ἀντιστατοῦν, τὸ δὲ ἁρμόττον εἰς ἐπίκρισιν, ὡς ὁ 110
κρινόμενος τῷ δικαστῇ, τὸ δὲ ὡς φίλον, τοῦ κατα- P.
νοηθῆναι χάριν, καὶ ἐκ τῆς ἀκριβεστέρας προςόψεως μᾶλλον οἰκειωθῆναι, ὡς γραφαί τε καὶ ἀνδριάντες ἀρχέτυποι γραφεῦσι καὶ πλάσταις. Τοῦ μὲν οὖν ἀντιτεταγμένου παράδειγμα τὸ ἐπὶ τοῦ Κάϊν εἰρημένον, ὅτι "ἐξῆλθεν ἀπὸ προςώπου τοῦ θεοῦ, καὶ ᾤκησεν ἐν γῇ Ναϊδ κατέναντι Ἐδέμ." *) Ἑρμηνεύεται δὲ Ναϊδ μὲν σάλος, Ἐδὲμ δὲ τρυφή. Τὸ μὲν κακίας
141 κλονούσης ψυχὴν σύμβολον, τὸ δὲ ἀρετῆς εὐπά-
M. θειαν αὐτῇ περιποιούσης καὶ τρυφὴν, οὐχὶ τὴν δι' ἀλόγου πάθους ἡδονῆς θρύψιν, ἀλλὰ τὴν μετὰ πολλῆς εὐμαρείας ἄπονον χαρὰν καὶ ἀταλαίπωρον. Ἀνάγκη δὲ ὅταν ἀπὸ τῆς τοῦ θεοῦ φαντασίας ἐξέλθῃ διάνοια, ἣ καλὸν καὶ συμφέρον ἦν ἐπηρεῖσθαι, νεὼς αὐτίκα θαλαττευούσης τρόπον, ἀντιστατούντων βιαίως πνευμάτων, ὧδέ καὶ ἐκεῖσε φέρεσθαι, πατρίδα καὶ οἰκίαν λαχοῦσαν κλόνον, ἅπερ ἐναντιώτατά ἐστι βεβαιότητι ψυχῆς, ἣν περιποιεῖ χαρὰ συνώνυμος Ἐδέμ.

§. 5. Τοῦ δὲ εἰς ἐπίκρισιν ἐναντίου παράδειγμα τὸ τῆς ζηλοτυπουμένης μεμοιχεῦσθαι. "Στήσει" γὰρ, φησὶν, "ὁ ἱερεὺς τὴν γυναῖκα ἐναντίον κυρίου, καὶ ἀποκαλύψει τὴν κεφαλὴν αὐτῆς." **) Τί δὲ βούλεται διὰ τούτου παριστάνειν, ἐρευνήσωμεν. Τὸ

---

*) Gen. 4, 16. — **) Num. 5, 18.

δέον πολλάκις δεόντως οὐκ ἐνεργεῖται, καὶ τὸ μὴ καθῆκον ἔστιν ὅτε δρᾶται καθηκόντως. Οἷον, ἡ μὲν τῆς παρακαταθήκης ἀπόδοσις ὅταν μὴ ἀπὸ γνώμης ὑγιοῦς γένηται, ἀλλ' ἢ ἐπὶ βλάβῃ τοῦ λαμβάνοντος, ἢ ἐπ' ἐνέδρᾳ τῆς περὶ μείζονα πίστιν ἀρνήσεως, καθῆκον ἔργον οὐ δεόντως ἐπιτελεῖται. Τὸ δὲ τῷ κάμνοντι μὴ ἀληθεῦσαι τὸν ἰατρὸν, κενοῦν ἢ τέμνειν ἢ καίειν διεγνωκότα ἐπ' ὠφελείᾳ τοῦ νοσοῦντος, ἵνα μὴ προλαβὼν τὰ δεινὰ φύγῃ τὴν θεραπείαν, ἢ ἐξασθενήσας ἀπείπῃ πρὸς αὐτὴν, ἢ πρὸς τοὺς πολεμίους τὸν σοφὸν ψεύσασθαι ἐπὶ τῇ τῆς πατρίδος σωτηρίᾳ, δείσαντα μὴ ἐκ τοῦ ἀληθεῦσαι ῥωσθῇ τὰ τῶν ἀντιπάλων· οὐ καθῆκον ἔργον δεόντως ἐνεργεῖται. Παρ' ὃ καί φησι Μωϋσῆς, "δικαίως τὸ δίκαιον διώκειν," *) ὡς καὶ ἀδίκως ἐνὸν, ὅταν μὴ ἀπὸ γνώμης ὑγιοῦς ὁ δικάζων προσέχῃ. Ἐπειδὴ τοίνυν τὸ μὲν λεγόμενον ἢ πραττόμενον φανερῶς γνώριμον πᾶσιν, ἡ δὲ διάνοια οὐ γνώριμος, ἀφ' ἧς καὶ τὰ λεγόμενα λέγεται, καὶ τὰ πραττόμενα πράττεται, ἀλλ' ἄδηλον εἴτε ὑγιαίνει καὶ καθαρεύει, εἴτε νοσεῖ μιάσμασι κεχρωσμένη πολλοῖς, — γεννητὸς δὲ οὐδεὶς ἱκανὸς γνώμης ἀφανοῦς κατιδεῖν ἐνθύμημα, μόνος δὲ ὁ θεός· παρ' ὃ καὶ λέγει Μωϋσῆς, "Ὅτι τὰ κρυπτὰ κυρίῳ τῷ θεῷ, τὰ δὲ φανερὰ γενέσει γνώριμα·" — 11
προστέτακται τῷ ἱερεῖ καὶ προφήτῃ, λόγῳ, τὴν ψυ- P
χὴν "ἐναντίον τοῦ θεοῦ στῆσαι, ἀποκαλύφῳ τῇ κεφαλῇ," **) τουτέστι τὸ κεφάλαιον δόγμα γυμνωθεῖσαν, καὶ τὴν γνώμην ᾗ κέχρηται ἀπαμφιασθεῖσαν, ἵνα ὄψεσι ταῖς ἀκριβεστάταις ἐπικριθεῖσα τοῦ
142 ἀδεκάστου θεοῦ, ἢ τὴν ὑποτυφομένην εἰρωνείαν,
M. κίβδηλον νόμισμα, διελεγχθῇ, ἢ πάσης οὖσα κακίας ἀμέτοχος, ἐκνίψηται τὰς καθ' αὑτῆς διαβολὰς, μάρτυρι χρησαμένη τῷ μόνῳ γυμνὴν ψυχὴν ἰδεῖν δυναμένῳ.

*) Deut. 16, 20. — **) Num. 5, 14 sqq.

§. 6. Τὸ μὲν οὖν εἰς ἐπίκρισιν ἐναντίον, τοιοῦτόν ἐστι· τὸ δ᾽ εἰς οἰκείωσιν, ὃ ἐπὶ τοῦ πανσόφου λέλεκται Ἀβραάμ. "Ἔτι" γὰρ, φησὶν, "ἦν ἑστηκὼς ἐναντίον κυρίου." *) Καὶ τεκμήριον τῆς οἰκειώσεως τὸ ἐπιλεγόμενον, ὅτι "ἐγγίσας εἶπεν." Ἀλλοτριουμένῳ γὰρ, ἀφίστασθαι καὶ διαζεύγνυσθαι, οἰκειουμένῳ δὲ συνεγγίζειν ἁρμόττει. Τὸ δὲ στῆναι καὶ ἄτρεπτον κτήσασθαι διάνοιαν, ἐγγὺς ἐπιβαίνει θεοῦ δυνάμεως, ἐπειδὴ τὸ μὲν θεῖον ἄτρεπτον, τὸ δὲ γενόμενον φύσει μεταβλητόν. Εἴ τις οὖν τὴν γενέσεως οἰκείαν φορὰν ἔρωτι ἐπιστήμης ἐγκλινωσάμενος, ἐβιάσατο στῆναι ποιῆσαι, μὴ λανθανέτω θείας εὐδαιμονίας ἐγγὺς ὤν. Τοῖς δὲ Χερουβὶμ καὶ τῇ φλογίνῃ ῥομφαίᾳ τὴν ἀντικρὺ τοῦ παραδείσου πόλιν οἰκείως δίδωσιν, οὐχ ὡς ἐχθροῖς μέλλουσιν ἀντιστατεῖν καὶ διαμάχεσθαι, ἀλλ᾽ ὡς οἰκειοτάτοις καὶ φιλτάτοις, ἵνα ἐκ τῆς προσόψεως καὶ συνεχοῦς περιαθρήσεως, πόθον αἱ δυνάμεις ἴσχωσιν ἀλλήλων, καταπνέοντος εἰς αὐτὰς τὸν πτηνὸν ἔρωτα καὶ οὐράνιον τοῦ φιλοδώρου θεοῦ.

§. 7. Τίνα δέ ἐστιν ἃ διὰ τῶν Χερουβὶμ καὶ τῆς στρεφομένης ῥομφαίας φλογίνης αἰνίττεται, νῦν ἐπισκεπτέον. Μήποτε οὖν τὴν τοῦ παντὸς οὐρανοῦ περιφορὰν δι᾽ ὑπονοιῶν εἰσάγει; Κίνησιν γὰρ αἱ κατ᾽ οὐρανὸν σφαῖραι τὴν ἐναντίαν ἔλαχον ἀλλήλαις, ἡ μὲν τὴν ἀπλανῆ αὐτοῦ κατὰ δεξιὰ, ἡ δὲ τὴν πεπλανημένην θατέρου κατὰ εὐώνυμα. Ἡ μὲν οὖν ἐξωτάτω τῶν λεγομένων ἀπλανῶν, μία, ἣ καὶ τὴν ἀπὸ τῶν ἑῴων ἐπὶ τὰ ἑσπέρια εἱλεῖται περίοδον. Αἱ δὲ ἐντὸς ἑπτὰ, τῶν πλανήτων, ἐθελούσιόν τε καὶ βεβιασμένην, ὑπεναντίους ἅμα καὶ διττὰς ἴσχουσι κινήσεις. Καί ἐστιν αὐταῖς ἡ μὲν ἀκούσιος, ὁμοία τῇ τῶν ἀπλανῶν· φαίνονται γὰρ καθ᾽ ἑκάστην ἡμέραν ἀπ᾽ ἀνατολῆς ἐπὶ δύσιν ἰοῦσαι. Ἡ δὲ οἰκεία ἀπὸ

*) Gen. 18, 22.

τῶν ἑσπερίων ἐπὶ τὰ ἑῷα, καθ᾽ ἣν συμβέβηκε τὰς περιόδους τῶν ἑπτὰ ἀστέρων, καὶ μήκη χρόνων προσειληφέναι, τὰς μὲν ἰσοδρόμους ἴσα, ἡλίου καὶ ἑωσφόρου καὶ στίλβοντος ἐπίκλησιν. Τρεῖς γὰρ τῶν
143 πλανήτων ἰσοταχεῖς οὗτοι. Τὰς δὲ ἀνισοδρόμους,
M. ἄνισα μὲν, ἀναλογίαν δ᾽ ἔχοντα πρός τε ἀλλήλας 11
καὶ τὰς τρεῖς ἐκείνας. Γίνεται οὖν τὸ μὲν ἕτερον P
τῶν Χερουβὶμ ἡ ἐξωτάτω τοῦ παντὸς οὐρανοῦ ἐσχάτη ἁψὶς, ἐν ᾗ τὴν κατὰ τὰ αὐτὰ καὶ ὡσαύτως ἔχουσαν οἱ ἀπλανεῖς θείαν ὡς ἀληθῶς χορείαν χορεύουσι, τάξιν οὐ λείποντες ἣν ὁ γεννήσας αὐτοὺς πατὴρ ἔταξεν ἐν κόσμῳ. Θάτερον δὲ ἡ ἐντὸς περιεχομένη σφαῖρα, ἣν ἐξ ἀρχῆς σχίσας, ἑπτὰ κύκλους ἀναλογοῦντας ἐφ᾽ ἑαυτοῖς εἰργάζετο, τῶν πλανήτων ἕκαστον εἰς αὐτοὺς ἁρμοσάμενος· καὶ καθάπερ ἔποχον ἐν ὀχήματι ἀστέρα ἐν οἰκείῳ κύκλῳ θεὶς, τὰς ἡνίας ἐπίστευσε τῶν ἐπόχων οὐδενὶ, πλημμελῆ δείσας ἐπίστασιν, ἁπάσας δ᾽ ἐξήρτησεν ἑαυτοῦ, νομίσας ἐναρμόνιον τῆς κινήσεως μάλιστα οὕτω τάξιν γενήσεσθαι. Τὸ γὰρ σὺν θεῷ πᾶν ἐπαινετὸν, τὸ δ᾽ ἄνευ θεοῦ ψεκτόν.

§. 8. Τὰ μὲν δὴ Χερουβὶμ καθ᾽ ἕνα τρόπον οὕτως ἀλληγορεῖται. Ῥομφαίαν δὲ φλογίνην καὶ στρεφομένην, τὴν κίνησιν αὐτῶν καὶ τοῦ παντὸς οὐρανοῦ τὴν ἀΐδιον φορὰν ὑποτοπητέον λέγεσθαι. Μήποτε δὲ καθ᾽ ἑτέραν ἐκδοχὴν τὰ μὲν Χερουβὶμ δηλοῖ τῶν ἡμισφαιρίων ἑκάτερον; Καὶ γὰρ ἀντιπρόσωπά φασιν εἶναι, νεύοντα πρὸς τὸ ἱλαστήριον, ἑτέροις· ἐπειδὴ καὶ ταῦτα ἀντικρὺ μέν ἐστιν ἀλλήλων, νένευκε δ᾽ ἐπὶ γῆν τὸ μέσον τοῦ παντὸς, ᾧ καὶ διακρίνεται. Ἡ δὲ μόνη τῶν τοῦ κόσμου μερῶν ἑστῶσα παγίως, Ἑστία πρὸς τῶν παλαιῶν εὐθυβόλως ὠνόμασται, ἵνα περί τι βεβαίως ἱδρυμένον ἡ ἑκατέρων τῶν ἡμισφαιρίων ἐμμελεστάτη γίνηται περιπόλησις. Ἡ δὲ φλογίνη ῥομφαία σύμβολον ἡλίου· φλογὸς γὰρ ὢν πίλημα πολλῆς, ὠκυδρομώτατος γέγονε τῶν ὄν-

των, ὡς ἡμέρᾳ μιᾷ τὸν σύμπαντα περιδινεῖσθαι κόσμον.

§. 9. Ἤκουσα δέ ποτε καὶ σπουδαιοτέρου λόγου παρὰ ψυχῆς ἐμῆς εἰωθυίας τὰ πολλὰ θεοληπτεῖσθαι, καὶ περὶ ὧν οὐκ οἶδε μαντεύεσθαι· ὃν ἐὰν δύνωμαι ἀπομνημονεύσας ἐρῶ. Ἔλεγε δέ μοι, κατὰ τὸν ἕνα ὄντως ὄντα θεὸν δύο τὰς ἀνωτάτω εἶναι καὶ
44 πρώτας δυνάμεις, ἀγαθότητα καὶ ἐξουσίαν. Καὶ
I. ἀγαθότητι μὲν τὸ πᾶν γεγεννηκέναι, ἐξουσίᾳ δὲ τοῦ γεννηθέντος ἄρχειν. Τρίτον δὲ συναγωγὸν ἀμφοῖν μέσον εἶναι λόγον· λόγῳ γὰρ καὶ ἄρχοντα καὶ ἀγαθὸν εἶναι τὸν θεόν. Ἀρχῆς μὲν οὖν καὶ ἀγαθότητος, τῶν δυεῖν δυνάμεων, τὰ Χερουβὶμ εἶναι σύμβολα, λόγου δὲ τὴν φλογίνην ῥομφαίαν. Ὀξυκινητότατον γὰρ καὶ θερμὸν λόγος, καὶ μάλιστα ὁ τοῦ αἰτίου, ὅτι καὶ αὐτὸ πάντα φθάσαν παρημείψατο,
καὶ πρὸ πάντων νοούμενον, καὶ ἐπὶ πάντων φαι- 113
νόμενον. Ἑκατέρου δὴ τῶν Χερουβίμ, ὦ διάνοια, P.
δέξαι τύπον ἀκιβδήλευτον, ἵνα περί τε ἀρχῆς τοῦ αἰτίου καὶ ἀγαθότητος ἐναργῶς ἀναδιδαχθεῖσα καρπώσῃ κλῆρον εὐδαίμονα. Γνώσῃ γὰρ εὐθὺς καὶ τὴν τῶν ἀκηράτων δυνάμεων σύνοδόν τε καὶ κρᾶσιν, ἐν οἷς ἀγαθὸς μὲν ὁ θεὸς, ἐμφαινομένου τοῦ ἀπὸ τῆς ἀρχῆς ἀξιώματος, ἐν ᾧ δὲ ἄρχων, ἐμφαινομένης τῆς ἀγαθότητος· ἵνα τὰς ἐκ τούτων ἀπογεννωμένας ἀρετὰς, φιλοφροσύνην καὶ εὐλάβειαν θεοῦ κτήσῃ, μήτε ἐν οἷς εὖ πάσχεις ὑψηγοροῦσα, διὰ τὸ τῆς ἡγεμονίας τοῦ βασιλέως μέγεθος, μήτε ἐν οἷς ὑπομένεις τι τῶν ἀβουλήτων, ἀπογινώσκουσα τὰς ἀμείνους ἐλπίδας, διὰ ἡμερότητα τοῦ μεγάλου καὶ φιλοδώρου θεοῦ. Φλογίνη δὲ ῥομφαία, διότι χρὴ τούτοις παρακολουθεῖν τὸν μετὰ τῶν πραγμάτων ἔνθερμον καὶ πυρώδη λόγον, ὃς οὐδέποτε λήγει κινούμενος σπουδῇ πάσῃ, πρὸς αἵρεσιν μὲν τῶν καλῶν, φυγὴν δὲ τῶν ἐναντίων.

§. 10. Οὐχ ὁρᾷς ὅτι καὶ Ἀβραὰμ ὁ σοφὸς, ἡνί-

κα ἤρξατο κατὰ θεὸν μετρεῖν πάντα, καὶ μηδὲν ἀπολείπειν τῷ γεννητῷ, λαμβάνει τῆς φλογίνης ῥομφαίας μίμημα, "πῦρ καὶ μάχαιραν," *) διελεῖν καὶ καταφλέξαι τὸ θνητὸν ἀφ᾽ ἑαυτοῦ γλιχόμενος, ἵνα γυμνῇ τῇ διανοίᾳ μετάρσιος πρὸς τὸν θεὸν ἀναπτῇ; Τὸν δέ γε Βαλαὰμ, μάταιον λαὸν ὄντα, ἐξωπλισμένον εἰσάγει Μωϋσῆς ἀστράτευτον καὶ λειποτάκτην, εἰδὼς πόλεμον ὃν ἁρμόζει ψυχῇ περὶ ἐπιστήμης ποιεῖσθαι. Λέγει γὰρ ὄνῳ, τῇ ἀλόγῳ προαιρέσει τοῦ βίου, ᾗ πᾶς ἄφρων ἐπιβέβηκεν, ὅτι "εἰ μάχαιραν εἶχον, ἤδη ἂν ἐξεκέντησά σε." **) Καὶ μεγίστη χάρις τῷ τεχνίτῃ, ὅτι τὴν ἀφροσύνης λύτταν εἰδὼς, οὐκ ἐνέδωκεν αὐτῇ, καθάπερ ξίφος μεμηνότι, δύναμιν λόγων, ἵνα μὴ πολλὴν καὶ ἄδικον ἅπασι τοῖς ἐν-
145 τυγχάνουσιν ἐνεργάσηται φθοράν. Ἃ δὲ Βαλαὰμ,
M. ταῦτ᾽ ἕκαστος τῶν μὴ κεκαθαρμένων ἀεὶ ματαιάζων αἰτιᾶταί πως, ἐμπορικὸν, ἢ γεωργικὸν, ἤ τιν᾽ ἄλλον τῶν ποριστικῶν ἐπιτηδεύσας βίον· ἕως μὲν αἴσια πάντα τὰ ἀφ᾽ ἑκάστου, γεγηθὼς ἐπιβέβηκε καὶ ἐποχεῖται, καὶ ἐνειλημμένος ἀπρὶξ ἔχεται, μεθέσθαι τὸ παράπαν οὐ δικαιῶν. Ἀλλὰ καὶ τοῖς ἀφίστασθαι λέγουσι, καὶ μέτρα τῆς ἐπιθυμίας περιθεῖναι, διὰ τὸ τοῦ μέλλοντος ἀτέκμαρτον, βασκανίαν ὀνειδίζει καὶ φθόνον, οὐκ ἀπ᾽ εὐνοίας εἰσηγεῖσθαι ταῦτα φάσκων. Ἐπειδὰν δὲ ἀβούλητος κακοπραγία συμβῇ, τοὺς μὲν ὡς ἀγαθοὺς μάντεις ἀποδέχεται καὶ προφυλάξασθαι δυνατωτάτους τὰ μέλλοντα· τὰ δ᾽ οὐδενὸς αἴτια κακοῦ τὸ παράπαν αἰτιᾶται, τὴν γεωργίαν, τὴν ἐμπορίαν, τὰς ἄλλας ἐπιτηδεύσεις, αἷς πρὸς ἀργυρισμὸν ἠξίου χρῆσθαι.

§. 11. Αἱ δὲ, καίτοι φωνητηρίων ὀργάνων ἀμοιροῦσαι, τὴν δι᾽ αὐτῶν τῶν πραγμάτων ῥήξουσι 114
φωνὴν ἐναργεστέραν οὖσαν τῆς διὰ γλώττης, "Ἀρά P.
γε, ὦ συκοφάντα, οὐχ ἡμεῖς ἐσμεν ἐκεῖναι," λέγου-

---

*) Gen. 22, 6. — **) Num. 22, 29.

σαι, "αἷς καθάπερ ὑποζυγίοις ὑψαυχενῶν ἐπεβεβήκεις; Μὴ καθ' ὑπεροψίαν ἄλλως εἰργάσμεθά σοι κακοπραγίαν; Ἴδε τὸν ἀνθεστῶτα ἐξ ἐναντίας θεοῦ λόγον ἐνωπλισμένον, παρ' ὃν τό τε εὖ καὶ τὸ μὴ συμβέβηκε τελειοῦσθαι. Οὐχ ὁρᾷς; Τί οὖν νῦν ἡμᾶς αἰτιᾷ, πρότερον ὅτε εὐώδει σοι τὰ πράγματα, οὐχὶ μεμψάμενος; Ἐσμὲν γὰρ αἱ αὐταὶ μηδὲν τῆς ἑαυτῶν φύσεως μεταβαλοῦσαι, τὸ παράπαν στιγμήν· σὺ δὲ κριτηρίοις χρώμενος οὐχ ὑγιέσιν, ἀλόγως σφαδάζεις. Εἰ γὰρ ἐξ ἀρχῆς ἔμαθες, ὅτι οὐχ ἅττ' ἂν ἐπιτηδεύῃς, ἀγαθῶν μετουσίας ἢ κακῶν ἐστιν αἰτία, ἀλλ' ὁ πηδαλιοῦχος καὶ κυβερνήτης τοῦ παντὸς λόγος θεῖος, ῥᾷον ἂν ἔφερες τὰ συμπίπτοντα, παυσάμενος τοῦ συκοφαντεῖν καὶ ἐπιγράφειν ἡμῖν ἃ μὴ δυνάμεθα. Ἐὰν οὖν πάλιν καθελὼν ἐκεῖνος τὸν πόλεμον, καὶ τὰς ἐπ' αὐτῷ ἐννοίας καὶ κατηφείας σκεδάσας, εἰρήνην ἐπικηρυκεύσηται βίου, φαιδρὸς καὶ γεγηθὼς τὴν δεξιὰν ἐμβαλεῖ γ' ἡμῖν ταῖς ἐν ὁμοίῳ μενούσαις. Ἡμεῖς δ' οὔτ' εὐμενείᾳ τῇ σῇ φυσιώμεθα, οὔτ' ἐὰν δυςμεναίνῃς, ἐπιστρεφόμεθα. Ἴσμεν γὰρ ἑαυτὰς μήτ' ἀγαθῶν μήτε κακῶν αἰτίας οὔσας, καὶ ἂν σὺ περὶ ἡμῶν τοιαῦτα δοξάζῃς· εἰ μὴ καὶ τὴν θάλατταν εὐπλοίας ἢ τῶν συμβαινόντων ναυαγίων, ἀλλ' οὐχὶ τὰς τῶν πνευμάτων διαφορὰς, τοτὲ μὲν ἐπιεικῶς, τοτὲ δὲ μετὰ βιαιοτάτου συρμοῦ καταπνεόντων, αἰτιατέον. Φύσει γὰρ παν-
46 τὸς ὕδατος ἠρεμίαν ἐξ αὐτοῦ λαχόντος, ὅταν μὲν
I. πνεῦμα οὔριον κατ' οἰάκων ἐπιγένηται, παντὸς καὶ ἀνασεισθέντος κόλου, πλησίστιοι μέχρι λιμένων αἱ νῆες κατάγουσιν. Ὅταν δὲ αἰφνίδιον κατὰ πρώρας ἐξ ἐναντίας κατασκήψῃ, πολὺν σάλον καὶ κλόνον ἐγείρει, καὶ ἀνατρέπει. Καὶ τοῦ συμβαίνοντος ἡ μηδὲν αἰτία θάλασσα τὴν πρόφασιν ἴσχει, φανερῶς ταῖς ἀνέσεσι καὶ σφοδρότησι τῶν ἀνέμων ἢ γαληνιάζουσα ἢ κυμαίνουσα." Διὰ τούτων οὖν ἁπάντων ἱκανῶς οἶμαι δεδηλῶσθαι, ὅτι λόγον ἡ φύσις δυνατώτατον

σύμμαχον ἀνθρώπῳ δημιουργήσασα, τὸν μὲν αὐτῷ χρῆσθαι δυνάμενον ὀρθῶς ἀπέδειξεν εὐδαίμονα καὶ λογικὸν ὄντως, τὸν δὲ μὴ δυνάμενον ἄλογόν τε καὶ κακοδαίμονα. —

§. 12. "Ἀδὰμ δὲ ἔγνω τὴν γυναῖκα αὐτοῦ. Καὶ συνέλαβε καὶ ἔτεκε τὸν Κάϊν. Καὶ εἶπεν, ἐκτησάμην ἄνθρωπον διὰ τοῦ θεοῦ. Καὶ προςέθηκε τεκεῖν τὸν Ἀβὲλ τὸν ἀδελφὸν αὐτοῦ." *) Οἷς ἀρετὴν μεμαρτύρηκεν ὁ νομοθέτης, τούτους γνωρίζοντας γυναῖκας οὐκ εἰςάγει, τὸν Ἀβραάμ, τὸν Ἰσαάκ, τὸν 1
Ἰακώβ, τὸν Μωϋσῆν, καὶ εἴ τις αὐτοῖς ὁμόζηλος. Ἐπειδὴ γάρ φαμεν εἶναι γυναῖκα τροπικῶς αἴσθησιν, ἀλλοτριώσει δὲ αἰσθήσεως καὶ σώματος ἐπιστήμη συνίσταται, τοὺς σοφίας ἐραστὰς αἴσθησιν ἀποδοκιμάζοντας μᾶλλον ἢ αἱρουμένους ἐπιδείξεται. Καὶ μήποτ' εἰκότως. Αἱ γὰρ τούτοις συνοικοῦσαι, λόγῳ μέν εἰσι γυναῖκες, ἔργῳ δὲ ἀρεταί. Σάῤῥα μὲν ἄρχουσα καὶ ἡγεμονίς. Ῥεβέκκα δὲ ἐπιμονὴ τῶν καλῶν. Λεία δὲ ἀνανευομένη καὶ κοπιῶσα ἐπὶ τῇ συνεχείᾳ τῆς ἀσκήσεως, ἣν ἐκνένευκε καὶ ἀποστρέφεται πᾶς ἄφρων ἀρνούμενος. Σεπφώρα δὲ ἡ Μωϋσέως, ἀπὸ γῆς εἰς οὐρανὸν ἀνατρέχουσα, καὶ τὰς ἐκεῖ θείας καὶ εὐδαίμονας φύσεις κατανοοῦσα· καλεῖται δὲ ὀρνίθιον. Ἵνα δὲ τὴν ἀρετῶν κύησιν καὶ ὠδῖνα εἴπωμεν, ἀκοὰς ἐπιφραξάτωσαν δεισιδαίμονες τὰς ἑαυτῶν ἢ μεταστήτωσαν. Τελετὰς γὰρ ἀναδιδάσκομεν θείας τοὺς τελετῶν ἀξίους τῶν ἱερωτάτων μύστας. Οὗτοι δ' εἰσὶν οἱ τὴν ἀληθῆ καὶ οὖσαν ὄντως ἀκαλλώπιστον εὐσέβειαν μετὰ ἀτυφίας ἀσκοῦντες. Ἐκείνοις δὲ οὐχ ἱεροφαντήσομεν κατεσχημένοις ἀνιάτῳ κακῷ, τύφῳ ῥημάτων, καὶ ὀνομάτων γλισχρότητι, καὶ τερθρείαις ἠθῶν, ἄλλῳ δὲ οὐδενὶ τὸ εὐαγὲς καὶ
147 ὅσιον παραμετροῦσιν.
M.

*) Gen. 4, 1.

§. 13. Ἀρκτέον οὖν τῆς τελετῆς ὧδε. Ἀνὴρ μὲν γυναικὶ, ἄνθρωπος δ᾽ ἄῤῥην ἀνθρώπῳ θηλείᾳ τὰς ἐπὶ γενέσει παίδων ὁμιλίας, ἐπακολουθῶν τῇ φύσει, συνέρχεται ποιησόμενος. Ἀρεταῖς δὲ πολλὰ καὶ τέλεια τικτούσαις θέμις οὐκ ἔστιν ἀνδρὸς ἐπιλαχεῖν θνητοῦ. Μὴ δεξάμεναι δὲ παρά τινος ἑτέρου ἐπιγονὴν, ἐξ ἑαυτῶν μὲν μόνων οὐδέποτε κυήσουσι. Τίς οὖν ὁ σπείρων ἐν αὐταῖς τὰ καλὰ, πλὴν ὁ τῶν ὅλων πατὴρ, ὁ ἀγέννητος θεὸς, καὶ τὰ σύμπαντα γεννῶν; Σπείρει μὲν οὖν οὗτος, τὸ δὲ γέννημα τὸ ἴδιον ὃ ἔσπειρε, δωρεῖται. Γεννᾷ γὰρ ὁ θεὸς οὐδὲν αὑτῷ, χρεῖος ἅτε ὢν οὐδενὸς; πάντα δὲ τῷ λαβεῖν δεομένῳ. Παρέξω δὲ τῶν λεγομένων ἐγγυητὴν ἀξιόχρεων τὸν ἱερώτατον Μωϋσῆν.*) Τὴν γὰρ Σάῤῥαν εἰσάγει τότε κύουσαν, ὅτε ὁ θεὸς αὐτὴν μονωθεῖσαν ἐπισκοπεῖ· τίκτουσαν δ᾽ οὐκέτι τῷ τὴν ἐπίσκεψιν πεποιημένῳ, ἀλλὰ τῷ σοφίας τυχεῖν γλιχομένῳ, οὗτος δὲ Ἀβραὰμ ὀνομάζεται. Γνωριμώτερον δ᾽ ἐπὶ τῆς Λείας ἐκδιδάσκει, λέγων, ὅτι "τὴν μήτραν ἀνέῳξεν αὐτῆς ὁ θεός."**) Ἀνοιγνύναι δὲ μήτραν, ἀνδρὸς ἴδιον. Ἡ δὲ συλλαβοῦσα ἔτεκεν, οὐ θεῷ, — ἱκανὸς γὰρ μόνος καὶ αὐταρκέστατος ἑαυτῷ, — ἀλλὰ τῷ κάματον ἀναδεχομένῳ ὑπὲρ τοῦ καλοῦ, Ἰακὼβ, ὥςτε τὴν ἀρετὴν δέχεσθαι μὲν παρὰ τοῦ αἰτίου τὰ θεῖα σπέρματα, τίκτειν δέ τινι τῶν ἑαυτῆς ἐραστῶν, ὃς ἂν τῶν μνηστήρων ἁπάντων προκριθῇ.***) 116 P.
Πάλιν Ἰσαὰκ τοῦ πανσόφου θεὸν ἱκετεύσαντος, ἐκ τοῦ ἱκετευθέντος ἔγκυος ἡ ἐπιμονὴ Ῥεβέκκα γίνεται· χωρὶς δὲ ἱκετείας καὶ δεήσεως τὴν πτηνὴν καὶ μετάρσιον ἀρετὴν Σεπφώραν****) Μωϋσῆς λαβὼν, εὑρίσκει κύουσαν ἐξ οὐδενὸς θνητοῦ.

§. 14. Ταῦτα, ὦ μύσται, κεκαθαρμένοι τὰ ὦτα, ὡς ἱερὰ ὄντως μυστήρια ψυχαῖς ταῖς ἑαυτῶν παρα-

---

*) Gen. 21, 1. — **) Gen. 29, 13. — ***) Gen. 25, 21. ****) Exod. 2, 21 sq.

δέχεσθε, καὶ μηδενὶ τῶν ἀμυήτων ἐκλαλήσατε, ταμιευσάμενοι δὲ παρ' ἑαυτοῖς φυλάττετε θησαυρὸν, οὐκ ἐν ᾧ χρυσὸς καὶ ἄργυρος, οὐσίαι φθαρταὶ, κατάκεινται, ἀλλὰ τῶν ὄντων κτημάτων τὸ καλλιστεῖον, ἡ περὶ τοῦ αἰτίου καὶ ἀρετῆς, καὶ τρίτου, τοῦ γεννήματος ἀμφοῖν, ἐπιστήμη. Ἐὰν δέ τινι τῶν τετελεσμένων ἐντυγχάνητε, λιπαρῶς ἐγκείμενοι περιέχεσθε, μή τινα ἄρα καινοτέραν εἰδὼς τελετὴν ἐπικρύπτηται, μέχρις ἂν αὐτὴν σαφῶς αναδιδαχθῆτε. Καὶ γὰρ ἐγὼ παρὰ Μωϋσεῖ τῷ θεοφιλεῖ μυηθεὶς τὰ μεγάλα μυστήρια, ὅμως αὖθις Ἱερεμίαν τὸν
148 προφήτην ἰδὼν, καὶ γνοὺς ὅτι οὐ μόνον μύστης
M. ἐστὶν, ἀλλὰ καὶ ἱεροφάντης ἱκανὸς, οὐκ ὤκνησα φοιτῆσαι πρὸς αὐτόν. Ὁ δὲ, ἅτε τὰ πολλὰ ἐνθουσιῶν, χρησμόν τινα ἐξεῖπεν ἐκ προσώπου τοῦ θεοῦ λέγοντα πρὸς τὴν εἰρηνικωτάτην ἀρετὴν ταῦτα, "Οὐχ ὡς οἶκόν με ἐκάλεσας, καὶ πατέρα, καὶ ἄνδρα τῆς παρθενίας σου;" *) Ἐμφαντικώτατα παριστὰς, ὅτι ὁ θεὸς καὶ οἶκός ἐστιν, ἀσωμάτων ἰδεῶν ἀσώματος χώρα· καὶ τῶν συμπάντων πατὴρ, ἅτε γεγεννηκὼς αὐτά· καὶ σοφίας ἀνὴρ, σπέρμα τῷ θνητῷ γένει καταβαλλόμενος εὐδαιμονίας εἰς ἀγαθὴν καὶ παρθένον γῆν. Ἀμιάντῳ γὰρ καὶ ἀψαύστῳ καὶ καθαρᾷ φύσει, τῇ πρὸς ἀλήθειαν παρθένῳ, διαλέγεσθαι πρεπῶδες θεὸν, ἐναντίως ἡμῖν. Ἀνθρώπων μὲν γὰρ ἡ ἐπὶ γεννήσει τέκνων σύνοδος τὰς παρθένους γυναῖκας ἀποφαίνει· ὅταν δὲ ὁμιλεῖν ἄρξηται ψυχῇ θεὸς, πρότερον οὖσαν γυναῖκα παρθένον αὖθις ἀποδείκνυσιν. Ἐπειδὴ τὰς ἀγεννεῖς καὶ ἀνάνδρους ἐπιθυμίας αἷς ἐθηλύνετο, ἐκποδὼν ἀνελὼν, τὰς αὐθιγενεῖς καὶ ἀκηράτους ἀρετὰς ἀντεισάγει. Σάῤῥα γοῦν οὐ διαλέξεται, πρὶν "ἐκλιπεῖν ἐκείνην τὰ γυναικεῖα πάντα," **) καὶ ἀναδραμεῖν εἰς ἁγνευούσης παρθένου τάξιν.

---

*) Ier. 3, 4. — **) Gen. 18, 11.

§. 15. Ἀλλ' ἐνδέχεται τάχα που καὶ παρθένον
ψυχὴν πάθεσιν ἀκολάστοις μιανθεῖσαν αἰσχυνθῆναι.
Διόπερ ὁ χρησμὸς πεφύλακται θεὸν ἄνδρα εἰπών,
οὐ παρθένου, — τρεπτὴ γὰρ ἥδε καὶ θνητή, —
ἀλλὰ "παρθενίας," *) τῆς ἀεὶ κατὰ τὰ αὐτὰ καὶ
ὡσαύτως ἐχούσης ἰδέας. Γένεσιν γὰρ καὶ φθορὰν
ἐνδεχομένων φύσει τῶν ποιῶν, ἄφθαρτον αἱ τυποῦσαι
δυνάμεις τὸν ἐν μέρει κλῆρον εἰλήφασι. Τὸν οὖν
ἀγέννητον καὶ ἄτρεπτον θεὸν, ἀθανάτων καὶ παρ- 117
θένων ἀρετῶν σπείρειν ἰδέας, μήποτε εἰς γυναικὸς P.
μεταβαλλούσης σχῆμα παρθενίας, πρεπῶδες; Τί
οὖν, ὦ ψυχὴ, δέον ἐν οἴκῳ θεοῦ παρθενεύεσθαι,
καὶ ἐπιστήμης περιέχεσθαι, τούτων μὲν ἀποστατεῖς,
αἴσθησιν δὲ ἀσπάζῃ τὴν ἐκθηλύνουσάν σε καὶ μιαί-
νουσαν; Τοιγάρτοι γέννημα πάμφυρτον καὶ πανώ-
λεθρον ἀποτέξῃ τὸν ἀδελφοκτόνον καὶ ἐπάρατον
Κάϊν, κτῆσιν οὐ κτητήν. Λέγεται γὰρ ὁ Κάϊν
κτῆσις.

§. 16. Θαυμάσαι δ' ἄν τις τὸν τῆς ἑρμηνείας
τρόπον, ᾧ πολλάκις ἐπὶ πολλῶν ὁ νομοθέτης χρῆ-
19 ται, τὸ σύνηθες ἐξαλλάττων. Μετὰ γὰρ τοὺς
I. φύντας ἐκ γῆς, ἀρχόμενος δηλοῦν τὸν γεννηθέντα
πρῶτον ἐξ ἀνθρώπων, περὶ οὗ τὸ παράπαν οὐδὲν
εἴρηκεν, ὡς ἤδη πολλάκις τὸ ὄνομα αὐτοῦ προειπών,
ἀλλὰ μὴ νῦν αὐτὸ κατατάττων εἰς τὴν ἐν λόγῳ χρῆ-
σιν, φησὶν ὅτι ἔτεκε τὸν Κάϊν. Ποῖον, ὦ τεχνῖτα,
περὶ οὗ τί μικρὸν, ἢ μέγα πάλαι δεδήλωκας; Καὶ
μὴν οὐκ ἀγνοεῖς τὴν οἰκείαν θέσιν τῶν ὀνομάτων.
Ἤδη γοῦν προελθὼν ἐπὶ τοῦ αὐτοῦ δηλώσεις προς-
ώπου φάσκων, ὅτι "ἔγνω Ἀδὰμ Εὔαν τὴν γυναῖ-
κα αὐτοῦ· καὶ συλλαβοῦσα ἔτεκεν υἱὸν, καὶ ἐπωνό-
μασε τὸ ὄνομα αὐτοῦ Σήθ." **) Οὐκοῦν πολὺ μᾶλ-
λον ἐχρῆν ἐπὶ τοῦ πρωτοτόκου, ὃς ἦν ἀρχὴ τῆς ἐξ
ἀλλήλων γενέσεως ἀνθρώποις, τήν τε φύσιν τοῦ

*) Ier. 3, 4. — **) Gen. 4, 25.

ἀποκυηθέντος δηλῶσαι, πρῶτον ὅτι ἄῤῥεν, εἶτα τὸ οἰκεῖον ὄνομα θέσθαι, Κάϊν εἰ τύχοι; Ἐπειδὴ τοίνυν οὐκ ἀπειρίᾳ τρόπων, καθ᾽ οὓς ὀνόματα δεῖ τίθεσθαι, φαίνεται τὴν συνήθη χρῆσιν ἐπὶ τῶν περὶ Κάϊν ἀνελὼν, σκεπτέον ἂν εἴη τίνος αἰτίας ἕνεκα οὕτως ἐκάλεσε τοὺς ἐκ τῶν πρώτων, παραδιηγήσεως μᾶλλον ἢ θέσεως ὀνομάτων τύπῳ χρησάμενος. Ἔστι δὲ, ὡς ἔμοιγε στοχαζομένῳ φαίνεται, ἡ αἰτία ἥδε.

§. 17. Ὁ μὲν ἄλλος ἅπας ἀνθρώπων ὅμιλος ὀνόματα τίθεται πράγμασι διαφέροντα τῶν πραγμάτων, ὡς ἕτερα μὲν εἶναι τὰ τυγχάνοντα, ἑτέρας δὲ κλήσεις τὰς ἐπ᾽ αὐτοῖς. Παρὰ Μωϋσεῖ δὲ αἱ τῶν ὀνομάτων θέσεις ἐνάργειαι πραγμάτων εἰσὶν ἐμφαντικώταται, ὡς αὐτὸ τὸ πρᾶγμα ἐξ ἀνάγκης εὐθὺς εἶναι τὸ ὄνομα, καὶ καθ᾽ οὗ τίθεται διαφέρειν μηδέν. Μάθοις δ᾽ ἂν σαφέστερον καὶ ἐκ τοῦ προτεθέντος ὃ λέγω. Ὅταν ὁ ἐν ἡμῖν νοῦς — κεκλήσθω δὲ Ἀδὰμ — ἐντυχὼν αἰσθήσει, παρ᾽ ἣν ζῆν δοκεῖ τὰ ἔμψυχα, — καλεῖται δὲ Εὔα — συνουσίας ὀρεχθεὶς πλησιάσῃ, ἥδε συλλαμβάνει καθάπερ δικτύῳ καὶ θηρεύει φυσικῶς τὸ ἐκτὸς αἰσθητὸν, — διὰ μὲν ὀφθαλμῶν τὸ χρῶμα, διὰ δὲ ὤτων φωνὴν, διὰ δὲ μυκτήρων ἀτμὸν, χυμόν γε μὴν διὰ τῶν γεύσεως ὀργάνων, καὶ διὰ τῶν ἁφῆς ἅπαν σῶμα, — συλλαβὼν ἐγκύμων τε γίνεται, καὶ εὐθὺς ὠδίνει καὶ τίκτει κακῶν ψυχῆς τὸ μέγιστον, οἴησιν. Ὠιήθη γὰρ 11
αὐτοῦ πάντ᾽ εἶναι κτήματα, ὅσα εἶδεν, ὧν ἤκουσεν, P
ὧν ἐγεύσατο, ὧν ὠσφρήσατο, ὧν ἥψατο, καὶ πάντων ὑπέλαβεν εὑρέτην καὶ τεχνίτην ἑαυτόν.

§. 18. Ἔπαθε δὲ τοῦτο οὐκ ἀλόγως. Ἦν γάρ ποτε χρόνος, ὅτε νοῦς οὐ διελέγετο αἰσθήσει, οὐδ᾽ εἶχεν αἴσθησιν, πάμπολυ διεστὼς τῶν συννόμων καὶ ἀγε-
150 λαίων, ἐοικὼς τοῖς μονοτρόποις καὶ μοναστικοῖς ζώ-
M. οις. Τότε δὴ καθ᾽ ἑαυτὸν ἐξεταζόμενος, σώματος οὐκ ἐφήπτετο, ἄθρουν ἔχων ὄργανον περὶ ἑαυτὸν, ᾧ θηρεύσει τὸ ἐκτὸς, ἀλλ᾽ ἦν τυφλὸς καὶ ἀδύνατος,

οὐχ ὃν οἱ πολλοὶ λέγουσιν, ὅταν πηρωθέντα τὰς ὄψεις θεάσωνται· μίαν γὰρ οὗτος αἴσθησιν ἀφαιρεθεὶς, τῶν ἄλλων ἄγει πολλὴν περιουσίαν. Ἐκεῖνος δὲ πάσας τὰς αἰσθητικὰς δυνάμεις περικεκομμένος, ἀδύνατος ὄντως, ἥμισυ ψυχῆς τελείας, ἐνδέων δυνάμεως, ᾗ καταλαμβάνεσθαι σώματα πέφυκε, τμῆμα καθ᾽ ἑαυτὸν στερόμενον τοῦ συμφυοῦς οὐκ εὐτυχὲς, ἄνευ βάκτρων τῶν αἰσθητικῶν ὀργάνων τυγχάνει, οἷς ἱκανὸς ἦν σκηρίπτεσθαι κραδαινόμενος. Παρ᾽ ἣν αἰτίαν καὶ πολὺ σκότος πάντων κατεκέχυτο τῶν σωμάτων, οὐδενὸς φανῆναι δυναμένου· ᾧ γὰρ γνωρίζεσθαι ἔμελλεν, αἴσθησις οὐκ ἦν. Βουληθεὶς οὖν ὁ θεὸς μὴ μόνον τῶν ἀσωμάτων, ἀλλὰ καὶ στερεῶν σωμάτων κατάληψιν αὐτῷ παρασχεῖν, ἐξεπλήρου τὴν ὅλην ψυχὴν, τὸ ἕτερον τῷ προειργασμένῳ τμῆμα συνυφαίνων, ὃ κέκληκε προσηγορικῶς μὲν γυναῖκα, ὀνομαστικῶς δὲ Εὔαν, αἰνιττόμενος αἴσθησιν.

§. 19. Ἡ δὲ εὐθὺς γενομένη, δι᾽ ἑκάστου τῶν μερῶν αὐτῆς ὥςπερ διά τινων ὀπῶν, ἄθροον φῶς εἰς τὸν νοῦν ἐπειςέχεεν, καὶ τὴν ἀχλὺν ἀποσκεδάσασα, τηλαυγῶς καὶ σφόδρα ἐκδήλως τὰς φύσεις τῶν σωμάτων ἰδεῖν, καθάπερ δεσπότην, παρεσκεύασεν. Ὁ δὲ ὥςπερ ἐκ νυκτὸς ἡλιακῷ φέγγει καταυγασθεὶς ἀπαστράπτοντι, ἢ ἐκ βαθέος ὕπνου περιαναστὰς, ἢ οἷα τυφλὸς ἐξαίφνης ἀναβλέψας, ἐνετύγχανε πᾶσιν ἀθρόως ὧν γένεσίς ἐστιν, οὐρανῷ, γῇ, ὕδατι, ἀέρι, φυτοῖς, ζώοις, σχέσεσιν αὐτῶν, ποιότησι, δυνάμεσιν, ἕξεσι, κινήσεσιν, ἐνεργείαις, πράξεσι, μεταβολαῖς, φθοραῖς· καὶ τὰ μὲν ἑώρα, τῶν δὲ ἤκουε, τῶν δὲ ἐγεύετο, τῶν δὲ ὠσφραίνετο, τῶν δὲ ἥπτετο· καὶ πρὸς ἃ μὲν ἐπικλινῶς εἶχεν ἡδονὰς ἐργαζόμενα, τῶν δὲ ἀπεστρέφετο ἐμποιούντων ἀλγηδόνας. Περιβλεψάμενος οὖν ὧδε καὶ ἐκεῖσε, καὶ περιαθρήσας ἑαυτόν τε καὶ τὰς δυνάμεις, ἐτόλμησε ταὐτὸν αὔχημα αὐχῆσαι τῷ βασιλεῖ Μακεδόνων Ἀλε-

*ξάνδρῳ. Καὶ γὰρ ἐκεῖνόν φασιν, ἡνίκα Εὐρώπης
καὶ Ἀσίας ἔδοξεν ἀνάψασθαι τὸ κράτος, ἐν ἐπικαί-
ρῳ χωρίῳ στάντα καὶ πάντα περιαθρήσαντα εἰπεῖν,* 1
*ὅτι "καὶ τὰ τῇδε καὶ τὰ τῇδε ἐμὰ," μειρακιώδους
καὶ νηπίας καὶ ἰδιωτικῆς τῷ ὄντι ψυχῆς οὐ βασιλι-
κῆς ἐπιδειξάμενον κουφότητα. Πρότερος δὲ ὁ νοῦς
τὴν αἰσθητικὴν δύναμιν ἐξαψάμενος καὶ δι' αὐτῆς
πᾶσαν ἰδέαν θηρεύσας σώματος, ὑποπλησθεὶς ἀλό-*
151 *γου φρονήματος, ἐφυσήθη, ὡς τὰ πάντα ἑαυτοῦ νο-*
M. *μίσαι κτήματα, καὶ μηδενὸς ἄλλου τὸ παράπαν μηδέν.*

§. 20. *Οὗτός ἐστιν ὃν χαρακτηρίσας Μωϋσῆς τρόπον ἐν ἡμῖν, ἐπεφήμισε Κάϊν, ἑρμηνευόμενον κτῆσιν, εὐηθείας, μᾶλλον δὲ ἀσεβείας μεστὸν ὄντα. Ἀντὶ γὰρ τοῦ νομίσαι θεοῦ πάντα κτήματα, ὑπέλαβεν ἑαυτοῦ, μήθ' αὐτὸν ἔχειν βεβαίως δυνάμενος, ἀλλὰ μήθ' ὅστις ἐστὶ τὴν οὐσίαν εἰδώς. Ἀλλ' ὅμως ἐμπεπίστευκε ταῖς αἰσθήσεσιν, ὡς ἱκαναῖς θηρεῦσαι τὸ ἐκτὸς αἰσθητόν. Εἰπάτω, πῶς παρορᾶν, ἢ παρακούειν, ἢ κατά τινα ἄλλην αἴσθησιν μὴ ἁμαρτάνειν ἔτι δυνήσεται. Καὶ μὴν τοὺς ὀλίσθους ἀνάγκη τούτους περὶ ἕκαστον ἡμῶν ἀεὶ συμβαίνειν, καὶ ἂν τὰ μάλισθ' ἡμεῖς ἠκριβωμένοις τοῖς ὀργάνοις χρώμενοι τυγχάνωμεν. Τὰς γὰρ φυσικὰς κῆρας καὶ τὸν ἀκούσιον πλάνον εἰς ἅπαν ἐκδῦναι, χαλεπὸν, μᾶλλον δ' ἀμήχανον, ἀπείρων ὅσων ψευδοῦς δόξης ποιητικῶν ἔν τε ἡμῖν καὶ περὶ ἡμᾶς καὶ ἐκτὸς ἡμῶν, ἐν ἅπαντι τῷ θνητῷ γένει ὑπαρχόντων. Οὐκ ἄρα ὑγιῶς κτήμαθ' ἑαυτοῦ ὑπέλαβε τὰ πάντα, καὶ ἂν φρυαττόμενος ὑψαυχενῇ.*

§. 21. *Γελωτά μοι πλατὺν καὶ Λάβαν ὁ τῶν ποιοτήτων ἠρτημένος ἐδόκει παρασχεῖν Ἰακὼβ, τῷ πρὸ τούτων τὴν ἄποιον φύσιν ὁρῶντι, ἡνίκα ἐτόλμα πρὸς αὐτὸν λέγειν, ὅτι "αἱ θυγατέρες μου καὶ υἱοί μου καὶ τὰ κτήνη μου καὶ πάνθ' ὅσα σὺ ὁρᾷς, ἐμά*

ἐστι καὶ τῶν θυγατέρων μου."*) Ἐφ' ἑκάστου γὰρ
οὗτος τὸ Ἐμὸν προστιθεὶς, περὶ αὑτοῦ λέγων ἅμα
καὶ σεμνομυθῶν οὐ παύεται. Τὰς θυγατέρας, εἰπέ
μοι, — τέχναι δέ εἰσι καὶ ἐπιστῆμαι ψυχῆς, — θυ-
γατέρας σαυτοῦ λέγεις εἶναι; Τίνα τρόπον; Οὐ πρῶ-
τον μὲν παρὰ τοῦ διδάξαντος αὐτὰς νοῦ παραλα-
βὼν ἔχεις; Εἶτα καὶ πέφυκας ἀποβάλλειν ὥςπερ ἄλλ'
ἄττα καὶ ταῦτα, ἢ διὰ μέγεθος ἑτέρων φροντίδων
ἐκλαθόμενος, ἢ διὰ χαλεπὰς καὶ μηκίστας ἀῤῥω-
στίας σώματος, ἢ διὰ τὴν ὡρισμένην τοῖς πρεσβύ-
ταις ἀθεράπευτον νόσον, γῆρας, ἢ δι' ἄλλα μυρία,
ὧν ἀριθμὸν ἄπορον εὑρεῖν. Τί δὲ, τοὺς υἱοὺς —
υἱοὶ δέ εἰσιν οἱ κατὰ μέρος τῆς ψυχῆς λογισμοὶ —
φάσκων εἶναι σαυτοῦ, σωφρονεῖς, ἢ μέμηνας τοιαῦτα
δοξάζων; Αἱ γὰρ μελαγχολίαι καὶ παράνοιαι καὶ
φρενῶν ἐκστάσεις καὶ εἰκασίαι ἀβέβαιοι, καὶ φαν-
τασίαι πραγμάτων ψευδεῖς, καὶ κενοί τινες φρονη-
μάτων ὀνείροις ἐοικότες ἑλκυσμοὶ, καὶ σπασμοὺς ἐν-
διδόντες ἐξ ἑαυτῶν, καὶ ἡ σύντροφος ψυχῆς νόσος, 120
λήθη, καὶ ἄλλα τῶν εἰρημένων πλείω, τὸ ἐχυρόν P.
σου τῆς δεσποτείας ἀφαιρεῖται, καὶ ἐπιδείκνυται
ταῦτα ἑτέρου τινὸς, οὐχὶ σὰ κτήματα. Πῶς δὲ
τὰ κτήνη — κτήνη δέ εἰσιν αἱ αἰσθήσεις, ἄλογον
2 γὰρ καὶ κτηνῶδες αἴσθησις — σαυτοῦ λέγειν εἶναι
I. τολμᾷς; Παρορῶν εἰπέ μοι, παρακούων ἀεὶ, τοὺς
γλυκεῖς χυλοὺς ἁλμυροὺς ἔστιν ὅτε, καὶ ἔμπαλιν τοὺς
πικροὺς γλυκεῖς ἡγούμενος, καὶ κατὰ πᾶσαν αἴσθη-
σιν πλείω τῶν κατορθουμένων εἰωθὼς διαμαρτάνειν,
οὐκ ἐρυθριᾷς; Ἀλλ' ὥςπερ ἀπταίσταις κεχρημένος
ταῖς περὶ ψυχὴν ἁπάσαις δυνάμεσί τε καὶ ἐνεργείαις
γαυριᾷς καὶ πεφύσησαι;

§. 22. Ἀλλ' ἐὰν μεταβάλῃς, καὶ ὧν χρὴ φρε-
νῶν μοιραθῇς, ἐρεῖς πάντα τοῦ θεοῦ κτήματα, οὐχὶ
σαυτοῦ, τὰς διανοήσεις, τὰς ἐπιστήμας, τὰς τέχνας,

---

*) Gen. 31, 43.

τὰ θεωρήματα, τοὺς ἐν μέρει λογισμοὺς, τὰς αἰσθήσεις, τὰς διὰ τούτων καὶ ἄνευ αὐτῶν ψυχῆς ἐνεργείας. Ἐὰν δὲ μέχρι παντὸς ἀπαιδαγώγητον καὶ ἀδίδακτον ἐάσῃς σεαυτὸν, δουλεύσεις τὸν αἰῶνα χαλεπαῖς δεσποίναις, οἰήσεσιν, ἐπιθυμίαις, ἡδοναῖς, ἀδικίαις, ἀφροσύναις, ψευδέσι δόξαις. "Εἰ γὰρ" φησὶν, "ἀποκριθεὶς εἴποι ὁ παῖς, ἠγάπηκα τὸν κύριόν μου καὶ τὴν γυναῖκά μου καὶ τὰ παιδία, οὐκ ἐξελεύσομαι ἐλεύθερος· ἀχθεὶς πρὸς τὸ κριτήριον τοῦ θεοῦ," καὶ δικαστοῦ τυχὼν αὐτοῦ, βέβαιον σχήσει ὃ ᾐτήσατο, "πρότερον τρυπηθεὶς τὸ οὖς,"*) ἵνα μὴ δέξηται θείαν ἀκοὴν ὑπὲρ ἐλευθερίας ψυχῆς. Ἐκκεκριμένου γάρ ἐστιν ὥσπερ ἐξ ἀγῶνος ἱεροῦ καὶ ἀποδεδοκιμασμένου, παιδὸς ὄντως νηπίου τε κομιδῆ λογισμοῦ, σεμνολογεῖν ἐπὶ τῷ τὸν νοῦν ἠγαπηκέναι, καὶ τὸν νοῦν νομίζειν ἑαυτοῦ κύριον εἶναι καὶ εὐεργέτην, καὶ ἐπὶ τῷ τὴν αἴσθησιν σφόδρα στέργειν, καὶ κτῆμα ἴδιον αὐτὴν καὶ ἀγαθῶν τὸ μέγιστον ἡγεῖσθαι, καὶ τὰ τούτων ἀμφοῖν παιδία, τοῦ μὲν τὸ νοεῖν, τὸ λογίζεσθαι, τὸ διανοεῖσθαι, τὸ βουλεύεσθαι, τὸ στοχάζεσθαι· τῆς δὲ τὸ ὁρᾶν, τὸ ἀκούειν, τὸ γεύεσθαι, τὸ ὀσφραίνεσθαι, τὸ ἅπτεσθαι, κοινῶς τὸ αἰσθάνεσθαι.

§. 23. Ἀνάγκη μέντοι τὸν τούτοις οἰκειούμενον μηδ᾽ ὄναρ ἐλευθερίας ἐπησθῆσθαι· φυγῇ γὰρ αὐτῶν καὶ ἀλλοτριώσει μεταποιούμεθα ἀδείας. Ἄλλος δέ τις πρὸς τῷ φιλαύτῳ καὶ τὸ μανιῶδες ἐπιδεικνύμενος, φησὶν, ὅτι καὶ ἂν ἀφαιρῆταί τις, ὡς περὶ οἰκείων ἀγωνισάμενος, οἴσομαι τὸ κράτος. "Διώξας γὰρ," φησὶν, 'καταλήψομαι, μεριῶ σκῦλα, ἐμπλήσω ψυχήν μου· καὶ ἀνελῶ τῇ μαχαίρᾳ μου, κυριεύσει ἡ χείρ μου." **) Πρὸς ὃν εἴποιμι ἄν· λέληθέ σε, ὦ μωρὲ, ὅτι πᾶς ὁ δοκῶν ἐν γενέσει διώκειν, διώκεται. Νόσοι γὰρ καὶ γῆρας καὶ θάνατος μετὰ

*) Exod. 21, 6. — **) Exod. 15, 9.

τῆς ἄλλης τῶν ἑκουσίων καὶ ἀκουσίων πληθύος, ἕκαστον ἡμῶν ἐλαύνουσι καὶ στροβοῦσι καὶ διώκουσι. Καὶ ὁ νομίζων καταλαμβάνειν ἢ κρατεῖν 121
καταλαμβάνεται καὶ κρατεῖται. Καί τις λαφυραγω- P.
γήσειν ἐλπίσας, καὶ μοίρας λείας διατιθεὶς, ἡττη-
53 θεὶς ὑπὸ κεκρατηκόσιν ἐχθροῖς ἐγένετο, κένωσιν
I. ἀντὶ πλησμονῆς, καὶ δουλείαν ἀντὶ δεσποτείας ψυχῇ δεξάμενος τῇ ἑαυτοῦ, καὶ ἀντὶ τοῦ ἀνελεῖν ἀναιρεθεὶς, καὶ πάνθ᾽ ὅσα δράσειν ἐνενόησε, παθὼν ἀνὰ κράτος. Ἦν μὲν γὰρ ὡς ἀληθῶς ἐχθρὸς οὗτος αἱροῦντος λόγου καὶ φύσεως αὐτῆς, τὰ ἐν τῷ ποιεῖν ἅπαντα περιάπτων αὐτῷ, καὶ μηδενὸς τῶν ἐν τῷ πάσχειν ἔτι μεμνημένος, ὡς τὰς ἀφ᾽ ἑκάστου κῆρας ἀθρόας ἐκδεδυκώς.

§. 24. Εἶπε γὰρ, φησὶν, ὁ ἐχθρὸς, "διώξας καταλήψομαι." Τίς οὖν ἂν γένοιτο δυσμενέστερος ψυχῇ πολέμιος τοῦ διὰ μεγαλαυχίας τὸ ἴδιον θεοῦ προςκληροῦντος ἑαυτῷ; Ἴδιον μὲν δὴ θεοῦ τὸ ποιεῖν, ὃ οὐ θέμις ἐπιγράψασθαι γεννητῷ, ἴδιον δὲ γενητοῦ τὸ πάσχειν· Ὅπερ προλαβὼν μέν τις ὡς οἰκεῖον καὶ ἀναγκαῖόν ἐστι, ῥᾳδίως οἴσει τὰ προςπίπτοντα, κἂν ᾖ βαρύτατα. Νομίσας δὲ ἀλλότριον εἶναι, ἀνηνύτῳ πιεζόμενος ἄχθει, Σισύφειον τιμωρίαν ἀναδέξεται, μηδ᾽ ὅσον ἀνακῦψαι δυνάμενος, ἀλλὰ πᾶσι τοῖς ἐπιτρέχουσι καὶ τραχηλίζουσι δεινοῖς ὑποβεβλημένος, καὶ προςτιθεὶς ἑκάστῳ τὸ ὑπεῖκον καὶ εὐένδοτον, ἀγεννοῦς καὶ ἀνάνδρου ψυχῆς πάθη. Τλῆναι γὰρ ἔδει καὶ ἀντιτάξασθαι καὶ ἀντερείσασθαι, γνώμην ἐχυρωσάμενον καὶ ἀναφραξάμενον τῇ ἑαυτοῦ καρτερίᾳ καὶ ὑπομονῇ, δυνατωτάταις ἀρεταῖς. Ὥςπερ γὰρ τὸ κείρεσθαι διττὸν, τὸ μὲν ὡς ἀντιπεπονθὸς κατὰ ἀντέρεισιν, τὸ δὲ ὡς ὑπεῖκον καθ᾽ ὑπόπτωσιν, — πρόβατον μὲν γὰρ ἢ δέρμα ἢ τὸ λεγόμενον κώδιον, οὐδὲν ἐνεργοῦν ἐξ αὑτοῦ, πάσχον δὲ μόνον ὑφ᾽ ἑτέρου κείρεται, ὁ δ᾽ ἄνθρωπος συνδρῶν καὶ σχηματίζων καὶ ἐπιτήδειον παρέχων

*ἑαυτὸν, ἀνακιρνὰς τῷ πάσχειν τὸ ποιεῖν· — οὕτω καὶ τὸ τύπτεσθαι, τὸ μὲν συμβέβηκε πληγῶν ἄξια ἠδικηκότι οἰκέτῃ, ἢ ἐλευθέρῳ διὰ ῥᾳδιουργίαν ἐπὶ τροχοῦ κατατεινομένῳ, ἤ τινι τῶν ἀψύχων. Τύπτονται γὰρ λίθοι καὶ ξύλα, καὶ χρυσὸς καὶ ἄργυρος, καὶ ὅσαι ἐν χαλκοτυπείῳ ἐλαυνόμεναι ὗλαι, ἢ διαιρούμεναι. Τὸ δὲ συμβέβηκεν ἀθλητῇ πυγμὴν ἢ παγκράτιον περὶ νίκης καὶ στεφάνων ἀγωνιζομένῳ. Οὗτος μὲν οὖν τὰς ἐπιφερομένας πληγὰς ἑκατέρᾳ τῶν χειρῶν ἀποσείεται, καὶ τὸν αὐχένα περιάγων ὧδε καὶ ἐκεῖσε, τὸ μὴ τυφθῆναι φυλάσσεται. Πολλάκις δὲ καὶ δακτύλοις ποδῶν ἄκροις ἐπιβεβηκὼς, πρὸς ὕψος αὑτὸν ἐξάρας, ἢ στείλας καὶ συναγαγὼν ἔμπαλιν, κατὰ κενοῦ φέρειν τὰς χεῖρας τὸν ἀντίπαλον ἠνάγκασε, σκιαμαχίᾳ τινὶ παραπλήσιον δρῶντα. Ὁ δὲ οἰκέτης ἢ ὁ χαλκὸς μηδὲν ἀντιδρῶν, ὑπέῤῥιπται πάντα πεισόμενος, ὅσα ἂν ὁ διατιθεὶς ἐργάσασθαι διανοῆται· τοῦτο μὲν οὖν τὸ πάθος μήτε* 12
*σώματι μήτε πολὺ μᾶλλον ψυχῇ δεξώμεθά ποτε,* P
*τὸ δ᾽ ἀντιπεπονθὸς ἐκεῖνο, ἐπειδὴ πάσχειν ἀνάγκη τὸ θνητόν· ἵνα μὴ καθάπερ οἱ θηλυδρίαι κεκλα-*
154 *σμένοι καὶ παρειμένοι καὶ προαναπίπτοντες μετ᾽*
M. *ἐκλύσεως ψυχικῶν δυνάμεων ἐξασθενῶμεν, ἀλλ᾽ ἐῤῥωμένοι τοῖς τῆς διανοίας τόνοις, ἐπελαφρίζειν καὶ ἐπικουφίζειν ἰσχύωμεν τὴν φορὰν τῶν ἐπαρτωμένων δεινῶν. Ἐπειδὴ τοίνυν θνητὸς οὐδεὶς οὐδενὸς ἐπιδέδεικται παγίως καὶ βεβαίως κύριος, — οἱ δὲ λεγόμενοι δεσπόται δόξῃ μόνον, οὐ πρὸς ἀλήθειαν ὀνομάζονται, — ἀνάγκη δὲ ὡς ὑπήκοον καὶ δοῦλον οὕτως ἡγεμόνα ἐν τῷ παντὶ εἶναι καὶ κύριον· γένοιτ᾽ ἂν ὁ τῷ ὄντι ἄρχων καὶ ἡγεμὼν εἷς ὁ θεὸς, ᾧ λέγειν ἦν πρεπῶδες, "Ὅτι πάντα αὐτοῦ κτήματα."*

§. 25. *Καὶ ὡς μεγαλοπρεπῶς ἅμα καὶ θεοπρεπῶς διεξέρχεται περὶ τούτων, κατανοήσωμεν τὸ, "Ὅλα μου," φησὶν, "ἔστιν." Ὅλα δ᾽ ἔστιν, ἅ φησι "δῶρα καὶ δόματα καὶ καρπώματα, ἃ διατη-*

ροῦντες προσοίσετε ἐν ταῖς ἐμαῖς ἑορταῖς ἐμοί,"*) πάνυ ἐκδήλως παριστὰς, ὅτι τῶν ὄντων τὰ μὲν χάριτος μέσης ἠξίωται, ᾗ καλεῖται δόσις, τὰ δὲ ἀμείνονος, ἧς ὄνομα οἰκεῖον δωρεά. Τὰ δὲ τοιαῦτα γέγονεν, ὡς μὴ μόνον δύνασθαι καρποφορεῖν ἀρετὰς, ἀλλὰ καὶ δι' ὅλων ἤδη πεφυκέναι καρπὸς ἐδώδιμος, ᾧ μόνῳ ψυχὴ τοῦ φιλοθεάμονος τρέφεται. Ὁ δὲ ταῦτα διδαχθεὶς, καὶ διατηρεῖν καὶ διαφυλάττειν ἐν διανοίᾳ δυνάμενος, ἄμωμον καὶ κάλλιστον ἱερεῖον οἴσει θεῷ, πίστιν, ἐν οὐ θνητῶν ἑορταῖς. Ἑαυτῷ γὰρ καὶ τὰς ἑορτὰς προσκεκλήρωκε, δόγμα τιθεὶς ἀναγκαιότατον τοῖς φιλοσοφίας θιασώταις. Τὸ δὲ δόγμα τοῦτ' ἔστι· μόνος ὁ θεὸς ἀψευδῶς ἑορτάζει. Καὶ γὰρ μόνος γήθει, καὶ μόνος χαίρει, καὶ μόνος εὐφραίνεται, καὶ μόνῳ τὴν ἀμιγῆ πολέμου συμβέβηκεν εἰρήνην ἄγειν. Ἄλυπός ἐστι καὶ ἄφοβος, καὶ ἀκοινώνητος κακῶν, ἀνένδοτος, ἀνώδυνος, ἀκμὴς, εὐδαιμονίας ἀκράτου μεστός. Τελειοτάτη ἡ τούτου φύσις. Μᾶλλον δὲ αὐτὸς ἄκρα καὶ τέλος καὶ ὅρος εὐδαιμονίας ὁ θεὸς, μετέχων μὲν οὐδενὸς ἑτέρου πρὸς βελτίωσιν, τὸ δὲ ἴδιον μεταδεδωκὼς ἅπασι τοῖς ἐν μέρει τῆς τοῦ καλοῦ πηγῆς, ἑαυτοῦ. Τὰ γὰρ ἐν κόσμῳ καλὰ οὔποτ' ἂν ἐγένοντο τοιαῦτα, μὴ πρὸς ἀρχέτυπον τὸ πρὸς ἀλήθειαν καλὸν, τὸ ἀγέννητον καὶ μακάριον καὶ ἄφθαρτον ἀπεικονισθέντα.

§. 26. Καὶ διὰ τοῦτο καὶ τὸ "Σάββατον," ἑρμηνεύεται δ' ἀνάπαυσις, "θεοῦ" φησιν εἶναι Μωϋσῆς,**) πολλαχοῦ τῆς νομοθεσίας, οὐχὶ ἀνθρώπων, ἁπτόμενος φυσιολογίας ἀναγκαίας. Τὸ γὰρ ἐν τοῖς
15 οὖσιν ἀναπαυόμενον, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἕν
M ἐστιν ὁ θεός. Ἀνάπαυλαν δὲ οὐ τὴν ἀπραξίαν καλῶ, — ἐπειδὴ φύσει δραστήριον τὸ τῶν ὅλων αἴ- 123
τιον, οὐδέποτε ἴσχον τοῦ ποιεῖν τὰ κάλλιστα, — ἀλ- P.
λὰ τὴν ἄνευ κακοπαθείας μετὰ πολλῆς εὐμαρείας

*) Num. 28, 2. — **) Lev. 23, 2 sqq.

ἀπονωτάτην ἐνέργειαν. Ἥλιον μὲν γὰρ καὶ σελήνην καὶ τὸν σύμπαντα οὐρανόν τε καὶ κόσμον, ἅτε καὶ οὐκ ὄντα αὐτεξούσια, καὶ κινούμενα καὶ φερόμενα συνεχῶς, θέμις εἰπεῖν κακοπαθεῖν· καὶ τοῦ καμάτου μαρτύριον ἐναργέστατον, αἱ ἐτήσιοι ὧραι. Τά τε γὰρ συνεκτικώτατα τῶν ἐν οὐρανῷ, τὰς κινήσεις ἐναλλάττει, τοτὲ μὲν βορείους, τοτὲ δὲ νοτείους, τοτὲ δ᾽ ἀλλοίας ποιούμενα τὰς περιφοράς. Ὅ τε ἀὴρ ἀλεαινόμενος καὶ ψυχόμενος, καὶ πάσας τρεπόμενος τροπὰς, ἐκ τῶν ἰδίων παθημάτων ἐλέγχεται κάμνων, ἐπεὶ τὸ συνεκτικώτατον μεταβολῆς αἴτιον, κάματος. Εὔηθες δ᾽ ἐστι περὶ τῶν χερσαίων, ἢ καθ᾽ ὕδατος μακρηγορεῖν, τὰς καθόλου καὶ κατὰ μέρη τροπὰς αὐτῶν ἐπὶ μήκιστον διεξιόντα. Ταῦτα γὰρ πολὺ πλείω τῶν μεταρσίων κατὰ τὸ εἰκὸς ἀσθένειαν ἐνδέχεται, ἅτε πλεῖστον μετέχοντα τῆς ὑστάτης καὶ γεώδους οὐσίας. Ἐπειδὴ τοίνυν τὰ μὲν τρεπόμενα καμάτῳ πέφυκε μεταβάλλειν, ἄτρεπτος δὲ καὶ ἀμετάβλητος ὁ θεὸς, ἀκμὴς ἂν εἴη φύσει· τὸ δ᾽ ἀσθενείας ἀμέτοχον, καὶ ἂν πάντα ποιῇ, δι᾽ αἰῶνος ἀναπαυόμενον οὔποτε λήξει. Ὥςτε οἰκειότατον μόνῳ θεῷ τὸ ἀναπαύεσθαι.

§. 27. Ἐδείχθη δὲ καὶ τὸ ἑορτάζειν ἐπιβάλλειν αὐτῷ. Μόνου ἄρα καὶ ἕβδομαι καὶ ἑορταὶ τοῦ αἰτίου, ἀνθρώπων δὲ συνόλως οὐδενός. Ἴθι γὰρ, εἰ θέλεις, συνεπισκέψαι τὰς ἀοιδίμους πανηγύρεις ἡμῶν. Ὅσαι μὲν δὴ κατ᾽ ἔθνη βαρβαρικά τε καὶ ἑλληνικὰ ἐκ μυθικῶν πλασμάτων συνέστησαν, ἄλλαι παρ᾽ ἄλλοις κενὸν τῦφον ἔχουσαι τὸ τέλος, ἀφείσθωσαν. Καὶ γὰρ οὐδ᾽ ὁ σύμπας ἀνθρώπων βίος ἐξαρκέσει πρὸς τὸ τὰς ἐνυπαρχούσας ἀτοπίας ἑκάστοις ἀκριβῶσαι· ἃς δ᾽ ἀντὶ πολλῶν εἴποι τις ἐφ᾽ ἁπάσας ὀλίγα στοχαζόμενος τοῦ καιροῦ, λεκτέον. Πάσης ἑορτῆς τε καὶ πανηγύρεως τῶν παρ᾽ ἡμῖν τὰ θαυμαστὰ καὶ περιμάχητα ἔργα ταῦτα· ἄδεια, ἄνεσις, ἐκκεχειρία, μέθη, παροινία, κῶμοι, χλιδὴ, θρύψις, θυραυλίαι,

παννυχίδες, ἀπρεπεῖς ἡδοναὶ, μεθημερινοὶ γάμοι, βιαιόταται ὕβρεις, ἀσκήσεις ἀκρασίας, ἀφροσύνης μελέται, ἐπιτηδεύσεις αἰσχρῶν, φθορὰ παντελὴς τοῦ
56 καλοῦ, νυκτεγερσίαι πρὸς ἀπλήστους ἐπιθυμίας, ὕπνος ἐν ἡμέρᾳ, ὁπότε καιρὸς ἐγρηγόρσεως, φύσεως ἔργων ἐναλλαγή. Τότε ἀρετὴ μὲν ὡς βλαβερὸν γελᾶται, κακία δὲ ὡς ὠφέλιμον ἁρπάζεται. Τότε τὰ μὲν πρακτέα ἄτιμα, τὰ δὲ μὴ πρακτέα ἐπίτιμα.
Τότε μουσικὴ μὲν καὶ φιλοσοφία καὶ πᾶσα παίδευ- 124
σις, τὰ τῆς θείας ψυχῆς θεῖα ὡς ἀληθῶς ἀγάλματα, P.
ἀφωνίαν ἴσχει, αἱ δὲ μαστροπεύουσαι καὶ προξενοῦσαι τὰς ἡδονὰς γαστρὶ καὶ τοῖς μετὰ γαστέρα ῥητορεύουσι.

§. 28. Τοιαῦται τῶν λεγομένων εὐδαιμόνων αἱ ἑορταί. Καὶ μέχρι μὲν οἰκίαις ἢ χωρίοις βεβήλοις ἐνασχημονοῦσι, ἧττον ἁμαρτάνειν μοι δοκοῦσιν. Ἐπειδὰν δὲ ὥσπερ χειμάῤῥου φορὰ πάντη νεμηθεῖσα καὶ ἱερῶν τοῖς ἁγιωτάτοις προσπελάσασα βιάσηται, τὰ ἐν τούτοις εὐαγῆ πάντα εὐθὺς ἔῤῥιψεν, ὡς ἀπεργάσασθαι θυσίας ἀνιέρους, ἱερεῖα ἄθυτα, εὐχὰς ἀτελεῖς, ἀμυήτους μυήσεις, ἀνοργιάστους τελετὰς, νόθον εὐσέβειαν, κεκιβδηλευμένην ὁσιότητα, ἁγνείαν ἄναγνον, κατεψευσμένην ἀλήθειαν, βωμολόχον θεραπείαν θεοῦ. Καὶ πρὸς τούτοις ἔτι τὰ μὲν σώματα λουτροῖς καὶ καθαρσίοις ἀποῤῥύπτονται, τὰ δὲ ψυχῆς ἐκνίψασθαι πάθη, οἷς καταῤῥυπαίνεται ὁ βίος, οὔτε βούλονται, οὔτε ἐπιτηδεύουσι. Καὶ λευχειμονοῦντες μὲν εἰς τὰ ἱερὰ βαδίζειν σπουδάζουσιν, ἀκηλιδώτους ἐσθῆτας ἀμπεχόμενοι, διάνοιαν δὲ κεκηλιδωμένην ἄχρι τῶν ἀδύτων εἰσάγοντες οὐκ αἰδοῦνται. Καὶ ἂν μέν τι τῶν θρεμμάτων μὴ παντελὲς καὶ ὁλόκληρον εὑρίσκηται, ἔξω περιῤῥαντηρίων ἀπελαύνεται, βωμοῖς οὐκ ἐώμενον προσαχθῆναι, καὶ ἂν τοιαύταις σωματικαῖς λώβαις ἁπάσαις ἀκουσίοις κεχρημένον. Κατατετρωμένοι δὲ τὰς ψυχὰς ἐκ νοσημάτων χαλεπῶν, ἃ κακίας ἀμήχανος δύναμις προέ-

βαλε, μᾶλλον δὲ ἠκρωτηριασμένοι καὶ ἐκτετμημένοι τὰ κάλλιστα, φρόνησιν, καρτερίαν, δικαιοσύνην τε, εὐσέβειαν, τὰς ἄλλας ὅσας τὸ ἀνθρώπειον γένος χωρεῖν πέφυκεν ἀρετὰς, καὶ καθ᾽ ἑκούσιον γνώμην ἐκδεδεγμένοι τὰς λύμας, ὅμως ἱερουργεῖν τολμῶσι, νομίζοντες τὸν τοῦ θεοῦ ὀφθαλμὸν τὰ ἐκτὸς μόνα ὁρᾶν ἡλίου συνεργοῦντος ἀλλ᾽ οὐχὶ πρὸ τῶν ἐμφανῶν τὰ ἀφανῆ καταθεᾶσθαι, φωτὶ χρώμενον ἑαυτῷ. Ὁ γὰρ τοῦ ὄντος ὀφθαλμὸς φωτὸς ἑτέρου πρὸς κατάληψιν οὐ δεῖται, αὐτὸς δὲ ὢν ἀρχέτυπος αὐγὴ μυρίας ἀκτῖνας ἐκβάλλει, ὧν οὐδεμία ἐστὶν αἰσθητὴ, νοηταὶ δὲ αἱ ἅπασαι. Παρ᾽ ὃ καὶ μόνος ὁ νοητὸς θεὸς αὐταῖς χρῆται, τῶν δὲ γενέσεως μεμοιραμένων οὐδείς. Αἰσθητὸν γὰρ τὸ γενόμενον, αἰσθήσει δὲ ἀκατάληπτον ἡ νοητὴ φύσις.

157 §. 29. Ἐπειδὴ τοίνυν ἀοράτως τόδε τῆς ψυχῆς
M. χωρίον εἰςδύεται, παρασκευάζωμεν τὸν τόπον ἐκεῖνον, ὡς ἔνεστι κάλλιστον, ἀξιόχρεων ἐνδιαίτημα θεοῦ γενησόμενον· εἰ δὲ μὴ, λήσεται μεταναστὰς εἰς ἕτερον οἶκον ὃν ἂν ἄμεινον αὐτῷ δοκῇ δεδημιουργῆσθαι. Εἰ γὰρ βασιλεῖς ὑποδέχεσθαι μέλλοντες λαμπροτέρας κατασκευάζομεν τὰς ἰδίας οἰκίας, μηδενὸς τῶν εἰς κόσμον ὀλιγωροῦντες, ἀλλὰ πᾶσιν 12
ἀδεῶς καὶ ἀφθόνως χρώμεθα, τοῦ τὴν καταγω- P
γὴν ἡδίστην ἅμα καὶ μετὰ τοῦ πρέποντος ἀξιώματος αὐτοῖς γενέσθαι στοχαζόμενοι· τῷ βασιλέων βασιλεῖ καὶ τῶν συμπάντων ἡγεμόνι θεῷ δι᾽ ἡμερότητα καὶ φιλανθρωπίαν ἀξιώσαντι τὸ γενητὸν ἐπισκέψεως, καὶ ἀπ᾽ οὐρανοῦ περάτων μέχρι γῆς ἐσχάτων ἐπ᾽ εὐεργεσίᾳ τοῦ γένους ἡμῶν κατελθόντι, ποταπὸν οἶκον ἄρα χρὴ κατασκευάζεσθαι; Λίθων μὲν, ἢ ξυλίνης ὕλης; Ἄπαγε, ἀλλ᾽ οὐδ᾽ εἰπεῖν εὐαγές. Οὐδὲ γὰρ, εἰ πᾶσα γῆ χρυσὸς ἢ τι χρυσοῦ τιμαλφέστερον μεταβαλοῦσα ἐξαίφνης γένοιτο, καὶ ἔπειτα δημιουργῶν τέχναις στοὰς καὶ προπύλαια καὶ ἀνδρῶνας καὶ προτεμενίσματα καὶ νεὼς κατασκευαζόντων ἀναλω-

θείη, γένοιτ' ἂν βάσις αὐτοῦ τοῖς ποσίν. Ἀξιόχρεως
μέντοι γε οἶκος ψυχὴ ἐπιτήδειος

§. 30. Οἶκον οὖν ἐπίγειον τὴν ἀόρατον ψυχὴν
τοῦ ἀοράτου θεοῦ λέγοντες, ἐνδίκως καὶ κατὰ νό-
μον φήσομεν. Ἵνα δὲ βέβαιος καὶ περικαλλέστατος
εἴη ὁ οἶκος, θεμέλιοι μὲν ὑποβεβλήσθωσαν εὐφυΐα
καὶ διδασκαλία· ἀρεταὶ δὲ μετὰ καλῶν πράξεων ἐποι-
κοδομείσθωσαν αὐτῷ. Τὰ δὲ προκοσμήματα ἔστω
ἡ ἀνάληψις τῶν ἐγκυκλίων προπαιδευμάτων. Ἐκ
μὲν γὰρ εὐφυΐας, εὐθιξία, ἐπιμονή, μνήμη· ἐκ δὲ
διδασκαλίας, εὐμάθεια, προσοχή, καθάπερ τινὸς ῥί-
ζαι δένδρου μέλλοντος ἡμέρους καρποὺς ἀποκυΐσκειν,
συνίστανται, ὧν ἄνευ τελεσιουργηθῆναι διάνοιαν ἀμή-
χανον. Ἐκ δὲ ἀρετῶν καὶ τῶν κατ' αὐτὰς πράξεων
τὸ ἐχυρὸν καὶ βέβαιον τῆς ἀσφαλοῦς ἱδρύσεως πε-
ριγίνεται, τοῦ διαστῆσαι καὶ φυγαδεῦσαι καὶ μετα-
νάστιν ἀπεργάσασθαι τοῦ καλοῦ ψυχὴν ἐγνωκότος,
πρὸς οὕτω καρτερὰν ἰσχὺν ἐξασθενοῦντος. Ἐκ δὲ
τῆς ἐγκυκλίου τῶν προπαιδευμάτων μελέτης τὰ πρὸς
κόσμον τῆς ψυχῆς ἤρτηται. Καθάπερ γὰρ κονιά-
ματα καὶ γραφαὶ καὶ πινάκια καὶ λίθων πολυτελῶν
58 διαθέσεις, αἷς οὐ μόνον τοίχους, ἀλλὰ καὶ τὰ
I. ἐδάφη ποικίλλουσι, καὶ ὅσα ἄλλα τοιαῦτα, πρὸς μὲν
ἰσχὺν οὐ συμβάλλεται, τέρψιν δὲ περιποιεῖ μόνον
τοῖς ἐνοικοῦσιν· οὕτως ἡ τῶν ἐγκυκλίων ἐπιστήμη
τὸν ψυχικὸν οἶκον ἅπαντα διακοσμεῖ, γραμματικὴ
μὲν ποιητικὴν ἐρευνῶσα, καὶ παλαιῶν πράξεων ἱστο-
ρίαν μεταδιώκουσα, γεωμετρία δὲ τὴν κατ' ἀναλο-
γίαν ἰσότητα περιποιοῦσα, τὸ δὲ ἐν ἡμῖν ἄῤῥυθμον
καὶ ἄμετρον καὶ ἐκμελὲς ῥυθμῷ καὶ μέτρῳ καὶ μέ-
λει διὰ μουσικῆς ἀστείου θεραπεύουσα, ῥητορικὴ δὲ
τάς τε ἐν ἑκάστοις δεινότητας ἐξετάζουσα, καὶ πᾶ-
σαν τὴν πρέπουσαν ἑρμηνείαν ἐφαρμόζουσα, τονώ-
σεις καὶ περιπαθήσεις, καὶ ἔμπαλιν ἀνέσεις καὶ ἡδο- 126
νάς, μετὰ στωμυλίας καὶ τῆς περὶ γλῶτταν καὶ τὰ P.
φωνητήρια ὄργανα εὐπραγίας, περιποιοῦσα.

§. 31. Τοιούτου κατασκευασθέντος οἴκου παρὰ τῷ θνητῷ γένει, χρηστῶν ἐλπίδων τὰ ἐπίγεια πάντα ἀναπλησθήσεται, κάθοδον δυνάμεων θεοῦ προσδοκήσαντα. Αἳ δὲ νόμους ἀπ᾽ οὐρανοῦ καὶ δεσμοὺς ἐπιφερόμεναι τοῦ καθαγιάσαι καὶ καθιερῶσαι χάριν ἀφίξονται, κατὰ τὴν τοῦ πατρὸς αὐτῶν ἐπικέλευσιν. Εἶθ᾽ ὁμοδίαιτοι καὶ ὁμοτράπεζοι ταῖς φιλαρέτοις γενόμεναι ψυχαῖς, σπείρουσιν ἐν αὐταῖς γένος τὸ εὔδαιμον· καθὰ καὶ Ἀβραὰμ τῷ σοφῷ τῆς παρ᾽ αὐτῷ καταγωγῆς, τὸν Ἰσαάκ, τελειοτάτην χάριν δεδώρηνται. Χαίρει δ᾽ ἐπ᾽ οὐδενὶ μᾶλλον ἡ κεκαθαρμένη διάνοια, ἢ τῷ δεσπότην ἔχειν τὸν ἡγεμόνα πάντων ὁμολογεῖν. Τὸ γὰρ δουλεύειν θεῷ μέγιστον αὔχημα, καὶ οὐ μόνον ἐλευθερίας, ἀλλὰ καὶ πλούτου καὶ ἀρχῆς, καὶ πάντων ὅσα τὸ θνητὸν γένος ἀσπάζεται, τιμιώτερον. Τῆς δὲ τοῦ ὄντος ἡγεμονίας ὁ χρησμὸς ἀληθὴς μάρτυς, λέγων ὧδε, "Καὶ ἡ γῆ οὐ πραθήσεται εἰς βεβαίωσιν· ἐμὴ γάρ ἐστι πᾶσα ἡ γῆ, διότι προσήλυτοι καὶ πάροικοι ὑμεῖς ἐστὲ ἐναντίον ἐμοῦ·" *) Ἆρ᾽ οὐκ ἐναργέστατα παρίστησιν, ὅτι κτήσει μὲν τὰ πάντα θεοῦ, χρήσει δὲ μόνον γενέσεως ἐστι; Βεβαίως γάρ, φησὶν, οὐδὲν οὐδενὶ πεπράσεται τῶν ἐν γενέσει, ὡς ἂν ἑνὸς ὄντος, οὗ κυρίως βεβαία ἡ τῶν ὅλων
159 κτῆσις. Κέχρηκε γὰρ ὁ θεὸς τὰ γενητὰ πάντα πᾶ-
M. σιν, οὐδὲν τῶν κατὰ μέρος τέλειον ἐργασάμενος, ὃ μὴ πάντως χρεῖον ἄλλου· ἵν᾽ οὗ δεῖται τυχεῖν γλιχόμενον, ἐξ ἀνάγκης τῷ παρασχεῖν δυναμένῳ πλησιάζοι, καὶ ἐκεῖνο τούτῳ, καὶ ἀμφότερα ἀλλήλοις. Οὕτως γὰρ ἐπαλλάττοντα καὶ ἐπιμιγνύμενα, λύρας τρόπον ἐξ ἀνομοίων ἡρμοσμένης φθόγγων, εἰς κοινωνίαν καὶ συμφωνίαν ἐλθόντα, συνηχήσειν ἔμελλεν, ἀντίδοσίν τινα καὶ ἀντέκτισιν πάντα διὰ πάντων ὑπομένοντα, πρὸς τὴν τοῦ κόσμου παντὸς ἐκπλήρωσιν. Ταύτῃ καὶ ἄψυχα ἐμψύχων, καὶ ἄλογα λογικῶν, καὶ δένδρα

*) Lev. 25, 23.

ἀνθρώπων, καὶ ἄνθρωποι φυτῶν, καὶ ἡμέρων ἀτί-
θασσα, καὶ ἀγρίων χειροήθη, καὶ ἄῤῥεν θήλεος, καὶ
θῆλυ ἄῤῥενος, καὶ συνελόντι φράσαι, χερσαῖα ἐνύδρων,
καὶ ἔνυδρα ἀεροπόρων, καὶ πτηνὰ τῶν προειρημένων·
καὶ πρὸς τούτοις ἔτι, γῆ μὲν οὐρανοῦ, οὐρανὸς δὲ
γῆς, ἀὴρ δὲ ὕδατος, ὕδωρ δὲ πνεύματος· καὶ πάλιν
αἱ μεταξὺ φύσεις ἀλλήλων τε καὶ τῶν ἄκρων, καὶ
αἱ ἄκραι τῶν μέσων καὶ ἑαυτῶν ἐρῶσι. Χειμών γε
μὴν θέρους, καὶ θέρος χειμῶνος, καὶ ἔαρ ἀμφοῖν,
καὶ μετόπωρον ἔαρος, καὶ ἕκαστον ἑκάστου, καὶ ὡς
ἔπος εἰπεῖν, πάντα πάντων ἐπιδεᾶ τε καὶ χρεῖα· ἵνα 127
τὸ ὅλον οὗ μέρη ταῦτα, παντελὲς ἔργον ἄξιόν τε εἴη P.
τοῦ δημιουργοῦ, ὅδε ὁ κόσμος.

§. 32. Οὕτως οὖν αὐτὰ συνθεὶς, τὸ μὲν κρά-
τος ἁπάντων ἀνῆψεν ἑαυτῷ, τὴν δὲ χρῆσιν καὶ ἀπό-
λαυσιν ἔνειμε τοῖς ὑπηκόοις ἑαυτῶν τε καὶ ἀλλήλων.
Καὶ γὰρ ἑαυτοὺς καὶ ὅσα περὶ ἡμᾶς χρῆσιν ἔχομεν·
ἔγωγ᾽ οὖν ἐκ ψυχῆς καὶ σώματος συνεστὼς, νοῦν,
λόγον, αἴσθησιν ἔχειν δοκῶν, οὐδὲν αὐτῶν ἴδιον εὑ-
ρίσκω. Ποῦ γάρ μου τὸ σῶμα πρὸ γενέσεως ἦν;
Ποῦ δὲ καὶ χωρήσει, μεταστάντος; Ποῦ δὲ καὶ τοῦ
δοκοῦντος ὑφεστάναι τῶν ἡλικιῶν αἱ διαφοραί; Ποῦ
τὸ βρέφος, ποῦ ὁ παῖς, ποῦ ὁ ἀντίπαις, ποῦ ὁ ἄρτι
ἡβῶν, ποῦ τὸ μειράκιον, ὁ πρωτογένειος, ὁ νεανίας,
ὁ τέλειος ἀνήρ; Πόθεν ἦλθεν ἡ ψυχὴ, ποῖ δὲ χω-
ρήσει, πόσον δὲ χρόνον ἡμῖν ὁμοδίαιτος ἔσται; Τίς
δὲ ἔστι τὴν οὐσίαν ἔχομεν εἰπεῖν; Πότε δὲ καὶ ἐκτη-
σάμεθα αὐτήν; Πρὸ γενέσεως; Ἀλλ᾽ οὐχ ὑπήρχομεν.
Μετὰ τὸν θάνατον; Ἀλλ᾽ οὐκ ἐσόμεθα, οἱ μετὰ σω-
μάτων σύγκριτοι ποιοὶ, ἀλλ᾽ εἰς παλιγγενεσίαν ὁρμή-
σομεν, οἱ μετὰ ἀσωμάτων σύγκριτοι. Ἀλλὰ νῦν ὅτε
160 ζῶμεν κρατούμεθα μᾶλλον ἢ ἄρχομεν, καὶ γνωρι-
M. ζόμεθα μᾶλλον ἢ γνωρίζομεν. Οἶδε γὰρ ἡμᾶς οὐ
γνωριζομένη πρὸς ἡμῶν, καὶ ἐπιτάγματα ἐπιτάττει,
οἷς ἐξ ἀνάγκης ὑπηρετοῦμεν, ὡς οἰκέται δεσποίνῃ·
ὑπόλειψίν τε ὅταν ἐθέλῃ πρὸς τὸν ἄρχοντα χρημα-

*τίσουσα, μεταναστήσεται, ἔρημον καταλιποῦσα ζωῆς τὸν ἡμέτερον οἶκον· καὶ ἂν ἐπιμένειν βιαζώμεθα, διαλύσεται. Λεπτομερὴς γὰρ ἡ φύσις αὐτῆς, ὡς μηδεμίαν ἐμπαρέχειν λαβὴν σώματι.*

§. 33. *Ὁ δὲ νοῦς ἐμόν ἐστιν ἐνδιαίτημα; Ὁ ψευδῶν εἰκαστικὸς, ὁ πλάνης οἰητικὸς, ὁ παρανοῶν, ὁ μωραίνων, ὁ εὑρισκόμενος ἄνους ἐν ἐκστάσει, καὶ μελαγχολίᾳ, καὶ μακρῷ γήρᾳ; Ἀλλ᾽ ὁ λόγος κτῆμα ἐμὸν, ἢ τὰ φωνῆς ὄργανα; Μικρὰ νόσου πρόφασις οὐ τὴν γλῶτταν ἐπήρωσεν; Οὐ τὸ στόμα καὶ τῶν πάνυ λογίων ἀπέῤῥαψεν; Οὐχὶ δεινοῦ προσδοκία καταπλήξασα, μυρίους ἀχανεῖς ἐποίησε; Καὶ μὴν οὐδὲ τῆς αἰσθήσεως ἡγεμὼν εὑρίσκομαι, τάχα δή που καὶ δοῦλος, ἀκολουθῶν ᾗ ἀνάγει, πρὸς χρώματα, πρὸς σχήματα, πρὸς φωνὰς, πρὸς ὀσμὰς, πρὸς χυλοὺς, πρὸς τὰ ἄλλα σώματα. Δι᾽ ὧν ἁπάντων δεδηλῶσθαι νομίζω, ὅτι τοῖς ἀλλοτρίοις κτήμασι χρώμεθα, καὶ οὔτε δόξαν, οὔτε πλοῦτον, οὔτε τιμὰς, οὔτε ἀρχὰς, οὔθ᾽ ὅσα περὶ σῶμα ἢ ψυχὴν, ἴδια κεκτήμεθα, ἀλλ᾽ οὐδ᾽ αὐτὸ τὸ ζῆν. Χρῆσιν δὲ ἔχοντες, ἐὰν μὲν εὐγνωμονῶμεν, ἐπιμελησόμεθα ὡς θεοῦ κτημάτων, προλαβόντες ὅτι τῷ δεσπότῃ νόμος, ὅταν θέλῃ, τὰ ἑαυτοῦ κομίζεσθαι. Οὕτω γὰρ τὰς ἐπὶ ταῖς ἀφαιρέ-* 128
*σεσιν ἀνίας ἐπικουφιοῦμεν. Νυνὶ δὲ οἱ πολλοὶ νομί-* P.
*ζοντες ἑαυτῶν πάντα κτήματα, κατὰ τήν τινος ἀπουσίαν καὶ ἔνδειαν, εὐθὺς περιπαθοῦσι. Γίνεται οὖν οὐ μόνον ἀληθὲς, ἀλλὰ καὶ τῶν μάλιστα συντεινόντων εἰς παρηγορίαν, τὸ τὸν κόσμον καὶ τὰ ἐν κόσμῳ τοῦ γεννήσαντος ἔργα τε εἶναι καὶ κτήματα. Τὸ δὲ ἔργον τὸ ἴδιον ὁ κεκτημένος δεδώρηται, ὅτι οὐδὲ δεῖται. Ὁ δὲ χρώμενος οὐχὶ κέκτηται, ὅτι κύριος εἷς ἁπάντων καὶ δεσπότης ἐστὶν, ὃς ὀρθότατα ἐρεῖ, „Ἐμὴ πᾶσά ἐστιν ἡ γῆ," ἴσον τῷ, τὸ γεννητὸν ἅπαν ἐμὸν, „ὑμεῖς δὲ προσήλυτοι καὶ πάροικοι ἐναντίον ἐμοῦ." *)*

*) Lev. 25, 23 sqq.

§. 34. Πρὸς μὲν γὰρ ἀλλήλους οἱ γενόμενοι πάντες αὐτοχθόνων καὶ εὐπατριδῶν ἔχουσι λόγον, πάντες ἰσοτιμίαν καὶ ἰσοτέλειαν καρπούμενοι, πρὸς δὲ θεὸν, ἐπηλύτων καὶ παροίκων. Ἕκαστος γὰρ ἡμῶν,
161 ὥςπερ εἰς καινὴν πόλιν ἀφῖκται τόνδε τὸν κόσμον,
M. ἧς πρὸ γενέσεως οὐ μετεῖχε, καὶ ἀφικόμενος παροικεῖ, μέχρις ἂν τὸν ἀπονεμηθέντα τοῦ βίου χρόνον διαντλήσῃ. Ἅμα μέντοι καὶ δόγμα εἰςηγεῖται πάνσοφον, ὅτι μόνος κύριος ὁ θεὸς πολίτης ἐστὶ, πάροικον δὲ καὶ ἐπήλυτον τὸ γενητὸν ἅπαν. Οἱ δὲ λεγόμενοι πολῖται, καταχρήσει μᾶλλον ὀνόματος, ἢ ἀληθείᾳ προσαγορεύονται. Δωρεὰ δὲ ἀποχρῶσα σοφοῖς ἀνδράσι πρὸς τὸν μόνον πολίτην θεὸν ἀντεξετασθεῖσιν, ἐπηλύτων καὶ παροίκων λαβεῖν τάξιν. Ἐπὶ δὴ τῶν ἀφρόνων ἔπηλυς μὲν ἢ πάροικος ἁπλῶς οὐδεὶς ἐν τῇ τοῦ θεοῦ πόλει γίνεται, φυγὰς δὲ πάντως ἀνευρίσκεται. Οἷον δὴ καὶ προσανεφθέγξατο ὡς δογματικώτατον, "Πράσει," φησὶν, "οὐ πραθήσεται ἡ γῆ." Καὶ ὑπὸ τίνος ἡσύχασεν, ἵν' ἐκ τοῦ παρασιωπηθέντος ὁ μὴ φυσιολογίας ἀμύητος εἰς ἐπιστήμην ὠφελῆται. Εὑρήσεις τοίνυν σκοπῶν ἅπαντας καὶ τοὺς λεγομένους χαρίζεσθαι, πιπράσκοντας μᾶλλον ἢ δωρουμένους, καὶ οὓς οἰόμεθα λαμβάνειν χάριτας, πρὸς ἀλήθειαν ὠνουμένους. Οἱ μὲν γὰρ διδόντες, ἀμοιβὴν, ἔπαινον ἢ τιμὴν θηρώμενοι, ζητοῦντες χάριτος ἀντίδοσιν, εὐπρεπεῖ δωρεᾶς ὀνόματι κυρίως πρᾶσιν ἐργάζονται· ἐπεὶ καὶ τοῖς πωλοῦσιν ἀνθ' ὧν ἂν παράσχωσιν ἔθος λαμβάνειν ἐστίν. Οἱ δὲ προσιέμενοι τὰς δωρεὰς, μελετῶντες ἀποδοῦναι, καὶ ἐπὶ καιρῶν ἀποδιδόντες, ἔργον ὠνουμένων δρῶσι. Καὶ γὰρ ἐκεῖνοι ὥςπερ λαβεῖν ἴσασι καὶ ἀποδοῦναι. Ὁ δὲ θεὸς οὐ πωλητὴρ ἐπευωνίζων τὰ ἑαυτοῦ κτήματα, δωρητικὸς δὲ τῶν ἁπάντων, ἀεννάους χαρίτων πηγὰς ἀναχέων, ἀμοιβῆς οὐκ ἐφιέμενος. Οὔτε γὰρ ἐπιδεὴς αὐτὸς, οὔτε τις τῶν γεγονότων ἱκανὸς ἀντιδοῦναι δωρεάν. 129
P.

§. 35. *Πάντων οὖν ἀνωμολογημένων θεοῦ κτη-
μάτων λόγοις τε ἀληθέσι καὶ μαρτυρίαις, ἃς οὐ θέ-
μις ψευδομαρτυριῶν ἁλῶναι, — χρησμοὶ γὰρ οὓς
ἐν ἱεραῖς βίβλοις Μωϋσῆς ἀνέγραψεν, οἱ μαρτυροῦν-
τές εἰσι, — παραιτητέον τὸν νοῦν, ὃς τὸ γεννηθὲν
κατὰ τὴν πρὸς αἴσθησιν σύνοδον, κτῆμα ἴδιον ᾠήθη
τε, καὶ ἐκάλεσε τὸν Κάϊν, καὶ εἶπεν, "Ἐκτησάμην
ἄνθρωπον διὰ τοῦ θεοῦ," καὶ κατὰ τοῦτο διαμαρ-
τών. Τί δή ποτε; Ὅτι ὁ θεὸς αἴτιον, οὐκ ὄργανον·
τὸ δὲ γινόμενον, δι᾽ ὀργάνου μὲν, ὑπὸ δὲ αἰτίου
πάντως γίνεται. Πρὸς γὰρ τήν τινος γένεσιν πολλὰ
162 δεῖ συνελθεῖν, τὸ ὑφ᾽ οὗ, τὸ ἐξ οὗ, τὸ δι᾽ οὗ,
M. τὸ δι᾽ ὅ. Καὶ ἔστι μὲν τὸ ὑφ᾽ οὗ, τὸ αἴτιον· ἐξ
οὗ δὲ, ἡ ὕλη· δι᾽ οὗ δὲ, τὸ ἐργαλεῖον· δι᾽ ὃ δὲ, ἡ
αἰτία. Φέρε γὰρ, εἴ τις ἂν ἔροιτο, οἰκία καὶ πόλις
πᾶσα ἵνα κατασκευασθῇ, τίνα συνεισελθεῖν δεῖ; Ἆρ᾽
οὐ δημιουργὸν, καὶ λίθους, καὶ ξύλα, καὶ ὄργανα;
Τί οὖν ἐστι δημιουργὸς, πλὴν τὸ αἴτιον ὑφ᾽ οὗ; Τί
δὲ λίθοι καὶ ξύλα, πλὴν ἡ ὕλη, ἐξ ἧς ἡ κατα-
σκευή; Τί δὲ τὰ ὄργανα, πλὴν τὰ δι᾽ ὧν; Τίνος δὲ
ἕνεκα, πλὴν σκέπης καὶ ἀσφαλείας, δι᾽ ὃ τοῦτό ἐστι;
Μετελθὼν οὖν ἀπὸ τῶν ἐν μέρει κατασκευῶν, ἴδε
τὴν μεγίστην οἰκίαν ἢ πόλιν, τόνδε τὸν κόσμον. Εὑ-
ρήσεις γὰρ αἴτιον μὲν αὐτοῦ τὸν θεὸν, ὑφ᾽ οὗ γέ-
γονεν· ὕλην δὲ τὰ τέσσαρα στοιχεῖα, ἐξ ὧν συνε-
κράθη· ὄργανον δὲ λόγον θεοῦ, δι᾽ οὗ κατεσκευά-
σθη· τῆς δὲ κατασκευῆς αἰτίαν τὴν ἀγαθότητα τοῦ
δημιουργοῦ. Φιλαληθῶν ἥδε διάκρισις ἐπιστήμης
ἀληθοῦς καὶ ὑγιοῦς ἐφιεμένων· οἱ δὲ φάσκοντες διὰ
τοῦ θεοῦ κεκτῆσθαί τι, τὸ μὲν αἴτιον ὄργανον, τὸν
δημιουργὸν, τὸ δὲ ὄργανον αἴτιον, τὸν ἀνθρώπινον
νοῦν, ὑπολαμβάνουσιν. Αἰτιάσαιτο δ᾽ ἂν ἅπας ὀρ-
θὸς λόγος καὶ Ἰωσὴφ εἰπόντα, "διὰ τοῦ θεοῦ τὴν
σαφήνειαν εὑρεθήσεσθαι τῶν ἐνυπνίων."*) Ἐχρῆν*

---

*) Gen. 40, 8.

γὰρ εἰπεῖν, ὑπ' αὐτοῦ ὡς αἰτίου τὴν τῶν ἀφανῶν ἀνάπτυξίν τε καὶ ἀκρίβειαν ὄντως ἔσεσθαι· ὄργανα γὰρ ἡμεῖς δι' ὧν αἱ κατὰ μέρος ἐνέργειαι, ἐπιτεινόμενα καὶ ἀνιέμενα· τεχνίτης δὲ ὁ τὴν πλῆξιν ἐργαζόμενος τῶν σώματός τε καὶ ψυχῆς δυνάμεων, ὑφ' οὗ πάντα κινεῖται. Τοὺς μὲν οὖν πραγμάτων διαφορὰς ἀδυνατοῦντας διαστέλλειν, ὡς ἀμαθεῖς, ἀναδιδακτέον· τοὺς δὲ ὑπὸ φιλονεικίας τὰς τῶν σημαινομένων τάξεις ἐναλλάττοντας, ὡς ἐριστικοὺς, φευκτέον· τοὺς δὲ μετὰ τῆς τῶν ἐμφερομένων ἀκριβοῦς ἐρεύνης, ἑκάστῳ τῶν εὑρεθέντων τὴν οἰκείαν χώραν προςνέμοντας, ὡς ἀψευδῆ φιλοσοφίαν μετιόντας, ἐπαινετέον. Μωϋσῆς γοῦν τοῖς δεδιόσι μήποτε πρὸς τοῦ φαύλου πανστρατιᾷ διώκοντος ἀπόλωνται, φησὶ, "Στῆτε καὶ ὁρᾶτε τὴν σωτηρίαν τὴν παρὰ τοῦ κυ- 130
ρίου, ἣν ποιήσει ὑμῖν," ἐκδιδάσκων, ὅτι οὐ διὰ τοῦ P.
θεοῦ, ἀλλὰ παρ' αὐτοῦ ὡς αἰτίου τὸ σώζεσθαι.

163 M.

# ΠΕΡΙ ὩΝ ἹΕΡΟΥΡΓΟΥΣΙΝ ΑΒΕΛ ΤΕ ΚΑΙ ΚΑΙΝ.

---

## ARGUMENTUM LIBRI DE SACRIFICIIS ABELIS ET CAINI.

---

(Cf. Gen. 4, 2. 3.)

Cainus et Abel, quos Eva peperit, symbola sunt duarum opinionum, quarum altera, Cain, menti, tanquam omnium auctori, omnia tribuit, altera, Abel, cuncta pie refert ad deum (1). Ita et gemini fetus, quos Rebecca in utero gessit, symbola sunt cogitationum bonarum et malarum, quae sunt separandae. Mala vero opinio exstinguitur additâ bonâ; quam ob rem Abel Caino appositus fuisse dicitur (2). Morituri, cum boni fuerint, porro malis non adduntur, sed per verbum Dei ad numen supremum evehuntur, in quod, ut perfectissimum, neque subtractio cadit, neque appositio (3). Abeli vitae ratio prius a Moyse exponitur, quam Caini; virtus enim malignitati praecedat necesse est. Hanc ob rem ab Esau primogenitura translata in Iacobum refertur (4), et duae uxores, voluptas et virtus, nobiscum habitare dicuntur, quarum altera diligenda, altera fugienda (5). — Virtus tamen, quae nobis prae ceteris paranda, non nisi labore acquiritur, qui initio quidem nobis est infestus, consuetudine vero carus redditur (6 et 7). Hic est, quoad eius fieri potest, adamandus; nam deus solos virtutem strenuo labore sectantes beatos reddit (8);

quam ob rem labor animo idem, quod cibus vitae (9). Abel pascens pecora symbolice docet affectus brutos compescendos esse (10 — 12). -- Si quis bonum opus perpetrare vult, is id faciat non cunctanter, ut Cain, qui post aliquot dies demum fructus deo obtulit, sed cito (13 et 14), ut Abramus, qui Saram in conficiendis subcinericiis festinare iussit (15 - 17). Deus cum maxime imitandus, qui non cunctanter, sed verbo, i. e. celerrime creavit universum (18). Male igitur agit Pharao, qui c r a s demum Moysen preces facere voluit (19). Male egit Cain quoque, quod de fructibus, non de p r i m i s fructibus, i. e. non primitias, obtulit deo (20), quarum optimae sunt cogitationes piae, neque tamen fabulosae et superstitiosae, sed ratione sana recens formatae (21 -- 23) accurate examinatae (24), admodum concinnae (25) et accommodate inventae (26); hoc docetur ratione, qua Abel primitias deo obtulisse dicitur (27). Moyses, Deum i u r a m e n t o interposito promisisse se bonos, primitias offerentes prae ceteris dilecturum esse, dicit (28), ut solaretur genus hominum infirmum, cui simplex verbum dei omnino non sufficit (29). In offerendis primitiis mittendum, quidquid est genitum et mortale, sed adhibenda sunt tantum immortalia (30). Hoc innuitur eo, quod lex divina viriles partus deo sacros esse vult (31); vir enim symbolum boni et recti (32); et Deus non gaudet nisi iis, quae sunt vere bona et perfecta (33). Labor in artibus quoque discendis et exercendis sustinendus, ut in his profectus faciamus; quos si nos non fecisse senserimus, desistendum potius a labore; nam durum adversari naturae (34 et 35), et sufficit labore vere bona parare voluisse (36). Praeterea omnis sapiens r e d e m p t o r est stulti, i. e. liberare, quantum fieri licet, hunc studet a stultitia, aeque ut medicus aegrotum a morbo (37); item vir bonus redemptor mali. Hinc pulsi patria profugiunt ad Levitas, i. e. indocti edoceri cupiunt a doctis (38 — 40).

---

§. 1. „*Καὶ προςέθηκε τεκεῖν τὸν ἀδελφὸν αὐτοῦ.*" *) *Ἡ τινος πρόςθεσις ἀφαίρεσίς ἐστιν ἑτέρου, ὡς ἀριθμητικῆς μορίων, καὶ ψυχῆς λογισμῶν. Εἰ δὴ*

*) Gen. 4, 2.

τὸν Ἄβελ προςτίθεσθαι φατέον, Κάϊν ἀφαιρεῖσθαι
νομιστέον. Ἵνα δὲ μὴ τὸ τῶν ὀνομάτων ἀσύνηθες
ἐπισκοτῇ πολλοῖς, τὴν ἐμφαινομένην φιλοσοφίαν ἀ-
κριβοῦν, ὡς ἂν οἷόν τε ᾖ, πειρασόμεθα. Δύο τοί-
νυν δόξας εἶναι συμβέβηκεν ἐναντίας καὶ μαχομένας
ἀλλήλαις, τὴν μὲν τῷ νῷ πάντα ἐπιτρέπουσαν, ὡς
ἡγεμόνι τῶν ἐν τῷ λογίζεσθαι, ἢ αἰσθάνεσθαι, ἢ
κινεῖσθαι, ἢ ἴσχεσθαι· τὴν δὲ τῷ θεῷ ἑπομένην δη-
μιουργίαν οὖσαν αὐτοῦ. Τῆς μὲν οὖν προτέρας ἐκ-
τύπωσίς ἐστι Κάϊν ἐπικαλούμενος κτῆσις, παρὰ τὸ
τὰ πάντα κεκτῆσθαι δοκεῖν· τῆς δὲ ἑτέρας ὁ Ἄβελ·
164 ἑρμηνεύεται γὰρ ἀναφέρων ἐπὶ θεόν. Ἀμφοτέρας
M μὲν οὖν τὰς δόξας ὠδίνει μία ψυχή. Ἀνάγκη δὲ
αὐτὰς ὅταν ἀποκυηθῶσι διακριθῆναι, συνοικεῖν γὰρ
πολεμίοις ἄχρι παντὸς ἀμήχανον. Ἕως μὲν οὖν οὐκ
ἔτεκεν ἡ ψυχὴ τὸ φιλόθεον δόγμα τὸν Ἄβελ, ἐνδιη-
τᾶτο ὁ φίλαυτος Κάϊν αὐτῇ. Ὁπότε δὲ τὴν πρὸς
τὸ αἴτιον ὁμολογίαν ἐγέννησε, τὴν πρὸς τὸν δοκη-
σίσοφον νοῦν ἐξέλιπε.

§. 2. Δηλώσει δὲ ἐναργέστερον ταῦτα καὶ τὸ
τῇ ὑπομονῇ χρησμῳδηθὲν Ῥεβέκκα. *) Καὶ γὰρ τὰς
μαχομένας δύο φύσεις ἀγαθοῦ καὶ κακοῦ συλλαβοῦ-
σα, καὶ ἑκατέραν ἄκρως φαντασιωθεῖσα κατὰ τὴν
τῆς φρονήσεως ἐπικέλευσιν, ἀνασκιρτώσας αὐτὰς
ἰδοῦσα, καί τινα τοῦ μέλλοντος πολέμου δι᾽ ἀκρο-
βολισμῶν προαγῶνα ποιουμένας, ἱκετεύει τὸν θεὸν,
τί τέ ἐστι τὸ πάθος αὐτῇ παραστῆσαι, καὶ τίς ἂν
ἴασις αὐτοῦ γένοιτο. Ὁ δὲ πυνθανομένῃ φησὶ, 13
„Δύο ἔθνη ἐν τῇ γαστέρι σοῦ ἐστι," τὸ μὲν πάθος P
τοῦτο, ἀγαθοῦ καὶ κακοῦ γένεσις. „Ἀλλὰ καὶ δύο
λαοὶ ἐκ τῆς κοιλίας σοῦ διασταλήσονται." Ἴασις ἥδε,
διασταλῆναι καὶ χωρισθῆναι ταῦτ᾽ ἀπ᾽ ἀλλήλων, καὶ
μηκέτι τὸν αὐτὸν χῶρον οἰκῆσαι. Προςθεὶς οὖν ὁ
θεὸς τῇ ψυχῇ καλὸν δόγμα, τὸν Ἄβελ, ἀφεῖλεν αὐ-

*) Gen. 25, 21.

τῆς δόξαν ἄτοπον, τὸν Κάϊν. Καὶ γὰρ Ἀβραὰμ ἐκλιπὼν τὰ θνητὰ „προςτίθεται τῷ θεοῦ λαῷ," *) καρπούμενος ἀφθαρσίαν, ἴσος ἀγγέλοις γεγονώς· ἄγγελοι γὰρ στρατός εἰσι θεοῦ, ἀσώματοι καὶ εὐδαίμονες ψυχαί. Ὅ τε ἀσκητὴς τὸν αὐτὸν τρόπον Ἰακὼβ προςτίθεται τῷ βελτίονι, **) ὅτι ἐξέλιπε τὸ χεῖρον. Ὁ δὲ αὐτομαθοῦς ἐπιστήμης ἀξιωθεὶς Ἰσαὰκ ἐκλείπει μὲν καὶ αὐτὸς, ὅσον σωματοειδὲς αὐτοῦ τῇ ψυχῇ συνύφαστο, προςτίθεται δὲ καὶ προςκληροῦται, οὐκέθ' ὡς οἱ πρότεροι λαῷ, „γένει" δὲ, καθάπερ φησὶ Μωϋσῆς.***) Γένος μὲν γὰρ ἓν τὸ ἀνωτάτω, λαὸς δὲ ὄνομα πλειόνων. Ὅσοι μὲν οὖν μαθήσει καὶ διδασκαλίᾳ προκόψαντες ἐτελειώθησαν, προςκληροῦνται πλείοσιν· οὐδὲ γὰρ ὀλίγος ἐστὶν ἀριθμὸς τῶν ἐξ ἀκοῆς καὶ ὑφηγήσεως μανθανόντων, οὓς λαὸν ὠνόμασεν. Οἱ δὲ ἀνθρώπων μὲν ὑφηγήσεις ἀπολελοιπότες, μαθηταὶ δὲ θεοῦ εὐφυεῖς γεγονότες, τὴν ἄπονον ἐπιστήμην ἀνειληφότες, εἰς τὸ ἄφθαρτον καὶ τελειώτατον γένος μετανίστανται, κλῆρον ἀμείνω
65 προτέρων τῶν ἐν γενέσει βίων ἐνδεδεγμένοι, ὧν ὁ
P. Ἰσαὰκ θιασώτης ἀνωμολόγηται.

§. 3. Δηλοῖ δὲ καὶ ἕτερον τοιοῦτον, νοῦν ἀθάνατον. Εἰσὶ δὲ οὓς ἀνωτέρω προάγων εἴδη μὲν καὶ γένη πάντα ὑπερπτῆναι παρεσκεύασεν, ἱδρύσας πλησίον ἑαυτοῦ, καθὰ καὶ Μωϋσῇ φησι, „Σὺ δὲ αὐτοῦ στῆθι μετ' ἐμοῦ." ****) Ἡνίκα γοῦν τελευτᾶν ἔμελλεν οὐκ ἐκλείπων προςτίθεται, ὥςπερ οἱ πρότεροι, μήτε „πρόςθεσιν" μήτε „ἀφαίρεσιν" κεχωρηκὼς, ἀλλὰ „διὰ ῥήματος τοῦ αἰτίου" μετανίσταται, †) δι' οὗ καὶ ὁ σύμπας κόσμος ἐδημιουργεῖτο· ἵνα μάθῃς ὅτι τὸν σοφὸν ἰσότιμον κόσμῳ ὁ θεὸς ἤγαγε, τῷ αὐτῷ λόγῳ καὶ τὸ πᾶν ἐργαζόμενος, καὶ τὸν τέλειον ἀπὸ τῶν περιγείων ἀνάγων ὡς ἑαυτόν. Οὐ μὴν οὐ-

---

*) Gen. 25, 8. — **) Gen. 49, 33. — ***) Gen. 35, 29.
****) Deut. 5, 31. — †) Deut. 34, 5.

δὲ, ὅτε τοῖς περιγείοις χρήσας αὐτὸν εἴασεν ἐνομιλεῖν, ἄρχοντος ἢ βασιλέως κοινήν τινα ἀρετὴν ἀνῆπτεν αὐτῷ, καθ᾽ ἣν ἀνὰ κράτος ἡγεμονεύσει τῶν τῆς ψυχῆς παθῶν, ἀλλ᾽ εἰς θεὸν αὐτὸν ἐχειροτόνει, πᾶσαν τὴν περὶ τὸ σῶμα χώραν καὶ τὸν ἡγεμόνα αὐτῆς νοῦν ὑπήκοα καὶ δοῦλα ἀποφήνας. „Δίδωμι γάρ σε," φησὶ, „θεὸν Φαραώ." *) Θεὸς δὲ ἔλλειψιν ἢ πρόσθεσιν οὐκ ἀνέχεται, πλήρης καὶ ἰσαίτατος ὢν ἑαυτῷ. Παρ᾽ ὃ καὶ „τὴν ταφὴν λέγεται μηδὲ εἷς εἰδέναι τούτου." **) Τίς γὰρ ἂν γένοιτο 132
ἱκανὸς τὴν πρὸς τὸν ὄντα μετανάστασιν ψυχῆς τε- P.
λείας κατανοῆσαι; Οὐδὲ αὐτὴν οἶμαι τὴν τοῦτο ὑπομένουσαν εἰδέναι τὴν βελτίωσιν αὐτῆς, ἅτε κατ᾽ ἐκεῖνον τὸν χρόνον ἐπιθειάζουσαν. Τῷ γὰρ εὖ πάσχοντι συμβούλῳ ὁ θεὸς περὶ ὧν μέλλει χαρίζεσθαι οὐ χρῆται, μὴ προλαβόντι δὲ τὰς εὐεργεσίας εἴωθεν ἀφθόνους ὀρέγειν. Τοιοῦτόν ἐστι τὸ προσθεῖναι θεὸν γένεσιν ἀγαθοῦ τελείᾳ διανοίᾳ· τὸ δὲ ἀγαθὸν ὁσιότης ἐστὶν, ἧς ὄνομα Ἄβελ. —

§. 4. „Καὶ ἐγένετο Ἄβελ ποιμὴν προβάτων, Κάϊν δὲ ἦν ἐργαζόμενος τὴν γῆν." Τί δή ποτε πρεσβύτερον εἰσαγαγὼν τοῦ Ἄβελ τὸν Κάϊν νῦν τῇ τάξει μετατέθεικεν, ὡς τοῦ νεωτέρου μεμνῆσθαι πρότερον κατὰ τὴν τῶν βίων αἵρεσιν; Εἰκὸς γὰρ ἦν τὸν μὲν πρεσβύτερον πρότερον εἰς γεωργίαν ἐλθεῖν, τὸν δὲ νεώτερον αὖθις ἐπὶ τὴν τῶν θρεμμάτων ἐπιμέλειαν. Ἀλλὰ γὰρ οὐ τὰ εἰκότα καὶ πιθανὰ Μωϋσῆς ἀσπάζεται, τὴν δὲ ἀλήθειαν ἀκραιφνῆ μεταδιώκει. Καὶ ὅταν γε μόνος ἰδίᾳ τῷ θεῷ προσέρχηται, μετὰ παῤῥησίας φησὶ „μὴ εἶναι εὔλογος," ἴσον τῷ, μὴ τῶν εὐλόγων καὶ πιθανῶν ἐφίεσθαι, πεπονθέναι δὲ τοῦτο „πρὸ τῆς χθὲς ἢ τρίτης, ἀφ᾽ οὗ τὸν θεὸν ἄρξασθαι διαλέγεσθαι, ὡς θεράποντι, αὐτῷ." ***) Τοῖς μὲν γὰρ εἰς τὸν τοῦ βίου σάλον καὶ κλύδωνα πα-

*) Exod. 7, 1. — **) Deut. 34, 6. — ***) Exod. 4, 10.

ρεληλυθόσιν, ἐπινηχομένοις ἀνάγκη φορεῖσθαι, μηδε-
νὸς ὀχυροῦ τῶν ἐντὸς ἐπιστήμης ἐνειλημμένοις, εἰ-
κότων δὲ καὶ πιθανῶν ἠρτημένοις. Τῷ δὲ θεοῦ θε-
ραπευτῇ πρεπῶδες ἀληθείας περιέχεσθαι, τὴν τῶν
εὐλόγων εἰκαστικὴν καὶ ἀβέβαιον μυθοποιΐαν χαίρειν
ἐῶντι. Τί οὖν καὶ τὸ ἐν τούτοις ἀληθές; Κακίαν
ἀρετῆς χρόνῳ μὲν εἶναι πρεσβυτέραν, δυνάμει δὲ καὶ
ἀξιώματι νεωτέραν. Ὅταν μὲν οὖν ἡ γένεσις ἀμ-
φοῖν εἰσάγηται, προεκτρεχέτω ὁ Κάϊν· ὅταν δὲ ἐπιτη-
δεύσεων σύγκρισις ἐξετάζηται, φθανέτω ὁ Ἄβελ. Γε-
νομένῳ γὰρ τῷ ζώῳ συμβέβηκεν εὐθὺς ἔτ' ἐκ σπαρ-
γάνων, ἄχρις ἂν ἡ νεωτεροποιὸς ἀκμῆς ἡλικία τὸν
ζέοντα φλογμὸν τῶν παθῶν σβέσειε, συντρόφους
ἔχειν ἀφροσύνην, ἀκολασίαν, ἀδικίαν, φόβον, δει-
λίαν, τὰς ἄλλας συγγενεῖς κῆρας, ὧν ἑκάστην ἀνα-
τρέφουσι καὶ συναυξάνουσι τιτθοὶ καὶ παιδαγωγοὶ,
δι' ἐθῶν καὶ νομίμων εὐσέβειαν μὲν ἐλαυνόντων,
δεισιδαιμονίαν δὲ, πρᾶγμα ἀδελφὸν ἀσεβείᾳ, κατα-
σκευαζόντων εἰσηγήσεσιν. Ὅταν δὲ ἤδη παρηβήσῃ,
καὶ ἡ τῶν παθῶν παλμώδης νόσος χαλάσῃ, καθά-
περ νηνεμίας ἐπιγενομένης, ἄρχεταί τις γαλήνην ἄγειν,
ὀψὲ καὶ μόλις βεβαιότητι ἀρετῆς ἱδρυνθεὶς, ἣ τὸν
ἐπάλληλον καὶ συνεχῆ σεισμὸν, βαρύτατον κακὸν
ψυχῆς, ἐπράϋνεν. Οὕτω μὲν δὴ τὰ χρόνου πρε- 133
σβεῖα οἴσεται κακία· τὰ δὲ ἀξιώματος καὶ τιμῆς καὶ P.
εὐκλείας ἡ ἀρετή. Πιστὸς δὲ τούτου μάρτυς ὁ νομο-
θέτης αὐτός. Τὸν γὰρ ἀφροσύνης ἐπώνυμον Ἡσαῦ
εἰσαγαγὼν χρόνῳ πρεσβύτερον, τῷ γενέσει μὲν νεω-
τέρῳ, ἐπωνύμῳ δὲ ἀσκήσεως τῶν καλῶν Ἰακὼβ χα-
ρίζεται τὰ πρεσβεῖα. Ὁ δὲ οὐ πρότερον αὐτὰ φέρε-
67 σθαι διαγνώσεται, ἢ καθάπερ ἐν ἀγῶνι τὸν ἀντί-
I. παλον ἀπειπεῖν, χεῖρας ὑπ' ἀσθενείας καταθέντα,
καὶ τὰ βραβεῖα καὶ τὸν στέφανον παραχωρῆσαι τῷ
πόλεμον ἄσπονδον καὶ ἀκήρυκτον πρὸς τὰ πάθη πε-
ποιημένῳ. "Ἀπέδοτο" γὰρ, φησὶ, "τὰ πρωτοτόκια

τῷ Ἰακὼβ," *) ὁμολογήσας ἄντικρυς, ὅτι τὰ δυνάμει πρῶτα, καὶ κατ' ἀρετὴν τίμια, φαύλου μὲν οὐδενὸς, μόνου δὲ τοῦ σοφίας ἐραστοῦ, καθάπερ αὐλὸς καὶ λύρα καὶ τὰ ἄλλα μουσικῆς ὄργανα μόνου τοῦ μουσικοῦ.

§. 5. Περὶ δὲ τοῦ δόγματος τούτου καὶ νόμον ἀναγράφει, πάνυ καλῶς καὶ συμφερόντως τιθείς. Ἔχει δὲ ὧδε. "Ἐὰν δὲ γένωνται τῷ ἀνθρώπῳ δύο γυναῖκες, ἡ μία αὐτῶν ἠγαπημένη, καὶ ἡ μία μισουμένη, καὶ τέκωσιν αὐτῷ ἡ ἠγαπημένη καὶ ἡ μισουμένη, καὶ γένηται ὁ υἱὸς τῆς μισουμένης πρωτότοκος· καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ᾗ ἂν κληροδοτῇ τὰ ὑπάρχοντα τοῖς υἱοῖς αὐτοῦ, οὐ δυνήσεται πρωτοτοκεῦσαι τῷ υἱῷ τῆς ἠγαπημένης, ὑπεριδὼν τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον, ἀλλὰ τὸν υἱὸν τῆς μισουμένης τὸν πρωτότοκον ἐπιγνώσεται, δοῦναι αὐτῷ διπλᾶ, ἀπὸ πάντων ὧν ἂν εὑρεθῇ αὐτῷ, ὅτι οὗτός ἐστιν ἀρχὴ τέκνων αὐτοῦ, καὶ τούτῳ καθήκει τὰ πρωτοτόκια." **) Ἐπίγνωθι, ὦ ψυχὴ, καὶ γνώρισον τίς ἐστιν ἡ μισουμένη, καὶ τίς ὁ τῆς μισουμένης υἱὸς, καὶ εὐθὺς αἰσθήσῃ, ὅτι ἄλλῳ μὲν οὐδενὶ, μόνῳ δὲ τούτῳ καθήκει τὰ πρεσβεῖα. Δύο γὰρ ἡμῶν ἑκάστῳ συνοικοῦσι γυναῖκες, ἐχθραὶ καὶ δυςμενεῖς ἀλλήλαις, τῶν ζηλοτυπίας τὸν ψυχικὸν οἶκον ἀναπιμπλᾶσαι φιλονεικιῶν. Τούτων τὴν μὲν ἑτέραν ἀγαπῶμεν, χειροήθη καὶ τιθασσὸν, καὶ φιλτάτην καὶ οἰκειοτάτην αὐτοῖς νομίζοντες, καλεῖται δὲ ἡδονή. Τὴν δὲ ἑτέραν ἐχθραίνομεν, ἀτίθασσον, ἀνήμερον, ἐξηγριωμένην, πολεμιωτάτην ἡγούμενοι, ὄνομα δὲ καὶ ταύτης ἐστὶν ἀρετή. Τῆς μὲν οὖν περικαλλοῦς καὶ περιμαχήτου ἡδονῆς τὰ μεγάλα μυστήρια τίς ἀγνοεῖ τῶν βροτῶν; Τῶν δὲ παρὰ τῇ ἀρετῇ θησαυριζομένων ἀγαθῶν τὸ πλῆθος ἢ μέγεθος τίς ἂν ἀξίως εἰπεῖν δυνηθείη; Ἴσασιν οἱ κεκοινωνηκότες ἤδη, καὶ

*) Gen. 25, 33. — **) Deut. 21, 15—17.

οἷς ἡ φύσις ἵλεως πάλιν γνώσονται, κληθέντες εἰς μετουσίαν θοίνης, οὐκ ἐξ ἧς αἱ γαστρὸς ἡδοναὶ πιμπλαμένης τὸ σῶμα πιαίνουσιν, ἀλλ' ἀφ' ἧς διάνοια ἐντρεφομένη καὶ ἐγχορεύουσα ἀρεταῖς γηθεῖ τε καὶ εὐφραίνεται.

§. 6. *Διὰ μὲν δὴ ταῦτα, καὶ τὸ πάλαι λεχθὲν,* 134
ὅτι πέφυκεν ἐξ αὐτῶν φωνὴν ἀφιέναι, καὶ ἂν ἡσυ- P.
χάζηται, τὰ ὅσιά τε ὄντως ἀγαθὰ, τόν τε περὶ αὐ-
168 τῶν λόγον ἐῶ. Οὔτε γὰρ ἥλιος, οὔτε σελήνη χρή-
M. ζουσιν ἑρμηνέως, ὅτι τὸν σύμπαντα κόσμον, ὁ μὲν ἡμέρας, ἡ δὲ νυκτὸς, ἀνίσχοντες φωτὸς ἐμπιπλᾶσιν· ἀλλ' ἔστιν αὐτοῖς ἡ ἐπίλαμψις ἀμάρτυρος πίστις, ὀφθαλμοῖς ὤτων ἐναργεστέρῳ κριτηρίῳ βεβαιουμένη. Τὸ δὲ δοκοῦν τῶν παρ' αὐτῇ μάλιστα δυςκολίαν ἔχειν καὶ χαλεπότητα, μετὰ παῤῥησίας λέξω. Καὶ γὰρ τοῦτό που φαντασίᾳ μὲν, κατὰ τὴν πρόχειρον ἔντευξιν, ἀργαλέον εἶναι δοκεῖ, μελέτῃ δὲ ἥδιστον, καὶ ἐξ ἐπιλογισμοῦ συμφέρον. Ἔστι δὲ ὁ ῥᾳστώνης ἐχθρὸς πόνος, πρῶτον καὶ μέγιστον ἀγαθὸν, προςφερόμενος τὸν ἀκήρυκτον πρὸς ἡδονὴν πόλεμον. Ἀρχὴν γὰρ, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, παντὸς ἀγαθοῦ καὶ ἀρετῆς πάσης ὁ θεὸς ἀνέδειξεν ἀνθρώποις πόνον, οὗ χωρὶς τῶν καλῶν παρὰ τῷ θνητῷ γένει συνιστάμενον οὐδὲν εὑρήσεις. Καθάπερ γὰρ φωτὸς ἄνευ ἀμήχανον ἰδεῖν, μήτε χρωμάτων, μήτε ὀμμάτων ἱκανῶν ὄντων πρὸς τὴν δι' ὄψεως ἀντίληψιν, — δεσμὸν γὰρ ἀμφοῖν προϋπειργάσατο τὸ φῶς ἡ φύσις, ᾧ συνάγεται καὶ ἁρμόζεται πρὸς χρῶμα ὀφθαλμός· ἐπὶ σκότους γὰρ ἡ δύναμις ἀνωφελὴς ἑκατέρου, — τὸν αὐτὸν τρόπον καὶ τὸ τῆς ψυχῆς ὄμμα, τῶν κατ' ἀρετὴν πράξεων ὁτιοῦν ἀντιλαμβάνεσθαι ἀδυνατεῖ, μὴ προςχρησάμενον, ὥςπερ φωτὶ, συνεργῷ τῷ πόνῳ. Μέσος γὰρ διανοίας ἱδρυνθεὶς, καὶ οὗ διάνοια ὀρέγεται καλοῦ, τὸ μὲν ἔνθεν, τὴν δὲ ἔνθεν ἐπισπασάμενος, ἑκατέρᾳ χειρὶ φιλίαν καὶ συμφωνίαν αὐτὸς, ἀγαθὰ τέλεια, ἐργάζεται.

§. 7. Ὁποῖον γὰρ ἂν ἐθέλῃς ἑλοῦ τῶν ἀγαθῶν, καὶ τοῦθ᾽ εὑρήσεις πόνῳ περιγινόμενόν τε καὶ βεβαιούμενον. Εὐσέβεια δὲ καὶ ὁσιότης ἀγαθὰ, ἀλλ᾽ οὐκ ἄνευ θεραπείας θεοῦ τυχεῖν αὐτῶν δυνάμεθα· θεραπεία δὲ ταῖς ἐν πόνοις φιλοτιμίαις συνέζευκται. Φρόνησις καὶ ἀνδρία καὶ δικαιοσύνη καλαὶ πᾶσαι καὶ τέλεια ἀγαθὰ, ἀλλ᾽ οὐ τῇ ῥᾳστώνῃ ταῦτα ληπτὰ, ἀγαπητὸν δὲ εἰ συνεχέσι ταῖς ἐπιμελείαις ἐξευμενισθήσονται. Τὴν πρὸς θεὸν καὶ ἀρετὴν ἀρεσκείαν, ὥςπερ τινὰ σύντονον καὶ σφοδρὰν ἁρμονίαν, οὐ δυνηθὲν τὸ πάσης ψυχῆς ὄργανον ἐνεγκεῖν, ἀνείθη καὶ ἐχαλάσθη πολλάκις, ὡς ἀπὸ τῶν ἄκρων ἐπὶ τὰς μέσας καταβῆναι τέχνας· ἀλλ᾽ ὅμως καὶ ἐν ταῖς μέσαις πολὺς ὁ κάματος. Ἴδε τοὺς τῶν ἐγκυκλίων καὶ τῶν λεγομένων προπαιδευμάτων ἀσκητὰς ἅπαντας· ἴδε τοὺς γεηπόνους, καὶ ὅσοι τὸν βίον ἔκ τινων ἐπιτηδευμάτων πορίζουσιν, οὗτοι τῶν φροντίδων οὐ μεθ᾽ ἡμέραν οὐ νύκτωρ ἀφίστανται, ἀλλ᾽ ἀεὶ καὶ πανταχοῦ, 13
169 τὸ λεγόμενον δὴ τοῦτο, χειρὶ καὶ ποδὶ καὶ πάσῃ E
M. δυνάμει κακοπαθοῦντες οὐ παύονται, ὡς καὶ θάνατον ἀντικαταλλάττεσθαι πολλάκις.

§. 8. Ἀλλ᾽ ὥςπερ τοῖς ψυχὴν τὴν ἑαυτῶν ἵλεω σπουδάζουσι λαβεῖν θεραπευτέον ἐξ ἀνάγκης τὰς τῆς ψυχῆς ἀρετὰς, οὕτω καὶ τοῖς ἵλεων τὸ σῶμα ἔχειν προαιρουμένοις θεραπευτέον ὑγείαν καὶ τὰς συγγενεῖς αὐτῇ δυνάμεις, ἃς δῆτα θεραπεύουσι μετ᾽ ἀνηνύτων καὶ ἀπαύστων πόνων, οἷς φροντὶς εἰςέρχεται τῶν ἐν αὐτοῖς δυνάμεων ἐξ ὧν συνεκρίθησαν. Πάντα οὖν ὁρᾷς τὰ ἀγαθὰ ἐκ πόνου καθάπερ ἐκ μιᾶς ῥίζης ἐκπεφυκότα καὶ βλαστάνοντα, ὃν μήποτε ὑπομείνῃς μεθέσθαι. Λήσῃ γὰρ ἅμ᾽ αὐτῷ καὶ σωρὸν ἀθρόον ἀγαθῶν μεθέμενος. Ὁ μὲν γὰρ τοῦ σύμπαντος ἡγεμὼν οὐρανοῦ τε καὶ κόσμου καὶ ἔχει καὶ παρέχει, οἷς ἂν ἐθέλῃ, τὰ ἀγαθὰ μετὰ πάσης εὐμαρείας. Ἐπεὶ καὶ τὸν τοσοῦτον κόσμον ἄνευ πόνων πάλαι μὲν εἰργάζετο, νυνὶ δὲ καὶ εἰςαεὶ συνέχων οὐδέποτε λήγει.

Θεῷ δὲ τὸ ἀκάματον ἁρμοδιώτατον, θνητῷ δὲ οὐδενὶ κτῆσιν ἀγαθῶν δίχα πόνων ἡ φύσις δεδώρηται, ἵνα καὶ ἂν ταύτῃ τὸ μακάριον ἐν τοῖς οὖσι μόνος ὁ θεὸς εὐδαιμονίζηται.

§. 9. Δοκεῖ γάρ μοι πόνος τὴν αὐτὴν προσφέρεσθαι δύναμιν τροφῇ. Καθάπερ οὖν αὕτη τὸ ζῆν ἐξήρτηκεν ἑαυτῆς, συναρτήσασα καὶ τὰ ἐν τῷ ζῆν ἅπαντα ἔργα καὶ πάθη, οὕτω καὶ πόνος ἐκκεκρέμακεν ἑαυτοῦ τὰ ἀγαθά. Ὥςπερ οὖν τοῖς γλιχομένοις τοῦ ζῆν τροφῆς οὐκ ἀμελητέον, οὕτω τοῖς ἀγαθῶν κτήσεως ἐφιεμένοις πόνου προνοητέον· ὃ γὰρ πρὸς τὸ ζῆν τροφὴ, τοῦτο πρὸς τὸ καλὸν ὁ πόνος. Ἑνὸς οὖν ὄντος αὐτοῦ μηδέποτε ὀλιγωρήσῃς, ἵνα πάντα τὰ ἀγαθὰ ἀθρόα καρπώσῃ. Οὕτω καὶ γενέσει νεώτερος ὢν, πρεσβύτερος ὀνομασθήσῃ, καὶ τῶν πρεσβείων ἀξιωθήσῃ. Ἐὰν δὲ βελτιούμενος ἀεὶ πρὸς τὸ τέλος ἀφίκῃ, οὐ μόνον σοι τὰ πρεσβεῖα ὁ πατὴρ ἀλλὰ καὶ τὰ πατρῷα χαριεῖται πάντα, καθάπερ καὶ τῷ τὰς ἕδρας τοῦ πάθους καὶ βάσεις πτερνίζοντι Ἰακὼβ, ὃς ὡμολόγησεν ὃ ἔπαθεν, εἰπὼν, "ὅτι ἠλέησέ με ὁ θεὸς, καί ἐστί μοι πάντα·" *) δογματικῶς ἅμα καὶ παιδευτικῶς. Ἐν γὰρ τῷ τοῦ θεοῦ ἐλέῳ τὰ πάντα ὁρμεῖ.

§. 10. Μεμάθηκε δὲ ταῦτα παρὰ τῷ πάππῳ τῆς ἑαυτοῦ παιδείας Ἀβραὰμ, ὃς τῷ πανσόφῳ "Ἰσαὰκ δίδωσι τὰ ὑπάρχοντα πάντα," **) οὐδὲν ὑπολειπόμενος τῶν ὑπαρχόντων "τοῖς νόθοις" καὶ πλαγίοις τῶν παλλακῶν λογισμοῖς, ἀλλὰ "μικρὰ" χαρίζεται καὶ μικροῖς ἐκείνοις. Τὰ μὲν γὰρ ὑπαρκτὰ, αἱ τέλειοι ἀρεταὶ, μόνου τοῦ τελείου καὶ γνησίου κτήματα· τὰ δὲ μέσα τῶν καθηκόντων ἐφαρ- 136
170 μόττει καὶ τοῖς ἀτελέσι, τοῖς μέχρι τῶν ἐγκυκλίων P.
M. προπαιδευμάτων ἐλθοῦσιν, ὧν Ἄγαρ καὶ Χετοῦρα

---

*) Gen. 33, 11. --- **) Gen. 25, 5 sq.

μετέχουσιν, ἡ μὲν Ἄγαρ παροίκησις, ἡ δὲ Χετοῦρα θυμιῶσα. Ὁ γὰρ τοῖς ἐγκυκλίοις μόνοις ἐπανέχων παροικεῖ σοφίᾳ, οὐ κατοικεῖ, καθάπερ τινὰ ὀδμὴν ἡδεῖαν ἐκ τῆς περὶ τὴν θεωρίαν γλαφυρότητος ἐπιπέμπων τῇ ψυχῇ. Τροφῶν δὲ οὗτος, οὐκ ὀσμῶν, δεῖται πρὸς τὸ ὑγιαίνειν. Ὄσφρησιν δὲ ὑπηρέτιν γεύσεως, καθάπερ βασιλίδος προγευστρίδα ὑπήκοον, λέγεται ἡ φύσις εὐμηχάνως δημιουργῆσαι· τὰς δὲ ἡγεμονίδας πρὸ τῶν ἀρχομένων ἀεὶ θεραπευτέον, καὶ τὰς αὐτόχθονας πρὸ τῶν παροίκων ἐπιστήμας. Ταῦτα ἀκούσας ὁ νοῦς, ἀποστρέφεται μὲν ἡδονὴν, ἁρμόζεται δὲ ἀρετῇ, τὸ κάλλος ἄπλαστον καὶ γνήσιον καὶ ἱεροπρεπέστατον αὐτῆς κατανοήσας. Τότε καὶ 'γίνεται ποιμὴν προβάτων, τῶν κατὰ ψυχὴν ἀλόγων δυνάμεων ἡνίοχός τε καὶ κυβερνήτης, "οὐκ ἐῶν αὐτὰς ἀτάκτως φέρεσθαι καὶ πλημμελῶς, δίχα ἐπιστάτου καὶ ἡγεμόνος," *) ἵνα μὴ καθάπερ τινὰ ἀπροστασίαστον καὶ ἀνεπιτρόπευτον ὀρφανίαν ὑποστάντες ἐρημίᾳ συμμάχων, οἱ ἀφηνιασταὶ τρόποι προσαπόλλωνται.

§. 11. Οἰκειότατον γοῦν ὁ ἀσκητὴς ὑπολαβὼν ἀρετῇ τὸ ἔργον ὑπομένει "ποιμαίνειν τὰ πρόβατα Λάβαν," **) τοῦ χρώμασι καὶ σχήμασι καὶ συνόλως ἀψύχοις σώμασιν ἐγκειμένου, καὶ οὐχ ἅπαντα, ἀλλὰ τὰ ὑπολειφθέντα. Τί δὲ τοῦτ' ἔστι; Διττὸν εἶναι πέφυκε τὸ ἄλογον, τὸ μὲν παρὰ τὸν αἱροῦντα λόγον, ὃν ἄφρονά φασί τινες, τὸ δὲ κατ' ἐκτομὴν λόγου, ὡς τῶν ζώων τὰ μὴ λογικά. Τὰς μὲν οὖν ἀλόγους αὐτοῦ φορὰς, λέγω δὲ τὰς παρὰ τὸν αἱροῦντα λόγον δυνάμεις, οἱ υἱοὶ Λάβαν "τριῶν ἡμερῶν ὁδὸν ἀποστάντες" ***) τημελοῦσι, συμβολικῶς ἅπαντα χωρισθέντες τὸν αἰῶνα τοῦ σπουδαίου. Τριμερὴς γὰρ ὁ χρόνος, ἐκ παρεληλυθότος καὶ ἐνεστῶτος καὶ μέλλοντος συνεστώς. Τὰς δὲ καθ' ἑτέραν

*) Num. 27, 17. — **) Gen. 30, 36. — ***) Ibid.

ἐκδοχὴν ἀλόγους, οὐχ αἳ παρὰ τὸν ὀρθὸν λόγον εἰσὶν, ἀλλ' ὅσαι μὴ λογικαὶ, ὧν καὶ τὰ ἄλογα ζῶα κοινωνεῖ, ὁ ἀσκητὴς ἐπιμελείας ἀξιώσει, τὰ σφάλματ' αὐταῖς οὐκ ἀπὸ κακίας πανούργου μᾶλλον, ἢ ἀπὸ ἀμαθίας ἀναγώγου προσγεγενῆσθαι νομίζων. Ἀμαθία μὲν οὖν ἀκούσιον ὂν καὶ κοῦφον πάθος, θεράπειαν οὐ δύσεργον ἔχει, διδασκαλίαν· πανουργία δὲ, ἑκούσιον ψυχῆς ἀῤῥώστημα, χαλεπὴν δὴ καὶ πάντως ἀνίατον ἐργάζεται τὴν ἀποτροπήν. Ἅτε οὖν
71 παρὰ πανσόφῳ πατρὶ παιδευθέντες οἱ τοῦδε υἱεῖς,
I. καὶ ἂν εἰς τὸ Αἰγύπτιον φιλοπαθὲς σῶμα καταβῶσι,
καὶ τῷ διασκεδαστῇ τῶν καλῶν ἐντύχωσι Φαραὼ, 137
ὃς βασιλεὺς εἶναι δοκεῖ τοῦ συγκριτικοῦ ζώου, μηδὲν P.
καταπλαγέντες τῆς ἀφθόνου παρασκευῆς, ὁμολογοῦσιν ὅτι "ποιμένες προβάτων εἰσὶν, οὐ μόνον αὐτοὶ, ἀλλὰ καὶ οἱ πατέρες αὐτῶν." *)

§. 12. Καίτοι γε οὐκ ἄν τις ἐπ' ἀρχῇ καὶ δυναστείᾳ τοσοῦτον αὔχημα αὐχῆσαι ποτὲ, ὅσον ἐπὶ τῷ ποιμένες εἶναι οἱ ἄνδρες οὗτοι. Τοῖς μέντοι δυναμένοις λογίζεσθαι σεμνότερον βασιλείας ἐστὶ τὸ ἔργον ἰσχῦσαι, καθάπερ πόλεως ἢ χώρας, σώματός τε καὶ αἰσθήσεων καὶ γαστρὸς, καὶ ἡδονῶν τῶν μετὰ γαστέρα, καὶ παθῶν τῶν ἄλλων, καὶ γλώττης, καὶ συνόλως ἅπαντος τοῦ συγκρίματος, εὐτόνως καὶ σφόδρα ἐῤῥωμένως, καὶ πάλιν ἐπιεικῶς ἀφηγήσασθαι. Πῇ μὲν γὰρ ὑπανιέναι δεῖ καθάπερ ἡνίοχον τοῖς ὑπεζευγμένοις ταῖς ἡνίαις, πῇ δὲ ἀντισπᾶν καὶ ἀναχαιτίζειν ὅπως μὴ πλείων ἡ πρὸς τὰ ἐκτὸς ὁρμὴ καὶ φορὰ σὺν ἀφηνιασμῷ γίγνοιτο. Ἄγαμαι δὲ καὶ τοῦ θεσμοφύλακος Μωϋσέως, ὃς μέγα καὶ λαμπρὸν ἡγούμενος τὸ ποιμαίνειν, περιῆψεν ἑαυτῷ τὸ ἔργον. Τῶν γὰρ περὶ τὸν Ἰοθὸρ ἐπιστατεῖ καὶ ἀφηγεῖται δογμάτων, ἄγων αὐτὰ ἀπὸ τῶν ὀχλικῶν τῆς πολιτείας σπουδασμάτων εἰς ἐρημίαν τοῦ μὴ ἀδικεῖν.

*) Gen. 47, 3.

"Ἦγε γὰρ τὰ πρόβατα ὑπὸ τὴν ἔρημον," *) παρ' ὃ καὶ ἀκολουθεῖ "βδέλυγμα Αἰγυπτίων εἶναι πάντα προβάτων ποιμένα." **) Τὸν γὰρ κυβερνήτην καὶ ὑφηγητὴν τῶν καλῶν ὀρθὸν λόγον βδελύττεται πᾶς φιλοπαθὴς, καθάπερ οἱ τῶν παίδων ἀφρονέστατοι τοὺς διδασκάλους καὶ παιδαγωγοὺς, καὶ πάντα νουθετητὴν καὶ σωφρονιστὴν ἀγαθόν. Μωϋσῆς δὲ "τὰ βδελύγματα Αἰγύπτου θύσειν τῷ θεῷ," ***) φησὶ, τὰς ἀρετὰς, ἄμωμα καὶ πρεπωδέστατα ἱερεῖα, ἃ βδελύσσεται πᾶς ἄφρων. Ὥςτε εἰκότως ὁ τὰ ἄριστα ἐπὶ τὸν θεὸν ἀναφέρων Ἄβελ ποιμὴν κέκληται, ὁ δὲ ἐφ' ἑαυτὸν καὶ τὸν ἴδιον νοῦν γῆς ἐργάτης ὁ Κάϊν. Τί δέ ἐστι τὸ 'τὴν γῆν ἐργάζεσθαι", ****) διὰ τῶν προτέρων βίβλων ἐδηλώσαμεν.

§. 13. "Καὶ ἐγένετο μεθ' ἡμέρας, ἤνεγκε Κάϊν ἀπὸ τοῦ καρποῦ τῆς γῆς δῶρον τῷ κυρίῳ." †) Δύο ἐγκλήματα τοῦ φιλαύτου. Ἓν μὲν τὸ μεθ' ἡμέρας, ἀλλ' οὐκ εὐθὺς εὐχαριστῆσαι τῷ θεῷ· ἕτερον δὲ, τὸ ἀπὸ τῶν καρπῶν, ἀλλὰ μὴ ἀπὸ τῶν
172 πρώτων καρπῶν, ὧν σύνθετον ὄνομα πρωτογεννή-
M. ματα. Ἑκατέραν δὲ τῶν αἰτιῶν ἐρευνήσωμεν, καὶ πρότερόν γε τὴν προτέραν τῇ τάξει. Φθάνοντας καὶ προεκτρέχοντας δεῖ πράττειν τὰ καλὰ τῶν ἔργων, βραδυτῆτα καὶ μέλλησιν ἐκποδὼν ποιουμένους. Ἔργον δὲ ἄριστον, ἡ πρὸς τὸ πρῶτον καλὸν ἀνυπέρθετος ἀρεσκεία. Διὸ καὶ προστέτακται, "Ἐὰν εὔξῃ εὐχὴν, οὐ χρονίσεις ἀποδοῦναι αὐτήν." ††) 138
Εὐχὴ μὲν οὖν ἐστιν αἴτησις ἀγαθῶν παρα τοῦ θεοῦ· P.
ἡ δὲ πρόσταξις, ἐπιτυχόντα τῶν ἐλπισθέντων στεφανῶσαι θεὸν, μὴ ἑαυτὸν καὶ, εἰ οἷόν τε, ἀχρόνως καὶ ἀμελλητὶ στεφανῶσαι. Τῶν δὲ μὴ κατορθούντων ἐν τούτῳ οἱ μὲν διὰ λήθην, ὧν εὖ πεπόνθασι, μεγάλου καὶ καλοῦ κτήματος εὐχαριστίας ἐσφάλησαν, οἱ

*) Exod. 3, 1. — **) Gen. 46, 34. — ***) Exod. 8, 26. ****) Gen. 4, 2. — †) Gen. 4, 3. — ††) Deut. 23, 21.

δὲ ὑπὸ σφοδρᾶς οἰήσεως ἑαυτοὺς τῶν συμβεβηκότων ἀγαθῶν αἰτίους ἐνόμισαν, ἀλλ᾽ οὐ τὸ ὄντως αἴτιον. Τρίτοι δέ εἰσιν, οἵ τούτων μὲν κουφότερον ἁμάρτημα, τῶν δὲ προτέρων βαρύτερον δρῶσιν. Ἀναγράφοντες γὰρ αἴτιον τῶν καλῶν τὸν ἡγεμόνα, φασὶν εἰκότως τυχεῖν αὐτῶν· εἶναι γὰρ φρόνιμοι καὶ ἀνδρεῖοι, καὶ σώφρονες καὶ δικαῖοι, ὥστε ἄξιοι διὰ ταῦτα καὶ παρὰ θεῷ χαρίτων νομισθῆναι.

§. 14. Πρὸς ἕκαστον οὖν ὁ ἱερὸς λόγος ἀντιταχθεὶς, φησὶ τῷ πρώτῳ μνήμην μὲν ἀνῃρηκότι, λήθην δὲ ζωπυροῦντι, "Μὴ φαγὼν, ὦ οὗτος, καὶ ἐμπλησθεὶς, καὶ οἰκίας καλὰς οἰκοδομήσας καὶ κατοικήσας, καὶ τῶν προβάτων σου καὶ βοῶν αὐξηθέντων, καὶ ἀργυρίου καὶ χρυσίου, καὶ πάντων ὅσα σοί ἐστι πληθυνθέντων, ὑψωθῇς τῇ καρδίᾳ, καὶ ἐπιλάθῃ κυρίου τοῦ θεοῦ σου." *) Πότε οὖν οὐκ ἐπιλήσῃ θεοῦ; Ὅταν μὴ ἐπιλάθῃ σεαυτοῦ. Μεμνημένος γὰρ τῆς ἰδίας περὶ πάντα οὐδενείας, μεμνήσῃ καὶ τῆς τοῦ θεοῦ περὶ πάντα ὑπερβολῆς. Τὸν δὲ ἑαυτὸν νομίζοντα τῶν συμβαινόντων ἀγαθῶν αἴτιον σωφρονίζει τὸν τρόπον τοῦτον. "Μὴ εἴπῃς," φησὶν, **) ἡ ἰσχύς μου ἢ τὸ κράτος τῆς χειρός μου ἐποίησέ μοι πᾶσαν τὴν δύναμιν ταύτην· ἀλλὰ μνείᾳ μνησθήσῃ κυρίου τοῦ θεοῦ σου, τοῦ διδόντος σοι ἰσχὺν ποιῆσαι δύναμιν." Ὁ δὲ ἀξιόχρεων ἑαυτὸν ὑπολαμβάνων κτήσεως καὶ ἀπολαύσεως ἀγαθῶν, χρησμῷ μεταδιδαχθήτω λέγοντι," "Οὐχὶ διὰ τὴν δικαιοσύνην σου, οὐδὲ τὴν ὁσιότητα τῆς καρδίας σου, εἰςέρχῃ εἰς τὴν γῆν κληρονομῆσαι αὐτήν· ἀλλὰ πρῶτον μὲν διὰ τὴν ἀνομίαν τῶν ἐθνῶν τούτων, ὄλεθρον κακίας ἐπάγοντος τοῦ θεοῦ· ἔπειτα ἵνα στήσῃ τὴν διαθήκην ἣν ὤμοσε τοῖς πατράσιν ἡμῶν." ***) Διαθήκη δέ ἐστι
73 θεοῦ συμβολικῶς αἱ χάριτες αὐτοῦ, — θέμις δὲ
I. οὐδὲν ἀτελὲς αὐτῷ χαρίζεσθαι, — ὥσθ᾽ ὁλόκληροι

*) Deut. 8, 12 sqq. — **) Deut. 8, 17. — ***) Deut. 9, 5.

καὶ παντελεῖς αἱ τοῦ ἀγεννήτου δωρεαὶ πᾶσαι· ὁλόκληρον δὲ ἐν τοῖς οὖσιν ἀρετὴ, καὶ ἡ κατ᾽ αὐτὴν πρᾶξις. Ἐὰν οὖν λήθην καὶ ἀχαριστίαν καὶ φιλαυτίαν καὶ τὴν γεννητικὴν τούτων κακίαν ἀνέλωμεν οἴησιν, οὐκέτι διαμέλλοντες ὑστεριοῦμεν γνησίου θεραπείας, ἀλλ᾽ ὑπερτροχάζοντες καὶ ὑπερπηδῶντες τὰ ἐν γενέσει, πρὶν ἀσπάσασθαί τι τῶν θνητῶν, ἐντευξόμεθα τῷ δεσπότῃ, παρεσκευακότες ἑαυτοὺς ἑτοίμους τὰ κελευόμενα ποιεῖν. 13

§. 15. Καὶ γὰρ Ἀβραὰμ μετὰ σπουδῆς καὶ τάχους καὶ προθυμίας πάσης ἐλθὼν, παρακελεύεται τῇ ἀρετῇ, Σάρᾳ, "σπεῦσαι καὶ φυρᾶσαι τρία μέτρα σεμιδάλεως, καὶ ποιῆσαι ἐγκρυφίας," *) ἡνίκα ὁ θεὸς δορυφορούμενος ὑπὸ δυεῖν τῶν ἀνωτάτω δυνάμεων, ἀρχῆς τε αὖ καὶ ἀγαθότητος, εἷς ὢν ὁ μέσος, τριττὰς φαντασίας ἐνειργάζετο τῇ ὁρατικῇ ψυχῇ, ὧν ἑκάστη μεμέτρηται μὲν οὐδαμῶς, — ἀπερίγραφος γὰρ ὁ θεος, ἀπερίγραφοι καὶ αἱ δυνάμεις αὐτοῦ, — μεμέτρηκε δὲ τὰ ὅλα. Ἡ μὲν οὖν ἀγαθότης αὐτοῦ μέτρον ἀγαθῶν ἐστιν, ἡ δὲ ἐξουσία μέτρον ὑπηκόων, ὁ δὲ ἡγεμὼν αὐτὸς ἁπάντων καὶ σωμάτων καὶ ἀσωμάτων. Διὸ καὶ αἱ δυνάμεις κανόνων καὶ παραγγελμάτων λαβοῦσαι λόγον, τὰ μετὰ ταύτας ἐσταθμήσαντο. Τὰ μὲν δὴ τρία μέτρα ταῦτα καλὸν ἐν ψυχῇ ὥσπερ φυραθῆναί τε καὶ συνενεγχθῆναι, ἵνα πεισθεῖσα τὸν ἀνωτάτω εἶναι θεὸν, ὃς ὑπερκέκυφε τὰς δυνάμεις αὐτοῦ, καὶ χωρὶς αὐτῶν ὁρώμενος καὶ ἐν ταύταις ἐμφαινόμενος, δέξηται χαρακτῆρας ἐξουσίας τε καὶ εὐεργεσίας αὐτοῦ, καὶ τῶν τελείων μύστις γενομένη τελετῶν, μηδενὶ προχείρως ἐκλαλῇ τὰ θεῖα μυστήρια, ταμιευομένη δὲ αὐτὰ καὶ ἐχεμυθοῦσα ἐν ἀποῤῥήτῳ φυλάττῃ. Γέ-
174 γραπται γὰρ "ἐγκρυφίας ποιεῖν," ὅτι κεκρύφθαι δεῖ
M

---

*) Gen. 18, 6.

τὸν ἱερὸν περὶ τοῦ ἀγεννήτου καὶ τῶν δυνάμεων αὐτοῦ μύστην λόγον, ἐπεὶ θείων παρακαταθήκην ὀργίων οὐ παντός ἐστι φυλάξαι.

§. 16. Τὸ γὰρ τῆς ἀκράτορος ψυχῆς νᾶμα ἔξω ῥέον διὰ στόματός τε καὶ γλώττης, πάσαις ἀκοαῖς ἐπαντλεῖται. Ὧν αἱ μὲν εὐρυχώρους δεξαμενὰς ἔχουσαι, τὸ ἐπιχεόμενον φυλάττουσιν ἀρεσκείᾳ· αἱ δὲ διὰ στενότητα πόρων ἀδυνατοῦσιν ἄρδεσθαι. Τὸ δὲ ὑπερβλύζον ἀκατασχέτως ἐκχεόμενον σκίδναται πάντη, ὡς ἐπαναπλεῖν καὶ ἐπινήχεσθαι τὰ κεκρυμμένα, καὶ φορυτοῦ τρόπον εἰκαίου, τὰ πάσης ἄξια σπουδῆς μετὰ συρμοῦ καταφέρεσθαι. Παρ' ὃ μοι δοκοῦσιν ὀρθῶς βεβουλεῦσθαι, οἱ πρὸ τῶν μεγάλων τούτων τὰ μικρὰ μυστήρια μυηθέντες. "Ἔπεψαν γὰρ τὸ σταῖς αὐτῶν, ὃ ἐξήνεγκαν ἀπ' Αἰγύπτου, ἐγκρυφίας ἀζύμους," *) τουτέστι, τὸ ἀτίθασσον καὶ ὠμὸν πάθος κατειργάσαντο, ὥςπερ τροφὴν λόγῳ πεπαίνοντες. Καὶ τὸν τρόπον τῆς πεπάνσεως καὶ βελτιώσεως ἔκ τινος θείας κατακωχῆς γεγεννημένον οὐκ ἐξελάλησαν, ἀλλ' ἐν ἀποκρύφοις αὐτῶν ἐθησαύρισαν, οὐκ ἐπαρθέντες τῇ τελετῇ, ὑπενδόντες δὲ καὶ ταπεινωθέντες τὸ αὔχημα.

§. 17. Πρὸς οὖν εὐχαριστίαν καὶ τιμὴν τοῦ παντοκράτορος εὔζωνοι καὶ εὐτρεπεῖς γινώμεθα, μέλλησιν παραιτούμενοι. Καὶ γὰρ τὸ πάσχα τοῖς ἐκ παθῶν εἰς ἄσκησιν ἀρετῆς διαβᾶσι προστέτακται 140 P.
ποιεῖσθαι τὰς ὀσφῦς περιεζωσμένους, ἑτοίμως πρὸς ὑπηρεσίαν ἔχοντας· καὶ τὸν σάρκινον ὄγκον, τὰ ὑποδήματα λόγῳ περιειληφότας, "ἀκλινῶς καὶ παγίως ἑστῶσι τοῖς ποσὶ," καὶ τὴν παιδείαν "διὰ χειρὸς ἔχοντας ῥάβδον," **) πρὸς τὴν τῶν ἐν τῷ βίῳ πραγμάτων πάντων ἄπταιστον κατόρθωσιν, καὶ τὸ τελευταῖον "μετὰ σπουδῆς ἐντραφῆναι," διάβασις

*) Exod. 12, 34. — **) Exod. 12, 11.

*γὰρ ἐπὶ θεὸν τοῦ γεννητοῦ καὶ φθαρτοῦ τὸ πάσχα εἴρηται. Καὶ σφόδρα προςηκόντως· οὐδὲν γάρ ἐστι τῶν καλῶν, ὃ μὴ θεοῦ τε καὶ θεῖον. Ταχέως οὖν αὐτὸ ἀναζήτησον, ὦ ψυχὴ, καθάπερ καὶ ὁ ἀσκητὴς Ἰακὼβ, ὃς πυθομένου τοῦ πατρὸς — "Τί τοῦτο ὃ ταχὺ εὗρες, ὦ τέκνον;"*) — δογματικῶς ἀποκρίνεται, "Ὃ παρέδωκε κύριος ὁ θεὸς ἐναντίον μου."*
175 *Πολλῶν γὰρ ἔμπειρος πραγμάτων γεγονὼς ἠπίστα-*
M. *το, ὅτι ἃ μὲν ἂν διδῷ γένεσις ψυχῇ, χρόνῳ μακρῷ βεβαιοῦται, ὥςπερ οἱ τὰς τέχνας καὶ τὰ τῶν τεχνῶν παραγγέλματα τοῖς μανθάνουσι παραδιδόντες. Οὐ γὰρ εὐθὺς, ὥςπερ οἱ προχέοντες εἰς ἄγγος, ἰσχύουσιν ἀποπληρῶσαι τὴν τῶν εἰςαγομένων διάνοιαν. Ἐπειδὰν δὲ ἡ πηγὴ τῆς σοφίας, ὁ θεὸς, παραδιδῷ τὰς ἐπιστήμας τῷ θνητῷ γένει, παραδίδωσιν ἀχρόνως· οἱ δὲ, ἅτε τοῦ μόνου σοφοῦ γεγονότες μαθηταὶ, εὐφυεῖς ταχέως τὰς εὑρέσεις ὧν ἐζήτησαν ἔλαβον.*

§. 18. *Πρώτη δὲ τῶν εἰςαγομένων ἀρετὴ, τὸ διδάσκαλον τέλειον, ὡς ἔνεστι τέλειον ἀτελεῖς, μιμεῖσθαι γλίχεσθαι. Ὁ δὲ διδάσκαλος φθάνει καὶ τὸν χρόνον, οὐδ' ὅτε τὸ πᾶν ἐγέννα συνεργήσαντα, ἐπειδὴ καὶ ὁ χρόνος δηλονότι αὐτὸς γινομένῳ τῷ κόσμῳ συνυφίστατο. Ὁ γὰρ θεὸς λέγων ἅμα ἐποίει, μηδὲν μεταξὺ ἀμφοῖν τιθείς· εἰ δὲ χρὴ δόγμα κινεῖν ἀληθέστερον, ὁ λόγος ἔργον αὐτοῦ. Λόγου δὲ εὐκινητότερον οὐδὲν καὶ παρὰ τῷ θνητῷ γένει· παραμείβεται γὰρ τῇ ῥύμῃ τῶν ὀνομάτων καὶ ῥημάτων τὴν ἐπ' αὐτοὺς φθάνουσαν κατάληψιν. Ὥςπερ οὖν τὰ διὰ κρουνῶν ἐκχεόμενα ἀέναα νάματα ἄληκτον ἔχει τὴν φορὰν, ἐπικαταλαμβάνοντος ἀεὶ τὴν λῆξιν τοῦ ἐπιόντος ῥεύματος· οὕτως ἡ τοῦ λόγου πλήμμυρα, ὅταν ἄρξηται φέρεσθαι, τῶν ἐν ἡμῖν τῇ ὀξυκινητοτάτῳ διανοίᾳ, ἣ καὶ τὰς πτηνὰς παραμείβε-*

*) Gen. 27, 20.

ται φύσεις, συντρέχει. Καθάπερ οὖν ὁ ἀγέννητος φθάνει πᾶσαν γένεσιν, οὕτω καὶ ὁ τοῦ ἀγεννήτου λόγος παραθεῖ τὸν γενέσεως, καὶ ὀξύτατα ἐπὶ νεφῶν καταφέρεται, διὸ καὶ παῤῥησιάζεται φάσκων, "Ἤδη ὄψει, ἐπεὶ καταλήψεταί σε ὁ λόγος μου," *) ὡς πάντα ἐφθακότος καὶ κατειληφότος τοῦ θείου λόγου. Εἰ δὲ ὁ λόγος ἔφθακε, πολλῷ μᾶλλον ὁ λέγων αὐτὸς καθάπερ ἐν ἑτέροις μαρτυρεῖ λέγων, "Ὅδε ἐγὼ 141
ἕστηκα ἐκεῖ πρὸ τοῦ σέ." **) Δηλοῖ γὰρ ὅτι πρὸ P.
παντὸς ὑφέστηκε τοῦ γενομένου, καὶ ὁ ἐνθάδε ὢν καὶ ἐκεῖ, καὶ ἀλλαχόθι καὶ πανταχοῦ, πεπληρωκὼς πάντα διὰ πάντων, καὶ οὐδὲν ἔρημον ἑαυτοῦ καταλελοιπὼς ὑπάρχει. Οὐ γάρ φησιν, "ὧδε ἐγὼ ἕστηκα καὶ ἐκεῖθι, ἀλλὰ καὶ νῦν ὅτε πάρειμι, ἕστηκα καὶ ἐκεῖ
176 κατὰ τὸν αὐτὸν χρόνον· οὐ μεταβατικῶς κινούμε-
M. νος, ὡς τὸν μὲν ἐπιλαμβάνειν, τὸν δὲ ἀπολείπειν τόπον, ἀλλὰ τονικῇ χρώμενος τῇ κινήσει. Δεόντως οὖν μιμούμενοι τὴν τοῦ πατρὸς φύσιν οἱ ὑπήκοοι παῖδες, ἀμελλητὶ μετὰ πάσης σπουδῆς τὰ καλὰ δρῶσιν, ὧν ἔργον ἐστὶ κάλλιστον ἡ ἀνυπέρθετος θεοῦ τιμή.

§. 19. Φαραὼ δὲ σκεδαστὴς, τῶν ἀχρόνων δυνάμεων φαντασίαν οὐχ οἷός τε ὢν δέξασθαι, τὰ τῆς ψυχῆς ὄμματα πεπηρωμένος, οἷς μόνοις αἱ ἀσώματοι καταλαμβάνονται φύσεις, οὐδὲ ὠφεληθῆναι δι᾽ ἀχρόνων ὑπέμεινεν· ἀλλὰ ταῖς ἀψύχοις δόξαις, λέγω δὲ "βατράχοις" πιεσθεὶς, ἦχον καὶ ψόφον ἔρημον καὶ κενὸν πραγμάτων ἀποτελοῦσιν, εἰπόντος Μωϋσέως, "Τάξαι πρός μέ ποτε ἵνα εὔξομαι περὶ σοῦ καὶ τῶν θεραπόντων σου ἀφανίσαι τοὺς βατράχους," ***) δέον ἐν ἀνάγκαις σφοδραῖς ὄντα εἰπεῖν, εὐθὺς εὖχου· ὁ δὲ ὑπερτίθεται λέγων, "Εἰς αὔριον," ἵνα διὰ παντὸς τὴν ἁπαλότητα τῆς ἀθεότητος διαφυλάξῃ. Τοῦτο σχεδὸν ἅπασι παρακολουθεῖ τοῖς

*) Num. 11, 23. — **) Exod. 17, 6. — ***) Exod. 8, 9.

*ἐπαμφοτερισταῖς, καὶ ἂν μὴ διὰ τῶν ὀνομάτων καὶ
ῥημάτων ὁμολογῶσιν. Ἐπειδὰν γὰρ συμβῇ τι τῶν
ἀβουλήτων, ἅτε μὴ πεπιστευκότες παγίως τῷ σωτῆρι
θεῷ καὶ πρότερον, καταφεύγουσιν ἐπὶ τὰς ἐν γενέ-
σει βοηθείας, ἰατροὺς, βοτάνας, φαρμάκων συνθέ-
σεις, δίαιταν ἠκριβωμένην, πάνθ᾿ ὅσα παρὰ τῷ
θνητῷ γένει βοηθήματα. Καὶ ἂν ἄρα εἴπῃ τις, κα-
ταφεύγετε, ὦ μοχθηροὶ, ἐπὶ τὸν μόνον ἰατρὸν ψυχῆς
ἀῤῥωστημάτων, μεθέμενοι τὴν ἀπὸ γενέσεως τῆς πα-
θητῆς ψευδώνυμον ὠφέλειαν· γελῶσι καὶ χλευάζου-
σιν ἐπιφωνοῦντες, ταῦτα "εἰς αὔριον," ὡς οὐδ᾿ ἂν
εἴ τι γένοιτο, περὶ τῆς τῶν παρόντων κακῶν ἀπο-
τροπῆς ἱκετεύσοντες τὸ θεῖον. Ἀλλ᾿ ὅταν γε τῶν ἀν-
θρώπων μηδὲν ἀρκῇ, πάντα δὲ εὑρίσκηται καὶ τὰ
παιώνια βλαβερὰ, τηνικαῦτα ἐξ ἀμηχανίας πολλῆς
τὴν ἀπὸ τῶν ἄλλων ὠφέλειαν ἀπογνόντες, ἄκοντες
οἱ δείλαιοι καταφεύγουσιν ὀψὲ καὶ μόλις ἐπὶ τὸν μό-
νον σωτῆρα θεόν. Ὁ δὲ, ἅτε εἰδὼς τὰ ἐν ἀνάγκαις
ἄκυρα, οὐκ ἐπὶ πάντων χρῆται τῷ νόμῳ, ἀλλ᾿ ἐφ᾿
ὧν καλὸν καὶ συμφέρον χρῆσθαι. Πᾶς οὖν λογι-
σμὸς κτήματα αὑτοῦ τὰ πάντα ἡγούμενος, καὶ αὐ-
τὸν προτιμῶν θεοῦ, — τὸ γὰρ "μέθ᾿ ἡμέρας θύειν"* 142
*τοιοῦτον ὑποβάλλει νοῦν; — ἔνοχος ὢν ἀσεβείας ἴστω* P.
*γραφῇ. —*

§. **20.** *Καὶ τὸ μὲν πρότερον ἔγκλημα τοῦ Κάϊν
ἀποχρώντως ἐπεξήλθομεν. Τὸ δὲ δεύτερον τοιοῦτον
ἦν. Τί δή ποτε ἀπὸ τῶν καρπῶν, ἀλλ᾿ οὐκ ἀπὸ*
177 *τῶν πρώτων καρπῶν φέρει τὴν ἀπαρχήν; Μήποτε*
M. *διὰ τὴν αὐτὴν αἰτίαν, ἵνα τὰ μὲν πρεσβεῖα γενέσει
δῷ, τοῖς δὲ δευτερείοις ἀμείψηται τὸ θεῖον; Ὥςπερ
γάρ εἰσί τινες οἳ ψυχῆς προκρίνουσι σῶμα, τῆς δε-
σποίνης τὸ δοῦλον, οὕτως εἰσὶν οἳ γένεσιν μᾶλλον
θεοῦ προτετιμήκασι, πρόσταγμα τεθεικότος τοῦ νο-
μοθέτου, ἵνα "τὰς ἀπαρχὰς τῶν πρωτογεννημάτων
τῆς γῆς εἰςφέροιμεν εἰς τὸν οἶκον τοῦ θεοῦ,"* *) *ἀλλὰ*

---

*) **Exod. 23, 19.**

*μὴ ἑαυτοῖς ἐπιγράφωμεν. Καὶ γὰρ δίκαιον, τῶν τῆς ψυχῆς κινημάτων ὅσα πρῶτα ἢ τάξει ἢ δυνάμει θεῷ ὁμολογεῖν. Τὰ μὲν οὖν τῇ τάξει πρῶτα τοιαῦτά ἐστιν, ὧν κατὰ τὴν πρώτην γένεσιν εὐθὺς ἐκοινωνήσαμεν, τροφὴ, αὔξησις, ὅρασις, ἀκοὴ, γεῦσις, ὄσφρησις, ἁφὴ, λόγος, νοῦς, μέρη ψυχῆς, μέρη σώματος, αἱ τούτων ἐνέργειαι, συνόλως κινήσεις καὶ σχέσεις αἱ κατὰ φύσιν. Τὰ δ᾽ ἀξιώματι καὶ δυνάμει, τὰ κατορθώματα, αἱ ἀρεταὶ, αἱ κατ᾽ ἀρετὰς πράξεις. Δίκαιον οὖν ἀπὸ τούτων ἀπάρχεσθαι. Αἱ δὲ ἀπαρχαὶ λόγος ἐστὶν ἐκ διανοίας ἀληθοῦς ἀναπεμπόμενος εὐχαριστικός. Τέμνει δὲ αὐτὸν κατὰ τὰς οἰκείας τομὰς, ὅνπερ τρόπον ἡ λύρα καὶ τὰ ἄλλα μουσικῆς ὄργανα τέτμηται. Τῶν γὰρ ἐν αὐτοῖς φθόγγων καὶ καθ᾽ ἑαυτὸν ἕκαστος ἥρμοσται, καὶ πρὸς τὴν ἑτέραν συμφωνίαν μάλιστα ᾠκείωται, καθάπερ καὶ τῶν ἐν γραμματικῇ στοιχείων τὰ λεγόμενα φωνήεντα, ἃ καὶ καθ᾽ ἑαυτὰ ἐκφωνεῖται, καὶ σὺν ἑτέροις ὁλόκληρον ἀποτελεῖ φωνήν. Πολλὰς δὲ δυνάμεις αἰσθητικάς τε καὶ λογικὰς νοητικὰς ἐν ἡμῖν αὐτοῖς ἡ φύσις δημιουργήσασα, καὶ πρός τι τῶν οἰκείων ἑκάστην τείνασα ἔργων· καὶ πάλιν πάσας ἁρμοσαμένη δι᾽ ἀναλογίας κοινωνίᾳ καὶ συμφωνίᾳ τῇ πρὸς ἀλλήλας, ὀρθότατα ἂν καὶ ἐφ᾽ ἑκάστῃ καὶ ἐπὶ πάσαις εὐδαιμονίζοιτο.*

§. 21. *Διόπερ "ἐὰν προσφέρῃς θυσίαν πρωτογεννημάτων," οὕτω διαιρεῖ, ὡς ὑφηγεῖται ὁ ἱερὸς λόγος, "νέα" τὸ πρῶτον, εἶτα "πεφρυγμένα," ἔπειτα "χίδρα," καὶ ἐπὶ πᾶσιν "ἐρεικτά." "Νέα" μὲν οὖν, διὰ τόδε· τοὺς τὸν παλαιὸν καὶ γηραιὸν καὶ μυθώδη χρόνον ἀσπαζομένους ταχεῖαν δὲ καὶ ἄχρονον θεοῦ δύναμιν μὴ συνεωρακότας ἐκδιδάσκει; νέα καὶ ἐπακμάζοντα καὶ ἡβῶντα προτρέπων ἐνθύμια λαμ-*
78 *βάνειν, ἵνα μὴ παλαιαῖς ἐντρεφόμενοι μυθοποιΐαις,*
M. *ἃς ὁ μακρὸς αἰὼν ἐπὶ ἀπάτῃ τῶν θνητῶν παραδέδωκε, ψευδοδοξῶσιν· ἀλλὰ παρὰ τοῦ ἀεὶ ἀγήρω καὶ*

νέου θεοῦ τὰ νέα καὶ καινὰ ἀγαθὰ μετὰ πάσης ἀφθονίας λαμβάνοντες, ἐκδιδάσκωνται μηδὲν ἡγεῖ- 14
σθαι παρ᾽ αὐτῷ παλαιὸν, ἢ συνόλως παρεληλυθὸς, P
ἀλλὰ γινόμενον ἀχρόνως καὶ ὑφεστηκός.

§. 22. Οὗ χάριν καὶ δι᾽ ἑτέρων φησὶν, "Ἀπὸ προσώπου πολιοῦ ἀναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου," *) ὡς παμμεγέθους διαφορᾶς οὔσης. "Πολιὸς" μὲν γὰρ ὁ μηδὲν ἐνεργῶν ἐστι χρόνος, ἀφ᾽ οὗ μετανίστασθαι καὶ ἀποδιδράσκειν δεῖ, τὴν μυρίους ἀπατῶσαν ἐκκλίνοντας ὑπόληψιν, ὡς ἄρα τι ποιεῖν οὗτος πέφυκε· "πρεσβύτερος" δὲ, ὁ τιμῆς καὶ γέρως καὶ πρεσβείων ἐπάξιος ὢν, ὃν Μωϋσεῖ τῷ θεοφιλεῖ δοκιμάζειν ἐπιτέτραπται. "Οὓς γὰρ σὺ οἶδας," φησὶν, "οὗτοι πρεσβύτεροί εἰσιν," **) ὡς μηδεμίαν ἀποδεχομένου νεωτεροποιΐαν, ἀλλὰ πρεσβυτέρων καὶ τῆς ἀνωτάτω τιμῆς ἀξίων δογμάτων εἰωθότος ἐρᾷν. Ὠφέλιμον μὲν οὖν, εἰ καὶ μὴ πρὸς ἀρετῆς κτῆσιν τελείας, ἀλλά τοι πρὸς πολιτείαν, καὶ τὸ παλαιαῖς καὶ ὠγυγίοις ἐντρέφεσθαι δόξαις, καὶ ἀρχαίαν ἀκοὴν ἔργων καλῶν μεταδιώκειν, ἅπερ ἱστορικοὶ καὶ σύμπαν τὸ ποιητικὸν γένος, τοῖς τε καθ᾽ ἑαυτοὺς καὶ τοῖς ἔπειτα μνήμῃ παραδεδώκασιν. Ἀλλ᾽ ὅταν γε μὴ προειδομένοις μηδὲ ἐλπίσασι φέγγος ἀφνίδιον ἐπιλάμψηται αὐτομαθοῦς σοφίας, ἣ δὴ τὸ μεμυκὸς ὄμμα ψυχῆς διοίξασα, ἀντὶ ἀκροατῶν θεατὰς ἐπιστήμης ἐργάζεται, τὴν ὠκυδρομωτάτην αἰσθήσεως ὄψιν πρὸ τῆς βραδυτέρας ἀκοῆς ἐν διανοίᾳ θεῖσα, μάταιόν ἐστι διὰ λόγων ὦτα γυμνάζειν.

§. 23. Διὸ καὶ λέγεται, "Φάγεσθε παλαιὰ καὶ παλαιὰ παλαιῶν, ἀλλὰ καὶ παλαιὰ ἐκ προσώπου νέων ἐξοίσετε." ***) Ὡς δέον παλαιὸν μὲν μάθημα χρόνῳ μηδὲν ἀρνεῖσθαι, πειρωμένους καὶ γράμμασι σοφῶν ἀνδρῶν ἐντυγχάνειν, καὶ γνώμαις καὶ διηγήσε-

---

*) Levit. 19, 32. — **) Num. 11, 16. — ***) Levit. 26, 10.

σιν ἀρχαιολογούντων παρεῖναι, καὶ φιλοπευστεῖν ἀεὶ περὶ τῶν προτέρων καὶ ἀνθρώπων καὶ πραγμάτων, τοῦ μηδὲν ἀγνοεῖν ὄντος ἡδίστου. Νέας δὲ ὅταν ἀνατείλῃ βλάστας αὐτοδιδάκτου σοφίας ὁ θεὸς ἐν ψυχῇ, τὰ ἐκ διδασκαλίας εὐθὺς περιγράφειν καὶ περισύρειν, ὑπονοστοῦντα καὶ ὑποῤῥέοντα ἐξ ἑαυτῶν. Τὸν γὰρ θεοῦ φοιτητὴν, ἢ γνώριμον, ἢ μαθητὴν, ἢ ὅ τί ποτε χρὴ θεμένους ὄνομα καλεῖν αὐτὸν, ἀμήχανόν ἐστι θνητῶν ὑφηγήσεων ἀνασχέσθαι.

§. 24. Ἔστω δὲ ἡ νέας ψυχῆς ἀκμὴ "πεφρυ-
179 γμένη," τουτέστιν ὡς πυρὶ χρυσὸς, λόγῳ δυνατῷ
M. βεβασανισμένη· τοῦ δὲ βεβασανίσθαι καὶ δεδοκιμάσθαι σημεῖον τὸ πεπηγέναι. Καθάπερ γὰρ ὁ τῶν τεθηλότων ἀσταχύων καρπὸς, ἵνα μηκέτι πλαδᾷ, φρύγεται, τοῦτο δ᾽ οὐκ ἄνευ πυρὸς πέφυκε συμβαίνειν· οὕτω τὴν νέαν πρὸς ἀρετῆς ἀκμὴν ἀνάληψιν 144
δυνατῷ καὶ ἀκινήτῳ λόγῳ χρὴ πάγιον καὶ σταθερω- P.
τάτην ἀπεργάζεσθαι. Πέφυκε δὲ ὁ λόγος οὐ μόνον πέπτειν ἐν ψυχῇ τὰ θεωρήματα, διαῤῥεῖν αὐτὰ κωλύων, ἀλλὰ καὶ τὴν τοῦ ἀλόγου πάθους ὁρμὴν εὐτόνως ἐκλύειν. Ἴδε γέ τοι τὸν ἀσκητὴν Ἰακὼβ ἕψοντα αὐτὴν, ὁπότε καὶ "Ἡσαῦ ἐκλείπων" *) εὐθὺς εὑρίσκεται. Θεμέλιος γὰρ τῶν φιλαύτων κακία καὶ πάθος, οἷς ἐπερηρεισμένος, ὅταν ἐξηττημένα καὶ παρειμένα ὑπὸ τοῦ αἴροντος αὐτὰ λόγου θεάσηται, κατὰ τὸ εἰκὸς καὶ ἐκλύεται τοὺς ἰσχύος δεσμούς. Ἔστω δὲ ὁ λόγος μὴ συγκεχυμένος, ἀλλ᾽ εἰς οἰκείας τεμνέσθω τομάς. Τὸ "χίδρα ποιῆσαι" τοιοῦτόν ἐστιν· ἐν ἅπαντι μὲν γὰρ ἀταξίας ἀμείνων ἡ τάξις, μάλιστα δ᾽ ἐν ὀξύτατα ῥεούσῃ φύσει, τῷ λόγῳ.

§. 25. Διαιρετέον οὖν αὐτὸν εἰς κεφάλαια προηγούμενα, τὰ λεγόμενα ἐμπίπτοντα, καὶ ἐφαρμοστέον ἑκάστῳ τὰς οἰκείας κατασκευάς· μιμουμένους τοὺς ἀγαθοὺς τῶν τοξοτῶν, οἳ σκοπόν τινα προθέμενοι,

---

*) Gen. 25, 29.

τὰ βέλη πάντα ἐπ᾽ αὐτὸν ἀφιέναι πειρῶνται. Σκοπῷ μὲν γὰρ τὸ κεφάλαιον, βέλεσι δὲ ἔοικεν ἡ κατασκευή· οὕτω τὸ πάντων ἄριστον μαθημάτων ὁ λόγος ἁρμονίως συνυφαίνεται. Καὶ γὰρ πέταλα χρυσίου κατατέμνει ὁ νομοθέτης εἰς τρίχας, ὥστε συνυφᾶναι τὰ οἰκεῖα ἐπιμόνως· οὕτως ὁ τιμιώτερος χρυσίου λόγος ἐκ ποικιλμάτων καὶ μυρίων ἰδεῶν ἐπαινετῶς τελεσιουργεῖται, ὅταν ἄχρι τῶν λεπτοτάτων κεφαλαίων τμηθεὶς, τρόπον τινὰ νήματος, δέξηται καθάπερ κρόκην ἀποδείξεις ἐναρμονίους. Προστέτακται μέντοι καὶ "τὸ ὁλοκαύτωμα δείραντας εἰς μέλη διανέμειν," ὑπὲρ τοῦ πρῶτον μὲν γυμνὴν ἄνευ σκεπασμάτων, ὅσα περιποιοῦσιν αἱ κεναὶ καὶ ψευδεῖς ὑπολήψεις, τὴν ψυχὴν φανῆναι· εἶτα δέξασθαι διαιρέσεις ἐμμελεῖς. Τὸ γὰρ ὅλον καὶ ἕν ἐστιν ἡ ἀρετὴ, ἣ κατὰ εἴδη τὰ προσεχῆ τέμνεται, φρόνησιν καὶ σω-
180 φροσύνην, δικαιοσύνην καὶ ἀνδρίαν, ἵνα τὰς καθ᾽
M. ἕκαστον εἰδότες διαφορὰς, ἑκούσιον ὑπομένωμεν λατρείαν καὶ καθ᾽ ὅλα καὶ κατὰ μέρη. Σκοπῶμεν δὲ ὅπως τὴν ψυχὴν γυμνάσομεν, μὴ ὁλοσχερέσι καὶ ἀτυπώτοις φαντασίαις ὑπὸ συγχύσεως ἀπατᾶσθαι· τομὰς δὲ καὶ διαιρέσεις ποιουμένην τῶν πραγμάτων διακύπτειν εἰς ἕκαστον, καὶ ἐρευνᾶν μετὰ πάσης ἀκριβείας, ληψομένην τόν τε λόγον, ὃς οὐκ ἀτάκτῳ ῥύμῃ φερόμενος, ἀσάφειαν ἐργάσεται, τμηθεὶς δὲ εἰς τὰ οἰκεῖα κεφάλαια, καὶ τὰς εἰς ἕκαστον ἀποδείξεις, ὥσπερ ζῶον, ἐκ τελείων μερῶν συμπαγεὶς, ἁρμοσθήσεται. Χρὴ δὲ εἰ μέλλει ταῦτα παρ᾽ ἡμῖν αὐτοῖς βεβαιοῦσθαι, μελέτην καὶ ἄσκησιν αὐτῶν ποιεῖσθαι 14
συνεχῆ· ὡς τό γε ἀψαμένους ἐπιστήμης μὴ ἐπιμεῖ- P
ναι, ὅμοιόν ἐστι τῷ γεύσασθαι σιτίων καὶ ποτῶν, εἰς κόρον δὲ κωλυθῆναι τραφῆναι.

§. 26. Μετὰ τὰ χίδρα οὖν ἁρμόττει ποιεῖν "ἐρεικτὰ," τουτέστι μετὰ τὴν διαίρεσιν ἐνδιατρίβειν καὶ ἐνσχολάζειν τοῖς ἐπινοηθεῖσι· συνεχὴς γὰρ ἄσκησις ἐπιστήμην πάγιον ἐργάζεται, ὡς ἀμαθίαν ἀμελητησία.

Μυρίοι οὖν ἀθλήσεως ὄκνῳ καὶ τὴν ἐκ φύσεως ἰσχὺν ἐξέλυσαν, οὓς οὐκ ἐμιμήσαντο οἱ προφητείᾳ τὴν ψυχὴν τραφέντες, τῷ λεγομένῳ μάννα. „Οὗτοι γὰρ ἤλουν καὶ ἔτριβον αὐτὸ ποιοῦντες ἐγκρυφίας," *) τὸν οὐράνιον ἀρετῆς λόγον ἀνατρίβειν καὶ ἐπιλεαίνειν ἕκαστος, ἕνεκα τοῦ τυπῶσαι βεβαιοτέραν διάνοιαν, ἐγνωκότες. Ὅταν οὖν „νέα," τὴν ἀκμὴν, καὶ „πεφρυγμένα," τὸν πεπυρωμένον καὶ ἀνίκητον λόγον, καὶ „χίδρα," τὴν τομὴν καὶ διαίρεσιν τῶν πραγμάτων, καὶ „ἐρεικτὰ," τὴν τριβὴν καὶ μελέτην τῶν ἐπινοηθέντων, ὁμολογῇς κατὰ θεὸν, πρωτογεννημάτων οἴσεις θυσίαν, ὧν πρῶτον καὶ ἄριστον ἐγέννησεν ἡ ψυχή. Καὶ ἂν ἡμεῖς μέντοι βραδύνωμεν, αὐτὸς οὐ βραδύνει τοὺς ἐπιτηδείους πρὸς θεραπείαν λαβεῖν ἑαυτῷ. „Λήψομαι" γὰρ, φησὶν, „ὑμᾶς ἐμαυτῷ λαὸν, καὶ ἔσομαι ὑμῶν θεὸς, καὶ ὑμεῖς ἔσεσθέ μοι λαός· ἐγώ εἰμι κύριος."

§. 27. Τὰ μὲν δὴ τοῦ Κάϊν μεθ' ἡμέρας φέροντος τὴν θυσίαν ἐγκλήματα τοιαῦτα ἦν. Ἄβελ δὲ ἤνεγκεν οὐ τὰ αὐτὰ, οὐδὲ τὸν αὐτὸν τρόπον, ἀλλὰ ἀντὶ ἀψύχων ἔμψυχα, ἀντὶ δὲ νεωτέρων καὶ δευτερείων πρεσβύτερα καὶ πρῶτα, ἀντὶ δὲ ἠσθενηκότων ἐῤῥωμένα καὶ πιότερα. „Ἀπὸ γὰρ τῶν πρωτοτόκων τῶν προβάτων αὐτοῦ καὶ ἀπὸ τῶν στεάτων αὐτῶν φησι τὴν θυσίαν ποιεῖσθαι," **) κατὰ τὸ ἱερώτατον διάταγμα.
181 Ἔστι δὲ τοιόνδε. „Καὶ ἔσται," φησὶν, „ὡς ἂν
M εἰσαγάγῃ σε ὁ θεὸς εἰς τὴν γῆν τῶν Χαναναίων, ὃν τρόπον ὤμοσε τοῖς πατράσι σου, καὶ δώσω σοὶ αὐτὴν, καὶ ἀφελεῖς πᾶν διανοῖγον μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα ἂν γένηταί σοι, τὰ ἀρσενικὰ τῷ κυρίῳ. Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτου· ἐὰν δὲ μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό." ***). Τὸ γὰρ διανοῖγον μήτραν τὸ Ἄβελ δῶρόν ἐστι, τὸ πρωτότοκον, ὃ πότε καὶ πῶς δεῖ φέ-

*) Num. 11, 8. — **) Gen. 4, 3. — ***) Exod. 13, 11.

ρειν ἐρεύνησον. Καιρὸς μὲν δὴ ἐπιτηδειότατος, ὅταν εἰςάγῃ σε ὁ θεὸς εἰς τὸν σαλεύοντα λόγον, τὴν τῶν Χαναναίων γῆν, οὐχ ὃν τύχοι τρόπον, ἀλλ᾽ ὃν ὤμοσεν αὐτός· οὐχ ἵνα σάλον καὶ τροπὴν καὶ κλύδωνα ὧδε καὶ ἐκεῖσε φορούμενος ἀστάτως ὑπομένῃς, ἀλλ᾽ ἵνα τοῦ σάλου παυσάμενος αἰθρίαν καὶ γαλήνην ἄγῃς, καὶ ὥςπερ εἰς ὑπόδρομον ἢ ὕφορμον ἢ ναυλοχώτατον λιμένα τὴν ἀρετὴν ἀφικόμενος βεβαίως ἱδρυνθῇς.

§. 28. Ὅταν δὲ λέγῃ τὸν θεὸν ὀμνύναι, σκεπτέον εἰ πρὸς ἀλήθειαν ὡς ἐπιβάλλον αὐτῷ τοῦτο 146 ἀποφαίνεται, ἐπεὶ μυρίοις ἔδοξεν ἀνοίκειον εἶναι. Ὅρ- P. κου γὰρ ἔννοιά ἐστι μαρτυρία θεοῦ περὶ πράγματος ἀμφισβητουμένου. Θεῷ δὲ οὐδὲν ἄδηλον, οὐδὲ ἀμφισβητούμενον, ὃς καὶ τοῖς ἄλλοις τὰ γνωρίσματα τῆς ἀληθείας ἐναργῶς ἐπιδέδειχε. Μάρτυρός γε μὴν οὐδενὸς δεῖται, οὐδὲ γάρ ἐστιν ἄλλος θεὸς ἰσότιμος αὐτῷ. Ἐῶ λέγειν ὅτι ὁ μαρτυρῶν, παρόσον μαρτυρεῖ, κρείττων ἐστὶ τοῦ μαρτυρουμένου. Ὁ μὲν γὰρ δεῖται, ὁ δὲ ὠφελεῖ· τὸ δὲ ὠφελοῦν ἀξιοπιστότερόν ἐστι τοῦ δεομένου. Ἄμεινον δὲ οὐδὲν ἐπινοῆσαι θέμις τοῦ αἰτίου, ὁπότε οὐδὲ ἴσον, ἀλλ᾽ οὐδὲ ὀλίγῳ καταδεέστερον, ἀλλ᾽ ὅλῳ γένει καταβεβηκὸς ἅπαν τὸ μετὰ θεὸν εὑρίσκεται. Τοῦ τε μὴν πιστευθῆναι χάριν ἀπιστούμενοι καταφεύγουσιν ἐφ᾽ ὅρκον ἄνθρωποι· ὁ δὲ θεὸς καὶ λέγων πιστός ἐστιν, ὥςτε καὶ τοὺς λόγους αὐτοῦ βεβαιότητος ἕνεκα μηδὲν ὅρκων διαφέρειν. Καὶ συμβέβηκε τὴν μὲν ἡμετέραν γνώμην ὅρκῳ, τὸν δὲ ὅρκον αὐτὸν θεῷ πεπιστῶσθαι. Οὐ γὰρ δι᾽ ὅρκον πιστὸς ὁ θεὸς, ἀλλὰ δι᾽ αὐτὸν καὶ ὁ ὅρκος βέβαιος.

§. 29. Τί οὖν ἔδοξε τῷ ἱεροφάντῃ παρειςαγαγεῖν αὐτὸν ὀμνύντα; Ἵνα τὴν ἀσθένειαν διελέγξῃ τοῦ γεννητοῦ, καὶ διελέγξας ἅμα παρηγορήσῃ. Οὐ γὰρ δυνάμεθα διηνεκῶς τὸ ἄξιον τοῦ αἰτίου κεφάλαιον ἐν ψυχῇ ταμιεῦσαι τῇ ἑαυτῶν, τὸ "οὐχ ὡς

ἄνθρωπος ὁ θεὸς," *) ἵνα ἅπαντα τὰ ἀνθρωπολο-
γούμενα ὑπερκύψωμεν· ἀλλὰ πλεῖστον μετέχοντες τοῦ
82 θνητοῦ, καὶ χωρὶς αὐτῶν ἐπινοῆσαι μηδὲν δυνά-
1. μενοι, μήτε ἐκβῆναι τὰς ἰδίας κῆρας ἰσχύοντες, ἀλλ᾽
εἰς τὸ θνητὸν εἰςδυόμενοι καθάπερ οἱ κοχλίαι, καὶ
περὶ αὑτοὺς ὥςπερ ἐχῖνοι σφαιρηδὸν εἰλούμενοι, καὶ
περὶ τοῦ μακαρίου καὶ ἀφθάρτου καὶ περὶ αὑτῶν δο-
ξάζομεν, τὴν μὲν ἀτοπίαν τοῦ λόγου, ὅτι ἀνθρωπό-
μορφον τὸ θεῖον, ἀποδιδράσκοντες, τὴν δὲ ἐν τοῖς
ἔργοις ἀσέβειαν, ὅτι ἀνθρωποπαθὲς, ἐπανορθού-
μενοι· διὰ τοῦτο χεῖρας, πόδας, εἰςόδους, ἐξόδους,
ἔχθρας, ἀποστροφὰς, ἀλλοτριώσεις, ὀργὰς προςανα-
πλάττομεν, ἀνοίκεια μέρη καὶ πάθη τοῦ αἰτίου, ὧν
ἐστι καὶ ὁ ὅρκος τῆς ἡμετέρας ἀσθενείας ἐπίκουρος.
"Ἐὰν δώσῃ σοι ὁ θεὸς ἃ θέλεις," λέγει Μωϋσῆς
ὁριζόμενος· μὴ δόντος γὰρ οὐχ ἕξεις, ἐπεὶ πάντα
αὐτοῦ κτήματα καὶ τὰ ἐκτὸς, καὶ τὸ σῶμα καὶ ἡ
αἴσθησις, καὶ ὁ λόγος καὶ ὁ νοῦς, καὶ αἱ πάντων
ἐνέργειαι καὶ οὐσίαι· καὶ οὐ σὺ μόνος, ἀλλὰ καὶ ὅδε
ὁ κόσμος, καὶ ὅ τι ἂν ἀποτέμνῃ καὶ διαιρῇ, τοῦτο
ἀλλότριον εὑρήσεις. Καὶ γὰρ γῆν καὶ ὕδωρ καὶ πνεῦ-
μα, καὶ οὐρανὸν καὶ ἀστέρας, καὶ ζώων καὶ φυτῶν
ἀφθάρτων τε καὶ φθαρτῶν ἰδέας ἁπάσας οὐκ ἴδια 147
κέκτηται, ὥςτε, ὅ τι ἂν αὐτῶν ἱερείου τρόπον προς- P.
άγῃ, τὸ θεοῦ προςάξῃ κτῆμα, οὐ τὸ ἑαυτοῦ.

§. 30. Παρατήρει δὲ, ὡς πάνυ εὐαγῶς ἀπὸ τῶν δοθέντων ἀφελεῖν διείρηται, οὐχ ὅλα προςάγειν τὰ δοθέντα. Μυρία γὰρ ἡμῖν ἡ φύσις ἐπιβάλλοντα ἀνθρώπων γένει δεδώρηται, ὧν ἀμέτοχος ἁπάντων ἐστὶν αὕτη· γέννησιν, ἀγέννητος οὖσα· τροφὴν, τροφῆς οὐ δεομένη· αὔξησιν, ἐν ὁμοίῳ μένουσα· τὰς κατὰ χρόνον ἡλικίας, ἀφαίρεσιν ἢ πρόςθεσιν οὐκ ἐπιδεχομένη· σῶμα ὀργανικὸν, ὃ λαβεῖν οὐ δύναται· προελθεῖν, ἰδεῖν, ἀκοῦσαι, προσενέγκασθαι τροφὴν, τὴν ἕξι-

*) Num. 23, 19.

κμασθεῖσαν ἀποπέμψασθαι πάλιν, ἀτμῶν ἐπικρῖναι διαφορὰς, λόγῳ χρήσασθαι, γέλωτα. Πολλὰ καὶ ἄλλα τῶν εἰς ἀναγκαίας ἅμα καὶ ὠφελίμους ὑπηρεσίας ἔνεστιν· ἀλλὰ ταῦτα μὲν ἀδιάφορα ἄν τις εἴποι, τὰ δὲ ὁμολογούμενα ἀγαθὰ δεῖν ἀνῆφθαι τὴν φύσιν. Φέρε δ' οὖν ἐξετάσωμεν καὶ τῶν πρὸς ἀλήθειαν ἀγαθῶν τὰ μάλιστα παρ' ἡμῖν θαυμαζόμενα, ὧν ἁπάντων μὲν τυχεῖν κατὰ καιροὺς τοὺς ἁρμόζοντας εὐχόμεθα, τυχόντες δὲ εὐδαιμονέστατοι νομιζόμεθα. Τίς οὖν ἀγνοεῖ ὅτι εὐγηρία καὶ εὐθανασία μέγιστα τῶν ἀνθρωπίνων ἀγαθῶν ἐστιν; Ὧν οὐθετέρου κοινωνὸς ἡ φύσις, ἀγήρως τε καὶ ἀθάνατος
183 οὖσα. Καὶ τί παράδοξον, εἰ τὸ ἀγέννητον γεννη-
M. τῶν ἀγαθοῖς οὐκ ἀξιοῖ προςχρῆσθαι, ὁπότε καὶ τὸ γενόμενον αὐτὸ κατὰ τὰς τῶν ἰδεῶν εἰς ἃς τέμνεται διαφορὰς, ἀνομοίων μεταποιεῖται ἀρετῶν; Ἄνδρες γοῦν οὐ γυναιξὶν, οὐδὲ γυναῖκες ἀνδράσιν ἁμιλλήσαιντ' ἂν, περὶ ὧν μόνοις τοῖς ἑτέροις ἁρμόττει προςεῖναι· ἀλλ' αἱ μὲν γυνάνδρων εἰ ζηλώσαιεν τὰ ἀνδρῶν, οἱ δὲ ἀνδρογύνων, εἰ τοῖς γυναικῶν ἐπίθοιντο ἐπιτηδεύμασι, δύςκλειαν οἴσονται. Ἐνίας δὲ ἀρετὰς οὐχ ἡ φύσις οὕτω διακέκρικεν, ὡς μηδὲ ἐξ ἐπιτηδεύσεως εἰς κοινωνίαν ἀχθῆναι δύνασθαι; Τὸ γοῦν σπείρειν καὶ γεννᾶν κατὰ ἀρετὴν ἀνδρῶν ἴδιον, οὐκ ἂν εὕροι τοῦτό γε γυνή· καὶ μὴν ἀγαθὸν οὖσαν γυναικῶν εὐτοκίαν ἀνδρῶν οὐ δέχεται φύσις. Ὥςτε οὐδὲ τὰ ὅσα ἀνθρώποις ἐπὶ θεοῦ κυριολογεῖται, κατάχρησις δὲ ὀνομάτων ἐστὶ παρηγοροῦσα τὴν ἡμετέραν ἀσθένειαν. Ἀφελεῖς οὖν, ὦ ψυχὴ, πᾶν γεννητὸν, θνητὸν, μεταβλητὸν, βέβηλον, ἀπὸ ἐννοίας τῆς περὶ θεοῦ τοῦ ἀγεννήτου, καὶ ἀφθάρτου, καὶ ἀτρέπτου, καὶ ἁγίου, καὶ μόνου μακαρίου.

§. 31. Τὸ δὲ "παντὸς διανοίγοντος μήτραν τὰ ἀρσενικὰ τῷ κυρίῳ" *) φυσικώτατον θύειν. Ὥς-

*) Exod. 13, 12 sq.

περ γὰρ ταῖς γυναιξὶ πρὸς ζώων γένεσιν οἰκειότατον
μέρος ἡ φύσις ἔδωκε μήτραν, οὕτω πρὸς γένεσιν
πραγμάτων ὥρισεν ἐν ψυχῇ δύναμιν, δι᾽ ἧς κυοφο- 148
ρεῖ καὶ ὠδίνει καὶ ἀποτίκτει πολλὰ διάνοια. Τῶν δὲ P.
ἀποκυομένων νοημάτων τὰ μὲν ἄῤῥενα τὰ δὲ θήλεα,
καθάπερ ἐπὶ ζώων, εἶναι συμβέβηκε. Θῆλυ μὲν οὖν
ἔγγονον ψυχῆς ἐστι κακία καὶ πάθος, οἷς καθ᾽ ἕκα-
στον τῶν ἐπιτηδευμάτων ἐκθηλυνόμεθα· ἄῤῥεν δὲ
εὐπάθεια καὶ ἀρετὴ, ὑφ᾽ ὧν ἐγειρόμεθα καὶ ῥωννύ-
μεθα. Τούτων δὲ τὴν μὲν ἀνδρωνῖτιν ἅπασαν ἀνιε-
ρωτέον θεῷ, τὴν δὲ γυναικωνῖτιν ἀπονεμητέον ἑαυ-
τοῖς. Διὸ καὶ προστέτακται, "Πᾶν διανοῖγον μή-
τραν, τὰ ἀρσενικὰ τῷ κυρίῳ."

§. 32. Ἀλλὰ καὶ "Παντὸς," φησὶ, "διανοίγον-
τος μήτραν ἐκ τῶν βουκολίων ἐν τοῖς κτήνεσιν ὅσα
ἂν γένηταί σοι τὰ ἀρσενικὰ τῷ κυρίῳ." *) Εἰπὼν
περὶ τῶν τοῦ ἡγεμονικοῦ γεννημάτων, ἄρχεται διδά-
σκειν καὶ περὶ τῶν τοῦ ἀλόγου, ὅπερ αἱ αἰσθήσεις
κεκλήρωνται, ἃς κτήνεσιν ἀπεικάζει θρεμμάτων, ὅσα
ἐν βουκολίοις ἀνατρέφεται, τιθασσὰ καὶ χειροήθη,
ἅτε ὑπὸ ἐπιστάτου φροντίδος ἀγόμενα, βουκόλου.
Τὰ μὲν γὰρ ἄφετα καὶ ἀπελευθεριάζοντα ἐρημίᾳ
τοῦ πραΰναντος ἐξαγριαίνεται· ὧν δὲ ἡγεμόνες, αἰ-
πόλοι, βουκόλοι, νομεῖς, τῶν καθ᾽ ἕκαστον εἶδος
ἐπιστάται ζώων, ταῦτ᾽ ἐξ ἀνάγκης ἡμεροῦται. Πέ-
184 φυκεν οὖν καὶ τὸ αἰσθήσεων γένος τῇ μὲν ἀτίθασ-
M. σον, τῇ δὲ εἶναι χειρόηθες. Ἀτίθασσον μὲν οὖν,
ὅταν ἀφηνιάσαν ὥσπερ βουκόλου τοῦ νοῦ, φέρηται
πρὸς τὰ ἐκτὸς ἀλόγως αἰσθητά· ἥμερον δὲ, ὅταν
ὑπεῖξαν πειθηνίως τῷ τοῦ συγκρίματος ἡγεμόνι λογι-
σμῷ, κυβερνᾶταί τε καὶ ἡνιοχῆται πρὸς αὐτοῦ. Ὅσα
μὲν οὖν ἂν ἴδῃ ἢ ἀκούσῃ, ἢ συνόλως αἴσθηται κατὰ
τὴν ἐπικέλευσιν τοῦ νοῦ, πάντα ἐστὶν ἄῤῥενα, καὶ
τέλεια, προσγίνεται γὰρ ἑκάστῳ τὸ εὖ· ὅσα δὲ χω-

*) Exod. 13, 12 sq.

ρὶς ἡγεμόνος, ὑπὸ ἀναρχίας, ὥςπερ πόλιν, τὸ σῶμα ἡμῶν διόλλυσι. Πάλιν οὖν καὶ τῶν αἰσθήσεων τὰς μὲν ἑπομένας τῷ νῷ κινήσεις, αἵπερ ἐξ ἀνάγκης ἀμείνους εἰσὶ, λογιστέον κατὰ θεὸν συμβαίνειν· τὰς δὲ ἀφηνιαζούσας ἀναθετέον αὐτοῖς, ἀλόγως ὑπὸ τῆς τῶν ἐκτὸς αἰσθήσεων φορᾶς ἀγομένοις.

§. 33. Ἀλλ' οὐ μόνον ἀπὸ τούτων, ἀλλὰ καὶ ἀπὸ τοῦ φυράματος ὅλου προςτέταχεν ἀφαιρεῖν. Ἡ δὲ πρόςταξίς ἐστι τοιάδε, "Καὶ ἔσται ὅταν ἐσθίητε ἀπὸ τῶν καρπῶν τῆς γῆς, ἀφελεῖτε ἀφαίρεμα ἀφόρισμα κυρίῳ· ἀπαρχὴν φυράματος ὑμῶν ἄρτον, ἀφαίρεμα ἀφελεῖτε αὐτό· ὡς ἀφαίρεμα ἀπὸ ἅλωνος, οὕτως ἀφελεῖτε αὐτό." *) Τὸ τοίνυν φύραμα κυρίως, εἰ χρὴ τὸ ἀληθὲς λέγειν ἡμεῖς ἐσμεν αὐτοὶ, συμπεφορημένων καὶ συγκεκριμένων πλείστων οὐσιῶν, ἵνα ἀποτελεσθῶμεν. Ψυχρὸν γὰρ θερμῷ, καὶ ξηρὸν ὑγρῷ, δυνάμεις ἐναντίας, μίξας καὶ ἀνακερασάμενος ὁ ζωοπλάστης, ἓν ἐκ πασῶν ἕκαστον ἡμῶν ἀπειργάσατο συμφόρημα, ἀφ' οὗ καὶ φύραμα εἴρηται. Τούτου 14
τοῦ συμφορήματος, ὃ ψυχὴ καὶ σῶμα, δύο τὰ ἀνωτάτω τμήματα, κεκλήρωται, ὧν τὰς ἀπαρχὰς ἀνιερωτέον. Ἀπαρχαὶ δέ εἰσιν, ἅγιαι κινήσεις αἱ κατ' ἀρετὴν ἑκατέρου, διὸ καὶ ἅλῳ παραβέβληται. Καθάπερ οὖν ἐν τῇ ἅλῳ εἰσὶ πυροὶ καὶ κριθαὶ, καὶ ὅσα τοιαῦτα καθ' ἑαυτὰ χωρίζεται, ἀθέρες δὲ καὶ ἄχυρα, καὶ εἴ τις ἄλλος φορυτὸς ἑτέρωσε σκίδναται· οὕτω καὶ παρ' ἡμῖν τὰ μέν ἐστιν ἄριστα καὶ ὠφέλιμα καὶ τὰς ἀληθεῖς τροφὰς παρέχοντα, δι' ὧν ὁ ὀρθὸς ἀποτελεῖται βίος, ἅπερ ἀναθετέον θεῷ· τὰ δ' ἄλλα ὅσα μὴ θεῖα ὑπολειπτέον, ὥςπερ σκύβαλα, γένει τῷ θνητῷ. Ἀπὸ μὲν οὖν τῶν τοιούτων ἀφαιρετέον· εἰσὶ δὲ δυνάμεις ἀμιγεῖς κακίας ὅλαι δι' ὅλων, ἃς οὐ θέμις ἀκρωτηριάζειν διαροῦντας, ἐοικυῖαι ταῖς ἀμερίστοις θυσίαις, ὁλοκαυτώμασιν· ὧν ἐναργὲς πα-

---

*) Num. 15, 19.

ράδειγμα Ἰσαὰκ, ὃν ἱερείου τρόπον ἀνάγειν προστέ-
85 τακται, μηδενὸς πάθους φθοροποιοῦ μεμοιρασμέ-
I. νον. Λέγεται δὲ καὶ δι' ἑτέρων, „Τὰ δόματά μου, δῶρά μου, καρπώματά μου διατηρήσετε προσφέρειν ἐμοὶ ἐν ταῖς ἑορταῖς μου,“ οὐκ ἀφαιροῦντας, οὐδὲ διανέμοντας, ἀλλ' ἔμπλεα καὶ ὁλόκληρα καὶ τέλεια προσάγοντας. Ἑορτὴ γὰρ ψυχῆς ἡ ἐν ἀρεταῖς εὐφροσύνη τελείαις· τέλειαι δὲ αἱ κηλίδων ἀμέτοχοι ὅσας τὸ ἀνθρώπινον γένος χωρεῖ. Μόνος δὲ ἑορτάζει τὴν τοιαύτην ἑορτὴν ὁ σοφὸς, τῶν δ' ἄλλων οὐδείς· ἄγευστον γὰρ παθῶν ἢ κακιῶν ψυχὴν εὑρεῖν σπανιώτατον.

§. 34. Ἀποδοὺς οὖν τὸν περὶ τῶν μερῶν τῆς ψυχῆς ἡγεμονικοῦ τε καὶ ὑπηκόου λόγον, καὶ τί ἐστιν ἐν ἑκατέρῳ ἄῤῥεν ἢ θῆλυ, μετὰ ταῦτα περὶ σώματος ἀκολούθως ἐκδιδάσκει. Σαφῶς γὰρ εἰδὼς, ὅτι δίχα πόνου καὶ ἐπιμελείας οὐχ οἷόν τε γενεᾶς τῆς ἄῤῥενος ἐπιλαχεῖν, φησὶν ἑξῆς, „Πᾶν διανοῖγον μήτραν ὄνου, ἀλλάξεις προβάτῳ,“ *) ἴσον τῷ, πάντα πόνον ἀντικαταλλάττου προκοπῆς. Πόνου μὲν γὰρ ὄνος, τλητικὸν γὰρ τὸ ζῶον, προκοπῆς δὲ, πρόβατον, ὡς καὶ αὐτὸ δηλοῖ τὸ ὄνομα, σύμβολόν τι ὂν ἐπὶ τῆς τῶν τεχνῶν καὶ ἐπιτηδευμάτων καὶ τῶν ἄλλων ὅσα διδακτὰ μελέτης, μὴ ὀλιγώρως μηδὲ ῥαθύμως, ἀλλὰ μετὰ φροντίδος τῆς πάσης παρεσκευακότα τὴν σαυτοῦ διάνοιαν ὑποστῆναι καρτερῶς πάντα κάματον, καὶ σπουδάσαι μὴ ὑπὸ ἀμελοῦς κατασχεθῆναι πόνου, προκοπὴν δὲ καὶ βελτίωσιν ἐπὶ τὸ εὐκλεέστατον ἄγοντα τέλος εὑρέσθαι· προκοπῆς γὰρ χάριν οἰστὸς ὁ πόνος. Ἐὰν δὲ ἄρα σὺ μὲν ἀναδέχῃ
τὸν ἐκ τοῦ πονεῖν κάματον, ἡ δὲ φύσις μηδὲν ἐπι- 150
διδῷ πρὸς τὸ ἄμεινον, ἐναντιουμένη ταῖς ἐκ προκο- P.
πῆς βελτιώσεσι, μετατρεπόμενος ἠρέμει· χαλεπὸν γὰρ ἐναντιοῦσθαι φύσει. Διὸ καὶ προστίθησιν, „Ἐὰν δὲ,“

*) Exod. 13, 13.

φησὶ, "μὴ ἀλλάξῃς, λυτρώσῃ αὐτό." *) Ὅπερ ἐστὶν, ἐὰν δὲ μὴ δύνῃ προκοπὴν ἀλλάξασθαι τοῦ πονεῖν, μέθες καὶ τὸν πόνον· τὸ γὰρ λυτρώσασθαι τοιοῦτον ὑποβάλλει νοῦν, ἐλευθερῶσαι τὴν ψυχὴν ἀνηνύτου καὶ ἀτελοῦς φροντίδος.

§. 35. Λέγω δὲ ταῦτα οὐ περὶ τῶν ἀρετῶν, ἀλλὰ περὶ τῶν μέσων τεχνῶν καὶ τῶν ἄλλων ἀναγκαίων, περί τε σώματος ἐπιμέλειαν καὶ τὴν τῶν ἐκτὸς περιουσίαν ὅσα πραγματεύονται. Ἐπεὶ δὲ ὅ γε περὶ
186 ἀγαθῶν καὶ καλῶν τελείων πόνος, καὶ ἂν ὑστερίζῃ
M. τοῦ τέλους, ἱκανὸς ἐξ αὑτοῦ προωφελῆσαι τοὺς χρωμένους, τὰ δὲ ὅσα ἐκτὸς ἀρετῆς, ἐὰν μὴ προςγένηται τὸ πέρας, ἀνωφελῆ πάντα. Ὥςπερ ἐπὶ ζώων, ἐὰν ἀφέλῃς κεφαλὴν, οἴχεται τὰ πάντα· κεφαλὴ δὲ πραγμάτων ἐστὶ τὸ τέλος αὐτῶν, ἃ ζῇ μὲν τρόπον τινὰ ἐφαρμοζομένου, θνήσκει δὲ, ἐὰν ἐκτεμεῖν καὶ ἀκρωτηριάζειν ἐθελήσῃς. Ὥςτε καὶ ἀθληταὶ μὴ δυνάμενοι νικηφορεῖν, ἀεὶ δὲ ἡττώμενοι, καταλυέτωσαν· καὶ εἴ τις ἔμπορος ἢ ναύκληρος θαλαττεύων ἐπαλλήλοις κακοπραγίαις χρῆται, μετατρεπόμενος ἠρεμείτω. Ὅσοι τε τὰς μέσας ἐπιτηδεύσαντες τέχνας μηδὲν ἠδυνήθησαν διὰ σκληρότητα φύσεως μάθημα παραδέξασθαι, ἐπαινετοὶ καταλύοντες· οὐ γὰρ ἕνεκα ἀσκήσεως ἀσκεῖται τὰ τοιαῦτα, ἀλλὰ τοῦ πρὸς ὃν ἀναφέρεται σκοποῦ. Ἐὰν οὖν ἐμποδοστατῇ πρὸς ἀμείνους ἐπιδόσεις ἡ φύσις, μὴ ἀνόνητα ἀντιτείνωμεν, συμπραττούσης δὲ, ἀπαρχαῖς καὶ τιμαῖς γεραίρωμεν τὸ θεῖον, αἳ λύτρα τῆς ἡμετέρας ψυχῆς εἰσι, δεσποτῶν ἀνημέρων αὐτὴν ἀπαλλάττουσαι, καὶ εἰς ἐλευθερίαν ἐξαιρούμεναι.

§. 36. Καὶ γὰρ τοὺς Λευΐτας ὁμολογεῖ Μωϋσῆς τοὺς ἀντὶ τῶν πρωτοτόκων γενομένους θεραπευτὰς τοῦ μόνου ἀξίου θεραπεύεσθαι, λύτρα τῶν ἄλλων ἁπάντων εἶναι. "Καὶ ἐγὼ γὰρ," φησὶν, "ἰδοὺ

---

*) Exod. 13, 13.

εἴληφα τοὺς Λευΐτας ἐκ μέσου υἱῶν Ἰσραὴλ, ἀντὶ
παντὸς πρωτοτόκου διανοίγοντος μήτραν παρὰ τῶν
υἱῶν Ἰσραὴλ λύτρα αὐτῶν ἔσονται, καὶ ἔσονται ἐμοὶ
οἱ Λευῖται· ἐμοὶ γὰρ πᾶν πρωτότοκον, ἐν ἡμέρᾳ ᾗ
ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασα
ἐμοὶ πᾶν πρωτότοκον Ἰσραήλ." *) Ὁ πεφευγὼς ἐπὶ
τὸν θεὸν καὶ ἱκέτης αὐτοῦ γεγονὼς λόγος, ὀνομάζε-
ται Λευΐτης, τοῦτον ἐκ τοῦ μεσαιτάτου καὶ ἡγεμο-
νικωτάτου τῆς ψυχῆς λαβὼν, τουτέστι προςλαβό-
μενος καὶ προςκληρώσας ἑαυτῷ, τῆς τῶν πρεσβείων
ἠξίωσε μερίδος· ὥςτε ἐνθένδε δῆλον εἶναι, ὅτι ὁ
μὲν Ῥουβὶν τοῦ Ἰακὼβ, ὁ δὲ Λευῒ τοῦ Ἰσραὴλ πρω-
τότοκός ἐστιν, ὁ μὲν τὰ χρόνου, ὁ δὲ τὰ ἀξιώ- 151
ματος καὶ δυνάμεως φερόμενος πρεσβεῖα. Πόνου P.
μὲν γὰρ καὶ προκοπῆς ὢν Ἰακὼβ σύμβολον, τοῦ εὐ-
φυοῦς ἀρχὴ, καθ᾽ ὃ ὁ Ῥουβὶν νοεῖται· θεωρίας δὲ
τῆς τοῦ μόνου σοφοῦ, καθ᾽ ἣν Ἰσραὴλ τέτακται, πη-
γὴ, τὸ θεραπευτικῶς ἔχειν αὐτοῦ· θεραπείας δὲ ὁ
Λευΐτης ἐστὶ σημεῖον. Καθάπερ οὖν τῶν Ἡσαῦ
187 πρωτοτοκίων κληρονόμος Ἰακὼβ ἀνευρίσκεται, τῆς
M. περὶ κακίας σπουδῆς ἡττωμένης πρὸς τοῦ καλοῦ πό-
νου· οὕτω καὶ τὰ Ῥουβὶν πρεσβεῖα, τοῦ εὐφυοῦς,
ὁ κεχρημένος ἀρετῇ τελείᾳ Λευῒ οἴσεται. Τῆς δὲ
τελειότητος δεῖγμα ἐναργέστερον, πρόςφυγα γενέ-
σθαι θεοῦ, καταλιπόντα τὴν τῶν ἐν γενέσει πρα-
γματείαν.

§. 37. Ταῦτά ἐστι τὰ, κυρίως εἰπεῖν, ψυχῆς ἐλευθερίας ἐφιεμένης σῶστρα καὶ λύτρα. Μήποτε δὲ καὶ δόγμα εἰςηγεῖται σφόδρα ἀναγκαῖον; Ὅτι πᾶς σοφὸς λύτρον ἐστὶ τοῦ φαύλου, μηδ᾽ ἂν πρὸς ὀλίγον χρόνον ἐξαρκέσαντος, εἰ μὴ ἐλέῳ καὶ προμηθείᾳ χρώμενος ἐκεῖνος προενόει τῆς διαμονῆς αὐτοῦ. Καθάπερ ἰατρὸς τοῦ νοσοῦντος ἀντιτεταγμένος τοῖς ἀῤῥωστήμασι, καὶ ἢ πρῴτερα κατασκευάζων αὐτὰ, ἢ

*) Lev. 3, 12.

συνόλως ἀναιρῶν, εἰ μήπου μετὰ φορᾶς ἀνεπισχέτου βιασαμένης, καὶ τὴν τῆς θεραπείας ὑπερβάλλοι φροντίδα. Οὕτω γὰρ ἂν καὶ Σόδομα φθείρεται, μηδενὸς οἷα ἐπὶ πλάστιγγος ἀμυθήτῳ πλήθει κακῶν ἀντιῤῥέψαι δυνηθέντος ἀγαθοῦ· ὡς εἴ γε ὁ πεντηκοστὸς λόγος εὑρέθη, καθ' ὃν ἄφεσις ψυχικῆς δουλείας καὶ παντελὴς ἐλευθερία προκηρύττεται, ἤ τις τῶν μετ' αὐτὸν ἀριθμῶν, οὓς ὁ σοφὸς Ἀβραὰμ καταλέγει, μέχρι τῆς κατὰ παιδείαν ὁρίζων δεκάδος τὴν ὕφεσιν, οὐκ ἂν οὕτως ἀκλεῶς ὁ νοῦς ἐφθάρη. Πειρᾶσθαι μέντοι γε δεῖ καὶ τοὺς μὴ πάντως ὑπὸ τῆς ἐν αὐτοῖς διαφθαρησομένους κακίας, ὡς οἷόν τε διασώζειν· μιμουμένους τοὺς ἀγαθοὺς τῶν ἰατρῶν, οἳ καὶ ἂν ὁρῶσιν ἀδύνατον τοῖς κάμνουσι τὸ σώζεσθαι, προςφέρουσι τὴν θεραπείαν ὅμως ἄσμενοι, τοῦ μὴ τῇ παρ' αὐτοὺς ὀλιγωρίᾳ δοκεῖν συμβῆναί τι τῶν παρὰ γνώμην. Εἰ δέ τι καὶ μικρὸν ὅσον ὑγείας σπέρμα ἐμφαίνοιτο, τοῦτο ὥςπερ ἐμπύρευμα πάσαις ἐπιμελείαις ζωπυρητέον· ἐλπὶς γὰρ μηκυνθέντος καὶ αὐξηθέντος, ἀμείνονι καὶ ἀπταιστοτέρῳ χρήσασθαι βίῳ. Ἔγωγ' οὖν ὅταν τινὰ τῶν σπουδαίων διαιτώμενον κατ' οἰκίαν, ἢ κατὰ πόλιν θεάσωμαι, τὴν οἰκίαν ἢ τὴν πόλιν ἐκείνην εὐδαιμονίζω, καὶ οἴομαι τήν τε τῶν παρόντων ἀγαθῶν ἀπόλαυσιν βέβαιον, καὶ τὴν ἀπόντων προςδοκίαν τελεςφορουμένην σχήσειν, τοῦ θεοῦ τὸν ἀπεριόριστον καὶ ἀπερίγραφον πλοῦτον αὐτοῦ διὰ τοὺς ἀξίους καὶ τοῖς ἀναξίοις δωρουμένου. Καὶ εὔχομαι ὡς πολυχρονιω- 15[2]
τάτους αὐτοὺς, ἐπειδὴ ἀγήρως οὐκ ἔστι, γενέσθαι, P.
νομίζων ἐπὶ τοσοῦτον παραμένειν ἀνθρώποις τὰ ἀ-
188 γαθὰ, ἐφ' ὅσον ἂν οὗτοι χρόνον ζῆν δυνηθῶσι τὰ
M. καλά. Ὅταν οὖν ἴδω ἢ ἀκούσω τινὰ αὐτῶν τεθνεῶτα, σφόδρα κατηφῶ καὶ ἄχθομαι, καὶ οὐ μᾶλλον αὐτοὺς, ἢ τοὺς ζῶντας ὀλοφύρομαι. Τοῖς μὲν γὰρ ἀκολουθίᾳ φύσεως τὸ ἀναγκαῖον ἀποβῆναι τέλος, βίον μὲν εὐδαίμονα, εὐκλεᾶ δὲ θάνατον ἐνδειξαμέ-

νοις· τοὺς δὲ ἐρήμους μεγάλης καὶ δυνατῆς χειρὸς δι᾽ ἣν ἐσώζοντο, ἀπολειφθέντας, ταχὺ δὴ μάλα τῶν ἰδίων αἰσθήσεσθαι κακῶν, εἰ μὴ πάλιν ἀντὶ τῶν προτέρων ἡ φύσις, ὥςπερ δένδρῳ τοὺς ἤδη πεπανθέντας καρποὺς ἀποβαλόντι, νέους ἑτέρους ἀναβλαστῆσαι παρασκευάσει, πρὸς τροφὴν καὶ ἀπόλαυσιν τῶν χρῆσθαι δυναμένων. Ὥςπερ οὖν τῶν πόλεων τὸ ὀχυρώτατον εἰς διαμονὴν ἄνδρες εἰσὶν ἀγαθοὶ, οὕτω καὶ τῆς περὶ ἕκαστον ἡμῶν πόλεως, ἣ συνέστηκεν ἐκ ψυχῆς καὶ σώματος, τὸ βεβαιότατον εἰς ἵδρυσιν ἔλαχον οἱ φρονήσεως καὶ ἐπιστήμης ἐρασταὶ λόγοι· οὓς ὁ νομοθέτης μεταφορᾷ χρώμενος, λύτρα καὶ πρωτοτόκους καλεῖ, δι᾽ ἃς εἶπον αἰτίας ἤδη. Ταύτῃ καὶ τὰς πόλεις τῶν Λευϊτῶν λυτρωτὰς διὰ παντὸς εἶναί φησιν, ὅτι ὁ θεοῦ θεραπευτὴς αἰώνιον ἐλευθερίαν κεκάρπωται, κατὰ τὰς συνεχεῖς τροπὰς τῆς ἀεικινήτου ψυχῆς, ἰάσεις δεχόμενος ἐπαλλήλους. Τὸ γὰρ λυτρωτὰς μὴ ἅπαξ, ἀλλὰ διὰ παντὸς, ὥς φησι, γενέσθαι, τοιοῦτον ὑποβάλλει νοῦν· ἀεὶ μὲν τρέπεσθαι, ἀεὶ δὲ ἐλευθεροῦσθαι· τῆς μὲν τροπῆς διὰ τὸ φύσει θνητὸν ἐγγινομένης, τῆς δὲ ἐλευθερίας διὰ τὴν τοῦ θεοῦ θεραπείαν ἐπιγινομένης.

§. 38. Ἄξιον δὲ μὴ παρέργως σκέψασθαι, τί δή ποτε τὰς πόλεις τῶν Λευϊτῶν ἀνῆκε τοῖς φυγάσι, τοῖς ἱερωτάτοις καὶ τοὺς ἀνιέρους εἶναι δοκοῦντας συνοικεῖν ἀξιώσας. Οὗτοι δ᾽ εἰσὶν οἱ τὸν ἀκούσιον φόνον δράσαντες. Λεκτέον οὖν πρῶτον μὲν τὸ ἀκόλουθον τῷ πάλαι ῥηθέντι, ὅτι σπουδαῖος τοῦ φαύλου λύτρον· ὥςτε εἰκότως πρὸς τοὺς ἱερωμένους οἱ διαμαρτόντες ἀφίξονται, τοῦ καθαρθῆναι χάριν. Ἐπειθ᾽ ὅτι φυγάδας οἱ Λευῖται προςίενται, καὶ αὐτοὶ δυνάμει φυγάδες ὄντες. Ὡς γὰρ ἐκεῖνοι τῶν πατρίδων ἐλαύνονται, οὕτω καὶ οὗτοι καταλελοίπασι τέκνα, γονεῖς, ἀδελφοὺς, τὰ οἰκειότατα καὶ φίλτατα, ἵν᾽ ἀντὶ θνητοῦ τὸν ἀθάνατον κλῆρον εὕρωνται. Διαφέρουσι δὲ, ὅτι ἐκείνοις μὲν ἀβούλητος ἡ φυγὴ

δι᾽ ἔργον ἀκούσιον, τούτοις δὲ ὁ δρασμὸς ἑκούσιος
δι᾽ ἔρωτα τῶν ἀρίστων. Καὶ ὅτι τοῖς μὲν οἱ Λευΐ-
ται καταφυγὴ, τοῖς δὲ Λευΐταις ὁ πάντων ἡγεμὼν
189 ἐστιν, ἵν᾽ οἱ μὲν ἀτελεῖς νόμον ἔχωσι τὸν ἱερὸν λό-
M. γον, οὗτοι δὲ τὸν ᾧ ἱεροῦνται θεόν. Ἔτι γε μὴν οἱ P
τὸν ἀκούσιον φόνον δράσαντες τὰς αὐτὰς τοῖς Λευΐ-
ταις πόλεις ἔλαχον οἰκεῖν, ὅτι καὶ οὗτοι διὰ φόνον
ὅσιον προνομίας ἠξιώθησαν. Ὅτε γοῦν ἡ ψυχὴ τρα-
πεῖσα τὸν Αἰγύπτιον θεὸν, τὸ σῶμα, ὡς χρυσὸν
ἐξετίμησε, τόθ᾽ οἱ ἱεροὶ λόγοι πάντες αὐτοκέλευστοι
μεθ᾽ ὅπλων ὁρμήσαντες ἀμυντηρίων, τῶν κατ᾽ ἐπι-
στήμην ἀποδείξεων, ἡγεμόνα προστησάμενοι καὶ στρα-
τηγὸν τὸν ἀρχιερέα καὶ προφήτην καὶ φίλον τοῦ θεοῦ
Μωϋσῆν, πόλεμον ἀκήρυκτον ὑπὲρ εὐσεβείας πολε-
μοῦσι, καὶ οὐ πρότερον ἀπηλλάγησαν, ἢ πάντα τὰ
τῶν ἐναντιουμένων δόγματα καταλῦσαι· ὥστε εἰκό-
τως σύνοικοι γεγόνασιν οἱ τὰς ὁμοίας καὶ μὴ τὰς αὐ-
τὰς πράξεις ἐργασάμενοι.

§. 39. Ἄιδεται δέ τις καὶ τοιοῦτος ὡς ἐν ἀποῤῥήτοις λόγος, ὃν ἀκοαῖς πρεσβυτέρων παρακατατίθεσθαι χρὴ, νεωτέρων ὦτα ἐπιφράξαντας. Τῶν γὰρ περὶ τὸν θεὸν δυνάμεων ἀρίστων πασῶν μία οὖσα ταῖς ἄλλαις ὁμότιμος ἡ νομοθετική — νομοθέτης γὰρ καὶ πηγὴ νόμων αὐτὸς, ὑφ᾽ οὗ πάντες οἱ κατὰ μέρος νομοθέται — διχῇ πέφυκε τέμνεσθαι, τῇ μὲν εἰς εὐεργεσίαν κατορθούντων, τῇ δὲ εἰς κόλασιν ἁμαρτανόντων. Τοῦ μὲν οὖν προτέρου τμήματος ὑπηρέτης ὁ Λευΐτης ἐστί· τὰς γὰρ λειτουργίας ἁπάσας ἀναδέχεται, ὅσαι πρὸς ἱερωσύνην ἀναφέρονται τελείαν, καθ᾽ ἣν διανίσταται καὶ γνωρίζεται τὸ θνητὸν θεῷ, ἢ δι᾽ ὁλοκαυτωμάτων, ἢ διὰ σωτηρίων, ἢ διὰ μετανοίας ἁμαρτημάτων. Τοῦ δὲ ἑτέρου καὶ κολαστηρίου τμήματος οἱ τὸν ἀκούσιον φόνον δρῶντες ὑπηρέται γεγόνασι. Καὶ μαρτυρεῖ Μωϋσῆς φάσκων, „Ὁ δὲ οὐχ ἑκὼν, ἀλλ᾽ ὁ θεὸς παρέδωκεν αὐ-

τὸν εἰς τὰς χεῖρας αὐτοῦ," *) ὥςτε τὰς μὲν τούτου χεῖρας ὀργάνων τρόπον παραλαμβάνεσθαι· τὸν δὲ διὰ τούτων ἀοράτως ἐνεργοῦντα, ἕτερον εἶναι τὸν ἀόρατον. Συνοικείτωσαν οὖν δύο θεράποντες τῶν νομοθετικῆς ὑπηρέται δύο εἰδῶν· τοῦ μὲν πρὸς εὐεργεσίαν ὁ Λευίτης, τοῦ δὲ πρὸς κόλασιν ὁ ἀκουσίως ἀνελών. "Ἐν ᾗ δὲ," φησὶν, "ἡμέρᾳ ἐπάταξα πᾶν πρωτότοκον ἐν γῇ Αἰγύπτῳ, ἡγίασά μοι πᾶν πρωτότοκον Ἰσραήλ." **) Οὐχ ἵνα τοῦθ' ὑποτοπήσωμεν, ὅτι κατ' ἐκεῖνον τὸν χρόνον καθ' ὃν ἐπλήγη τὴν μεγάλην πληγὴν φθορᾷ τῶν πρωτοτόκων Αἴγυπτος, οἱ Ἰσραὴλ πρωτότοκοι ἐγένοντο ἅγιοι· ἀλλ' ὅτι καὶ πάλαι καὶ νῦν καὶ αὖθις καὶ ἀεὶ τοῦτο συμβαίνειν ἐπὶ ψυχῆς πέφυκεν, ὅταν τὰ τοῦ τυφλοῦ πάθους ἡγεμονικώτατα διαφθαρῇ, τηνικαῦτα τὰ τοῦ
190 θεοῦ ὀξυδερκῶς ὁρῶντος πρεσβύτερα καὶ τίμια
M ἔκγονα γίνεται ἅγια. Κακίας γὰρ ἔξοδος ἀρετῆς εἴς-
οδον ἐργάζεται, ὡς καὶ τὸ ἐναντίον, ὑπεκστάντος 154
ἀγαθοῦ τὸ ἐφεδρεῦον κακὸν ἐπειςέρχεται. Ὅσον γε P.
οὐδέπω γοῦν ἐξῆλθεν Ἰακὼβ, ***) καὶ πάρεστιν ἐπὶ τὴν πανδεχῆ διάνοιαν Ἡσαῦ, ἀντὶ τῶν ἀρετῆς τύπων ἐνσφραγιούμενος κακίας, ἣν δύνηται, χαρακτῆρας· ἀλλ' οὐκ ἂν ἴσχυσε τοῦτ' ἐργάσασθαι. Πτερνισθεὶς γὰρ καὶ κλιθεὶς ὑπὸ τοῦ σοφοῦ λήσεται, φθάσαντος πρὶν ἢ παθεῖν ἀμύνασθαι.

§. 40. Προςάγει δ' οὐ μόνον ἀπὸ τῶν πρωτοτόκων τὰς ἀπαρχὰς, ἀλλὰ καὶ ἀπὸ τῶν στεάτων, ἐμφαίνων, ὅτι τὰ τῆς ψυχῆς γεγηθότα καὶ πίονα καὶ φυλακτικὰ χαρτὰ πάντα, τῷ θεῷ παραχωρητέον. Ὁρῶ δ' ἔγωγε καὶ ἐν ταῖς τῶν θυσιῶν διατάξεσι τρία προστεταγμένα ἀναφέρειν ἀπὸ τῶν ἱερείων τὰ πρῶτα, στέαρ, καὶ νεφροὺς, καὶ λοβὸν ἥπατος, περὶ ὧν κατ' ἰδίαν λέξομεν· οὐδαμοῦ δὲ ἐγκέφαλον ἢ καρδίαν, ἅπερ εἰκὸς ἦν πρὸ τῶν ἄλλων καθαγιέ-

---

*) Exod. 21, 13. — **) Exod. 13, 15. — ***) Gen. 27, 1 sqq.

ζεσθαι, εἴ γε καὶ κατὰ τὸν νομοθέτην ἐν τῷ ἑτέρῳ τούτων τὸ ἡγεμονικὸν ἀνωμολόγηται. Ἀλλὰ μήποτε ὁσίως πάνυ καὶ ἐκ περισκέψεως ἀκριβοῦς εἰς τὸν πιστὸν τοῦ θεοῦ βωμὸν οὐκ ἀνήνεγκεν; Ὅτι τὸ ἡγεμονικὸν κατὰ ἀμερὲς χρόνου διάστημα, πρὸς ἑκάτερον τό τε εὖ καὶ χεῖρον τροπὰς λαμβάνον, ἀλλάττοντας ἀεὶ τύπους δέχεται· τοτὲ μὲν καθαροῦ καὶ δοκίμου, τοτὲ δὲ παρακεκομμένου καὶ κιβδήλου νομίσματος. Τὴν δεδεγμένην οὖν χώραν ἄμφω τὰ μαχόμενα, καλόν τε καὶ αἰσχρὸν, καὶ πρὸς ἑκάτερον ᾠκειωμένην καὶ τὴν ἴσην τιμὴν ἀμφοτέροις ἀπονέμουσαν, οὐχ ἧττον ἄναγνον ἢ εὐαγῆ κρίνας ὁ νομοθέτης, ἀπὸ τοῦ θείου βωμοῦ κατεβίβασε· τὸ γὰρ αἰσχρὸν βέβηλον, τὸ δὲ βέβηλον πάντως ἀνίερον. Τοῦτο δὲ τὸ ἡγεμονικὸν διακεχώρικεν· εἰ δ᾽ ἐπίκρισιν πάσχοι, τηνικαῦτα πάντων τῶν μερῶν καθαρμένων, ἀκηλίδωτον ἄχραντον ὁλοκαυτωθήσεται. Νόμος γὰρ ὁλοκαυτωμάτων οὗτος, μηδὲν ἔξω τροφῆς σκυβάλων καὶ δέρματος ἃ σωματικῆς ἀσθενείας δείγματα οὐ κακίας ἐστὶν, ὑπολείπεσθαι τῷ γεννητῷ· τὰ δ᾽ ἄλλα ὅσα ψυχὴν ὁλόκληρον κατὰ πάντα τὰ μέλη παρέχεται, ὁλοκαυτοῦν θεῷ.

## ΠΕΡΙ ΤΟΥ ΤΟ ΧΕΙΡΟΝ ΤΩι ΚΡΕΙΤΤΟΝΙ ΦΙΛΕΙΝ ΕΠΙΤΙΘΕΣΘΑΙ.

---

# ARGUMENTUM LIBRI DE EO, QUOD DETERIUS POTIORI INSIDIARI SOLEAT.

---

(Cf. Gen. 4, 8—16.)

Campus, in quem Cainus Abelum venire hortatur, est signum contentionum boni et mali (1 et 2), quae sunt compescendae, ut et fratres Iosephi greges cogentes pascunt (3), et honesta potius discenda et exercenda, quorum fons est mens virtutis amans. Huic cogitationes sacrae divinitus immittuntur (4 et 5), dummodo, ut Iosephus, recedit e valle tenebrosa sensuum, quam significat Chebron (6). Illa tamen arte sunt ediscenda, non inscienter et obiter tractanda; aliter errabimus ut Iosephus. A recta quoque ad virtutem via declinant, qui in rebus tantum asceticis virtutem ipsam et pietatem quaerunt (7). Tales sunt cohortandi, ut sanam rationem sequantur. Isti vero etiam a conscientia monentur, ne in falsas opiniones delabantur (8 et 9). Contentio Abeli et Caini est pugna opinionum contrariarum, quarum altera, pia, cuncta refert ad deum, altera, impia, omnia repetit a semet ipsa (10). Sed pii male agunt, qui cum impiis, quorum plerumque summa est calliditas, con-

tendere conantur, quam ob rem Moyses etiam Aegyptios illos sophistas sibi concertatores dari recusavit (11 et 12); id enim soli pio disserendi facultate bene exercitato licet, velut Aaroni (13), alioquin pius rectius agit, si tacet, et ut Iacobus loco cedit, donec adversarii rabies remiserit (14). Nam etsi pius, Abel, ab impio, Caino, interfici se patitur, vivere tamen in deo, et interfector Cain non alterum, sed ipsum se interemisse putandus est, quia a Deo propter male factum punitur (15. 16). Cave putes, te deum celare posse, quae scis vel habes, ut Cainus; deus enim cuncta videt (17. 18); servare contra decet, quae exercitatione acquisivimus, id quod perfectus quisque facit; quam ob rem recte Cainus quoque fecisset, si Abelum l. virtutem custodivisset (19). Perperam igitur potiori Abelo Cainus deterior insidias struxit; vano quoque labore id quilibet eius similis facit (20); nam deus male facta in benedictionem convertit (21). Animâ, quae pars est numinis supremi (22 -- 24), clamante ad deum, elevatio mentis ad cognoscendas et edicendas res divinas innuitur (25): sed si deum Caino, antequam caedem patravit, maledixisse audimus, docemur, cogitationes etiam mentis pravas poenae reas esse (26). Cohibenda igitur sunt ora sensuum, ne ut terra sanguinem Abeli suscipiant (27); id qui non facit terrae, ut Cainus, operatur, i. e. solarum rerum terrestrium curam habet (28 -- 31), quae poenitentiam et timorem poenae efficit. Contra qui aeterna amat, ut Abel, spem animo concipit, quae est alimentum animarum virtutis amantium (32), qua e terra in coelum tollimur, ut gaudio aeterno replemur (33 -- 38). Qui vero malefactorum sibi conscius est, precetur deum, ut puniatur; melius enim hoc, quam malae conscientiae cruciatibus obnoxium esse (39. 40); eiusmodi enim homini infelicissimo nusquam locus patet, quo requiescere possit, cum neque ex hac terra aliorsum nos conferre, neque deum fugere (41 et 42), neque summum iudicem irridere liceat; omnes enim, etiam soluti corpore terreno, in dei conspectum veniemus (43 -- 45). Quam ob rem septem irrationalia (46), quae insunt animae nostrae, ratione duce pura servemus (47), et potius, quando nos excitant ad mala facienda, exscindamus, ne nos a recta quae ducit ad virtutem via deducant (48).

---

191 §. 1. „Καὶ εἶπε Κάϊν πρὸς Ἄβελ τὸν ἀδελφὸν 15
M. αὐτοῦ, διέλθωμεν ἐπὶ τὸ πεδίον· καὶ ἐγένετο ἐν τῷ P

εἶναι αὐτοὺς ἐν τῷ πεδίῳ, ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτόν." *) Ὁ βούλεται Κάϊν τοιοῦτόν ἐστιν, ἐκ προκλήσεως τὸν Ἄβελ εἰς συζήτησιν ἀγαγὼν, εἰκόσι καὶ πιθανοῖς σοφίσμασιν ἑλεῖν ἀνὰ κράτος. Τὸ γὰρ πεδίον εἰς ὃ προτρέπεται παραγενέσθαι, σημεῖον ἁμίλλης καὶ διαμάχης εἶναί φαμεν, ἀπὸ τῶν προφανῶν τεκμαιρόμενοι περὶ τῶν ἀδήλων. Ὁρῶμεν γὰρ τοὺς πλείστους τῶν ἀγώνων κατά τε πόλεμον καὶ κατὰ εἰρήνην ἐν πεδίοις συνισταμένους. Ἐν εἰρήνῃ μὲν οὖν, ὅσοι τοὺς γυμνικοὺς ἄθλους διαθλοῦσι, στάδια καὶ λεωφόρα πεδία μεταδιώκουσι· κατὰ δὲ τὸν πόλεμον τὰς πεζομαχίας καὶ ἱππομαχίας οὐκ ἐν γεωλόφοις ἔθος ἐστὶ ποιεῖσθαι. Πλείους γὰρ ἐκ τῆς ἀνεπιτηδειότητος τῶν χωρῶν αἱ βλάβαι, ὧν ἀντεπιφέρουσιν ἀλλήλοις οἱ ἐχθροὶ, γένοιντ' ἄν.

§. 2. Σημεῖον δὲ μέγιστον, ὁ ἀσκητὴς τῆς ἐπιστήμης τὴν ἐναντίαν διάθεσιν πολεμῶν ἀμαθίαν, ὅταν τὰς ἐν ψυχῇ δυνάμεις ἀλόγους τρόπον τινὰ ποιμαίνῃ νουθετῶν καὶ σωφρονίζων, ἐν πεδίῳ θεωρεῖται. "Ἀποστείλας γὰρ Ἰακὼβ ἐκάλεσε Λείαν καὶ Ῥαχὴλ εἰς τὸ πεδίον, οὗ τὰ ποίμνια," **) παριστὰς
192 ἐναργῶς, ὅτι φιλονεικίας σημεῖον τὸ πεδίον ἐστί.
M. Καλεῖ δὲ αὐτὰς, "Ὁρῶ τὸ πρόσωπον τοῦ πατρὸς ὑμῶν," ἔφη; "ὅτι οὐκ ἔστι πρὸς ἐμὲ ὡς χθὲς, καὶ ὡς τρίτην ἡμέραν. ***) Ὁ δὲ θεὸς τοῦ πατρός μου ἦν μετ' ἐμοῦ." Διὰ τοῦτο γὰρ εἴποιμ' ἂν, ὁ Λάβαν οὐκ ἔστι πρὸς σοῦ, ὅτι μετὰ σοῦ ὁ θεὸς. Ἐν ᾗ μὲν γὰρ ψυχῇ τὸ ἐκτὸς αἰσθητὸν ὡς μέγιστον ἀγαθὸν τετίμηται, ἐν ταύτῃ λόγος ἀστεῖος οὐχ εὑρίσκεται· ᾗ δ' ἐμπεριπατεῖ ὁ θεὸς, τὸ ἐκτὸς αἰσθητὸν ὡς μέγιστον ἀγαθὸν οὐχ ὑπείληπται, καθ' ὃ νενόη-

---

*) Gen. 4, 8. — **) Gen. 31, 4. — ***) Gen. 31, 5.

ται καὶ προςηγόρευται Λάβαν. Καὶ ὅσοι δ' ἐν μέρει λόγου τοῦ προκόπτοντος κατὰ τὸν πατέρα κοσμοῦνται, τὰς ψυχῆς ἀλόγους φορὰς μεταδιδάσκουσιν, ἐκλεξάμενοι ἐπιτήδειον τόπον τὸ πεδίον. Λέγεται γὰρ τῷ Ἰωσὴφ, „Οὐχ οἱ ἀδελφοί σου ποιμαίνουσιν ἐν Συχέμ; Δεῦρο ἀποστείλω σε πρὸς αὐτούς. Ὁ δὲ εἶπεν, ἰδοὺ ἐγώ. Εἶπε δὲ αὐτῷ, πορευθεὶς ἴδε, εἰ ὑγιαίνουσιν οἱ ἀδελφοί σου καὶ τὰ πρόβατα, καὶ ἀνάγγειλόν μοι. Καὶ ἀπέστειλεν αὐτὸν ἐκ τῆς κοιλάδος τῆς Χεβρὼν, καὶ ἦλθεν εἰς Συχέμ· καὶ εὗρεν αὐτὸν ἄνθρωπος πλανώμενον ἐν τῷ πεδίῳ. Ἠρώτησε δὲ αὐτὸν ὁ ἄνθρωπος, τί ζητεῖς; Ὁ δὲ εἶπε, τοὺς ἀδελφούς μου ζητῶ· ἀνάγγειλόν μοι ποῦ βόσκουσιν. Εἶπε δὲ αὐτῷ ὁ ἄνθρωπος, ἀπήρκασιν ἐντεῦθεν· ἤκουσα γὰρ αὐτῶν λεγόντων, πορευθῶμεν εἰς Δωθαείμ." *)

§. 3. Ὅτι μὲν οὖν ἐν πεδίῳ τῶν ἐν αὐτοῖς ἀλόγων δυνάμεων ποιοῦνται τὴν ἐπιστασίαν, δῆλόν ἐστιν ἐκ τῶν εἰρημένων. Ὁ δὲ Ἰωσὴφ πέμπεται πρὸς αὐτοὺς, ἐπεὶ τὴν τοῦ πατρὸς ἐπιστήμην αὐστηροτέραν οὖσαν ἀδυνατεῖ φέρειν, ἵνα μάθῃ παρὰ τιθασσοτέροις ὑφηγηταῖς τὰ πρακτέα καὶ συνοίσοντα. Κέχρηται γὰρ δόγματι ἐκ διαφερόντων συνυφασμένῳ, πάνυ ποικίλῳ καὶ πολυπλόκῳ· παρ' ὃ καὶ „χιτῶνα κατεσκευάσθαι ποικίλον" **) φησὶν ὁ νομοθέτης αὐτῷ δηλονότι λαβυρινθώδους καὶ δυςεκλύτου δόξης ἐστὶν εἰςηγητής. Πρὸς γὰρ πολιτείαν μᾶλλον ἢ πρὸς ἀλήθειαν φιλοσοφῶν, τὰ τρία γένη τῶν ἀγαθῶν, τά τε ἐκτὸς, καὶ περὶ σῶμα, καὶ ψυχὴν, ὅλαις φύσεσιν ἀλλήλων διηρτημένα, εἰς τὸ αὐτὸ ἄγει καὶ συνείρει, — χρεῖον ἕκαστον ἑκάστου καὶ πάντα πάντων ἀποφαίνειν ἀξιῶν, — καὶ τὸ ἐξ ἀθρόων συντεθὲν ἄρτιον καὶ πλῆ-

*) Gen. 37, 12 sq. — **) Gen. 37, 3.

ρες ὄντως ἀγαθὸν, τὰ δὲ, ἐξ ὧν τοῦτο ἐπάγη, μέρη
193 μὲν ἢ στοιχεῖα ἀγαθῶν, ἀγαθὰ δὲ οὐκ εἶναι τέλεια.
M Καθάπερ γὰρ μήτε πῦρ, μήτε γῆν, μήτε τι τῶν τεττάρων, ἐξ ὧν ἐδημιουργήθη τὸ πᾶν, κόσμον εἶναι, τὴν δὲ τῶν στοιχείων εἰς ταὐτὸν σύνοδόν τε καὶ κρᾶσιν· τὸν αὐτὸν τρόπον καὶ τὸ εὔδαιμον, μήτε ἐν τοῖς ἐκτὸς ἰδίᾳ, μήτε ἐν τοῖς περὶ σῶμα, μήτε ἐν τοῖς περὶ ψυχὴν καθ᾽ αὑτὰ ἐξετάζεσθαι, — τῶν γὰρ εἰρημένων ἕκαστον μερῶν τινα καὶ στοιχείων λόγον ἔχει, — ἀλλὰ κατὰ τὸ ἐκ πάντων ἄθροισμα.

§. 4. Ταύτην οὖν τὴν δόξαν πέμπεται μεταδιδαχθησόμενος πρὸς ἄνδρας μόνον τὸ καλὸν ἀγαθὸν νομίζοντας, ὃ ψυχῆς ὡς ψυχῆς ἐστιν ἴδιον· τὰ δ᾽ ἐκτὸς περὶ σῶμα λεγόμενα, πλεονεκτήματα μόνον, οὐ πρὸς ἀλήθειαν ὄντα ἀγαθὰ, πεπιστευκότας.
„Ἰδοὺ γὰρ,“ φησὶν, „οἱ ἀδελφοί σου ποιμαίνουσι,“ 157
καὶ ἄρχουσι παντὸς ἀλόγου μέρους τῶν ἐν αὐτοῖς, P.
„ἐν Συχέμ·“ **) ὦμος δὲ ἑρμηνεύεται, τλητικοῦ σημεῖον πόνου. Βαστάζουσι γὰρ ἄχθος μέγιστον οἱ φιλάρετοι, τὴν πρὸς σῶμα καὶ τὴν σώματος ἡδονὴν, καὶ πάλιν αὖ τὴν πρὸς τὰ ἐκτὸς καὶ τὰς ἀπ᾽ αὐτῶν γινομένας τέρψεις ἀντιπαράταξιν. „Δεῦρο οὖν, ἀποστείλω σε πρὸς αὐτοὺς,“ **) τουτέστι, μετακλήθητι καὶ πρόσελθε τῇ διανοίᾳ λαβὼν ὁρμὴν ἑκούσιον εἰς τὸ τὰ ἀμείνω μαθεῖν. Ἀλλ᾽ ἄχρι γε τοῦ παρόντος ἐπιμορφάζεις ὡς παιδείαν δεξάμενος τὴν ἀληθῆ. Μήπω γὰρ παρὰ σαυτῷ τοῦτο ὡμολογηκὼς ἕτοιμος εἶναι λέγεις ἀναδιδάσκεσθαι, ὅταν φῇς, „ἰδοὺ ἐγώ·“ ἐξ οὗ μοι δοκεῖς εἰκαιότητα καὶ εὐχέρειαν ἀπελέγχειν σεαυτοῦ μᾶλλον, ἢ πρὸς τὸ μαθεῖν ἑτοιμότητα μηνύειν. Τεκμήριον δὲ, „Εὑρήσει σε μικρὸν ὕστερον ὁ ἀληθὴς ἄνθρωπος πλανώμενον ἐν τῇ ὁδῷ,“ ***) οὐκ ἂν πλανηθέντα, εἰ ἀπὸ γνώ-

---

*) Gen. 37, 12. — **) Gen. 37, 13. — ***) Gen. 37, 15.

μης ὑγιοῦς ἐπὶ τὴν ἄσκησιν ἦλθες. Καὶ μὴν ὅ γε προτρεπτικὸς λόγος τοῦ πατρὸς ἀνάγκην ἐπιτίθησιν οὐδεμίαν, ἵνα ἐθελουργὸς καὶ αὐτοκέλευστος ἐπιτηδεύῃς τὰ βελτίω. Φησὶ γὰρ, "Πορευθεὶς ἴδε," θέασαι, κατανόησον, καὶ πάνυ ἀκριβῶς περίσκεψαι τὸ πρᾶγμα. Εἰδέναι γάρ σε δεῖ περὶ ὃ μέλλεις πονεῖσθαι πρότερον, εἶτ' αὖθις ἐπὶ τὴν ἐπιμέλειαν χωρεῖν αὐτοῦ. Ὅταν μέντοι γε διακύψῃς καὶ περιαγαγὼν ὄμμα ὅλον δι' ὅλων καταθεάσῃ, προσεξέτασον καὶ τοὺς ἐπιθεμένους ἤδη, καὶ ἀσκητὰς αὐτοῦ γεγονότας, εἰ τοῦτο δρῶντες "ὑγιαίνουσιν," ἀλλὰ μὴ μεμήνασι, καθάπερ οἱ φιλήδονοι διασύροντες καὶ ἐπιχλευάζοντες νομίζουσι. Μήτε δὲ τὴν θέαν τοῦ πράγματος, μήτε τὴν περὶ τοῦ ὑγιαίνειν τοὺς ἀσκητὰς διάγνωσιν βεβαιώσῃ παρὰ σεαυτῷ, πρὶν "ἀναγγεῖλαι καὶ ἀνενεγκεῖν τῷ πατρί." Γνῶμαι γὰρ αἱ μὲν τῶν ἄρτι μανθάνειν ἀρχομένων ἄστατοι καὶ ἀνίδρυτοι· πάγιοι
194 δὲ τῶν προκεκοφότων, ὑφ' ὧν τὸ ἀκλινὲς ἐκείνους
M. λαμβάνειν ἀναγκαῖον.

§. 5. Τοῦτον, ὦ διάνοια, τὸν τρόπον ἐὰν ἐρευνᾷς τοὺς ἱεροφαντηθέντας λογισμοὺς μὲν θεοῦ, νόμους δὲ ἀνθρώπων θεοφιλῶν, οὐδὲν ταπεινὸν οὐδ' ἀνάξιον τοῦ μεγέθους αὐτῶν ἀναγκασθήσῃ παραδέχεσθαι. Αὐτὸ γὰρ τοῦτο περὶ οὗ νῦν ὁ λόγος ἐστὶ, πῶς ἄν τις τῶν εὖ φρονούντων παραδέξαιτο; Ἆρα τοσαύτην σπάνιν οἰκετῶν ἢ ὑπηρετῶν εἰκὸς εἶναι τῷ βασιλέως ἔχοντι περιουσίαν Ἰακὼβ, ὡς υἱὸν ἐπὶ τὴν ξένην ἐκπέμπειν, διαγγελοῦντα περὶ τῶν ἄλλων παίδων, εἰ ὑγιαίνουσι καὶ προσέτι τῶν θρεμμάτων; Ὁ πάππος αὐτοῦ χωρὶς τοῦ πλήθους τῶν αἰχμαλώτων, οὓς, ἐννέα βασιλεῖς καθελὼν, ἀπήγαγεν, ὑπὲρ τριακοσίους ἔσχεν οἰκότριβας· μεμείωται δὲ τῆς οἰκίας οὐδὲν, 158
ἀλλὰ χρόνου προϊόντος πάντα διὰ πάντων ἔλαβεν αὔ- P.
ξησιν. Οὐκ ἂν οὖν ἀφθόνου θεραπείας ὑπαρχούσης υἱὸν ἠξίου πέμπειν, οὗ μάλιστα ἐκήδετο, ἐπὶ πρᾶξιν, ἣν καὶ τῶν εὐτελεστάτων ἄν τις ῥαδίως κατώρθωσεν;

§. 6. Ἀλλ᾽ ὁρᾷς, ὅτι καὶ τὸ χωρίον ὅθεν αὐτὸν ἐκπέμπει περιττῶς ἀναγράφει, μόνον οὐκ ἐναργῶς προτρέπων ἀφίστασθαι τοῦ ῥητοῦ. "Ἐκ γὰρ τῆς κοιλάδος τῆς Χεβρὼν" *) συζυγὴ δὲ καὶ συνεταιρὶς καλεῖται Χεβρὼν, συμβολικῶς ἡμῶν τὸ σῶμα, ὅτι συνέζευκται, καὶ ὥςπερ ἑταιρίαν καὶ φιλίαν πρὸς ψυχὴν τέθειται. Κοιλάδας δὲ ἔχει τὰ αἰσθητήρια, μεγάλας δεξαμενὰς ἁπάντων ὅσα ἐκτὸς αἰσθητά. ἃ τὰς παμπληθεῖς ποιότητας ἐπαντλοῦντα, καὶ διὰ τῶν δεξαμενῶν ἐπεισχέοντα τῇ διανοίᾳ, κατακλύζει καὶ βύθιον αὐτὴν ἀπεργάζεται. Διὰ τοῦτο τῷ νόμῳ τῆς λέπρας, ὅταν "ἐν οἰκίᾳ κοιλάδες χλωρίζουσαι ἢ πυῤῥίζουσαι φανῶσι," διείρηται "τοὺς λίθους ἐν οἷς γεγόνασιν ἐξελόντας, ἑτέρους ἀντιτιθέναι," **) τουτέστιν, ὅταν διαφέρουσαι ποιότητες, ἃς ἐδημιούργησαν ἡδοναὶ καὶ ἐπιθυμίαι καὶ τὰ ἀδελφὰ τούτων πάθη, βαρύνασαι καὶ πιέσασαι τὴν ὅλην ψυχὴν, κοιλοτέραν καὶ ταπεινοτέραν αὐτὴν ἑαυτῆς ἐργάσωνται, τοὺς τῆς ἀσθενείας αἰτίους λόγους ἀνελεῖν, ὑγιεινοὺς δὲ δι᾽ ἀγωγῆς νομίμου, ἢ καὶ παιδεύσεως ὀρθῆς ἀντεισαγαγεῖν.

§. 7. Τὸν Ἰωσὴφ οὖν ὅλον εἰς τὰς τοῦ σώματος καὶ τῶν αἰσθήσεων κοιλότητας εἰςδεδυκότα ὁρῶν, προκαλεῖται τῶν φωλεῶν ἔξω προελθόντα, ἐλευθέρου σπᾶσαι τοῦ καρτερίας πνεύματος, φοιτήσαντα πρὸς αὐτοὺς πάλαι μὲν ἀσκητὰς νυνὶ δὲ διδασκάλους αὐτῆς. Ὁ δὲ προεληλυθέναι δόξας, πλανώμενος εὑρίσκεται. "Εὗρε γὰρ," φησὶν, "ἄνθρωπος αὐτὸν
195 πλανώμενον ἐν τῷ πεδίῳ," ***) δηλῶν ὅτι οὐχ
M ὁ πόνος καθ᾽ αὑτὸν, ἀλλ᾽ ὁ μετὰ τέχνης ἀγα-
θόν. Ὥςπερ γὰρ οὔτε μουσικὴν ἀμούσως, οὔτε γραμματικὴν ἀγραμμάτως, οὐδὲ, συνόλως φράσαι, τέχνην ἀτέχνως ἢ κακοτέχνως, ἀλλὰ τεχνικῶς ἑκάστην

---

*) Gen. 37, 14. — **) Lev. 14, 36 sq. — ***) Gen. 37, 15.

ἐπιτηδεύειν προσῆκεν· οὕτως οὐδὲ φρόνησιν πανούργως, οὐδὲ σωφροσύνην φειδωλῶς καὶ ἀνελευθέρως, οὐδὲ θρασέως ἀνδρίαν, οὐδὲ δεισιδαιμόνως εὐσέβειαν, οὐδ᾽ ἄλλην τινὰ κατ᾽ ἀρετὴν ἐπιστήμην ἀνεπιστημόνως. Ἀνοδία γὰρ ὁμολογουμένως πάντα ταῦτα· παρ᾽ ὃ καὶ νόμος κεῖται "δικαίως τὸ δίκαιον διώκειν," *) ἵνα δικαιοσύνην καὶ πᾶσαν ἀρετὴν τοῖς συγγενέσιν ἔργοις αὐτῆς, ἀλλὰ μὴ τοῖς ἐναντίοις μετερχώμεθα. Ἐὰν οὖν τινα θεάσῃ σῖτα καὶ ποτὰ μὴ ἐν καιρῷ
προσιέμενον, ἢ λουτρὰ καὶ ἀλείμματα παραιτούμε- 159
νον, ἢ τῶν περὶ σῶμα σκεπασμάτων ἀμελοῦντα, ἢ P.
χαμευνίαις καὶ δυσαυλίαις χρώμενον, εἶτ᾽ ἐκ τούτων ἐπιμορφάζοντα ἐγκράτειαν, οἶκτον λαβὼν τῆς περὶ αὐτὸν πλάνης, τὴν ἀληθῆ τῆς ἐγκρατείας ὁδὸν δεῖξον. Ἃ γὰρ ἐπετήδευσεν, ἀνήνυτοι καὶ ἄτρυτοι πόνοι, λιμῷ καὶ ταῖς ἄλλαις κακώσεσι ψυχὴν καὶ σῶμα ἐκτραχηλίζοντες. Μηδ᾽ εἴ τις περιῤῥαντηρίοις ἢ καθαρσίοις χρώμενος, διάνοιαν μὲν ῥυπαίνει τὴν ἑαυτοῦ, τὸ δὲ σῶμα φαιδρύνει· μηδ᾽ εἰ πάλιν ὑπὸ περιουσίας νεὼν ἱδρύεται λαμπροτάταις χορηγίαις καὶ δαπάναις χρώμενος, ἢ ἑκατόμβας ἀνάγει καὶ βουθυτῶν οὐ παύεται, ἢ πολυτελέσιν ἀναθήμασι κοσμεῖ τὸ ἱερὸν, ἀφθόνους μὲν ὕλας, τέχνας δὲ παντὸς ἀργύρου καὶ χρυσοῦ τιμιωτέρας εἰςάγων, μετ᾽ εὐσεβῶν ἀναγεγράφθω. Πεπλάνηται γὰρ καὶ οὗτος τῆς πρὸς εὐσέβειαν ὁδοῦ, θρησκείαν ἀντὶ ὁσιότητος ἡγούμενος, καὶ δῶρα τῷ ἀδεκάστῳ διδοὺς, οὐδέ ποτε ληψομένῳ τὰ τοιαῦτα, καὶ κολακεύων τὸν ἀκολάκευτον, ὃς γνησίους μὲν θεραπείας ἀσπάζεται, — γνήσιοι δὲ εἰσὶν αἱ ψυχῆς ψιλὴν καὶ μόνην θυσίαν φερούσης ἀλήθειαν, — τὰς δὲ νόθους ἀποστρέφεται· νόθοι δὲ ὅσαι διὰ τῶν ἐκτὸς ἀφθονιῶν ἐπιδείξεις.

§. 8. Τοῦ δὲ "εὑρόντος ἐν τῷ πεδίῳ πλανώμε-

*) Deut. 16, 20.

νον αὐτὸν ἀνθρώπου" *) τὸ κύριον ὄνομα οὔ φασί
τινες δεδηλῶσθαι, καὶ αὐτοὶ τρόπον τινὰ πεπλανη-
μένοι, διὰ τὸ μὴ δύνασθαι τὴν ὀρθὴν ὁδὸν τῶν
πραγμάτων ἐναργῶς ὁρᾶν. Εἰ γὰρ μὴ τὸ ψυχῆς
ὄμμα ἐπεπήρωντο, ἔγνωσαν ἄν, ὅτι τοῦ πρὸς ἀλή-
θειαν ἀνθρώπου τὸ ἰδιαίτατον καὶ εὐθυβολώτατον
ὄνομά ἐστιν αὐτὸ τοῦτο ἄνθρωπος, ἠρθρωμένης καὶ
λογικῆς διανοίας οἰκειοτάτη πρόσρησις. Οὗτος ὁ ἄν-
196 θρωπος ἐν ἑκάστου τῇ ψυχῇ κατοικῶν, τοτὲ μὲν
M. ἄρχων καὶ βασιλεὺς εὑρίσκεται, τοτὲ δὲ δικαστὴς
καὶ βραβευτὴς τῶν κατὰ τὸν βίον ἀγώνων. Ἔστι
δὲ ὅτε μάρτυρος καὶ κατηγόρου λαβὼν τάξιν, ἀφα-
νῶς ἡμᾶς ἔνδοθεν ἐλέγχει, μηδὲ διᾶραι τὸ στόμα
ἐῶν, ἀναλαμβανόμενος δὲ καὶ ἐπιστομίζων ταῖς τοῦ
συνειδότος ἡνίαις τὸν αὐθάδη καὶ μετὰ ἀφηνιασμοῦ
δρόμον γλώττης ἐπέσχεν. Οὗτος ὁ ἔλεγχος ἐπύθετο
τῆς ψυχῆς, ἡνίκα τὴν πλάνην εἶδεν αὐτῆς, "Τί ζη-
τεῖς;" **) Ἆρά γε φρόνησιν; Τί οὖν ἐπὶ πανουρ-
γίας βαίνεις; Ἀλλὰ σωφροσύνην; Ἀλλ' ἐπὶ φειδω-
λίαν ἡ τρίβος ἄγει. Ἀλλὰ ἀνδρίαν; Θρασύτης προσ-
έρχεται ταύτῃ. Ἀλλ' εὐσέβειαν μετέρχῃ; Δεισιδαι-
μονίας ἡ ὁδός. Ἐὰν δὲ φάσκῃ ζητεῖν τοὺς ἐπιστή-
μης λόγους, καὶ παθεῖν ὡς τοὺς ἐγγυτάτω γένους
ἀδελφούς, μὴ πάνυ πιστεύωμεν αὐτῇ· οὐ γὰρ ἀνεπυν-
θάνετο ποῦ βόσκουσιν, ἀλλὰ ποῦ ποιμαίνουσιν. Οἱ 160
μὲν γὰρ βόσκοντες, τροφάς, τὰ αἰσθητὰ πάντα, P.
παρέχουσι τῷ τῶν αἰσθήσεων ἀλόγῳ καὶ ἀπλήστῳ
θρέμματι, δι' ἃς ἀκράτορες ἑαυτῶν γενόμενοι καὶ
κακοδαιμονοῦμεν. Οἱ δὲ ποιμαίνοντες, ἀρχόντων
καὶ ἡγεμόνων ἔχοντες δύναμιν, τὰ ἐξηγριωμένα ἡμε-
ροῦσι, στέλλοντες τὸ τῶν ἐπιθυμιῶν μέγεθος. Εἴπερ
οὖν ἐζήτει τοὺς ἀρετῆς πρὸς ἀλήθειαν ἀσκητάς,
ἐσκέπτετ' ἂν αὐτοὺς ἐν βασιλεῦσιν, οὐκ ἐν οἰνοχόοις,
ἢ σιτοποιοῖς, ἢ μαγείροις. Οὗτοι μὲν γὰρ τὰ πρὸς

---

*) Gen. 37, 15. — **) Ibid.

τὰς ἡδονὰς εὐτρεπίζουσιν, ἐκεῖνοι δὲ ἡδονῶν ἄρχουσι.

§. 9. Δι' ὃ καὶ ἀποκρίνεται ὀρθῶς ὁ τὴν ἀπάτην ἰδὼν ἄνθρωπος, "Ἀπήρκασιν ἐντεῦθεν." *) Δείκνυσι δὲ τὸν σωματικὸν ὄγκον, δηλῶν ὅτι πάντες οἷς ὑπὲρ κτήσεως ἀρετῆς πόνος διαθλεῖται, τὸν περίγειον καταλελοιπότες χῶρον, μετεωροπολεῖν ἐγνώκασιν, οὐδεμίαν τῶν σωματικῶν ἐφελκόμενοι κηρῶν. Καὶ γὰρ λεγόντων ἀκηκοέναι φησὶν αὐτῶν, "Εἰς Δωθαεὶμ πορευθῶμεν" **) — ἑρμηνεύεται δὲ ἔκλειψις ἱκανή — παριστάντων, ὅτι οὐ μέσως, ἀλλ' ἄκρως ἀπόλειψιν καὶ ἔκλειψιν τῶν ἃ μὴ πρὸς ἀρετὴν συνεργεῖ μεμελετήκασι, καθὼς καὶ "Σάῤῥα ἔτι γίγνεσθαι τὰ γυναικεῖα ἐξέλιπε," ***) θήλεα δὲ φύσει τὰ πάθη, ὧν ἔκλειψιν ἐπιτηδευτέον, παρὰ τοὺς ἄῤῥενας τῶν εὐπαθειῶν χαρακτῆρας. Οὐκοῦν "ἐν πεδίῳ," τουτέστιν ἐν ἁμίλλῃ λόγων, εὑρίσκεται καὶ ὁ ποικίλου δόγματος εἰσηγητὴς, πρὸς πολιτείας μᾶλλον ἢ πρὸς ἀληθείας τύπον χρησίμου, πλανώμενος Ἰωσήφ. Εἰσὶ δέ τινες τῶν ἀνταγωνιστῶν, οἳ διὰ σώματος εὐεξίαν, ἀπειπόντων τῶν ἀντιπάλων, ἐστεφανώθησαν ἀμαχεὶ, μηδ' αὐτὸ μόνον κονισάμενοι, ἀσυγκρίτου
197 ῥώμης ἀράμενοι τὰ πρωτεῖα. Τοιαύτῃ δυνάμει
M χρησάμενος περὶ τὸ θειότατον τῶν ἐν ἡμῖν, τὴν
διάνοιαν, Ἰσαὰκ "ἐξέρχεται μὲν εἰς τὸ πεδίον," †) ἁμιλλησόμενος δὲ οὐδενὶ, πάντων κατεπτηχότων τῶν ἀγωνιστῶν τὸ μεγαλεῖον καὶ ὑπερβάλλον ἐν ἅπασι τῆς φύσεως αὐτοῦ· μόνον δὲ ἰδιάσαι βουλόμενος καὶ ἰδιολογήσασθαι τῷ συνοδοιπόρῳ καὶ ἡγεμόνι τῆς τε ὁδοῦ καὶ τῆς ψυχῆς, θεῷ. Τεκμήριον δὲ ἐναργέστατον τοῦ μηδένα προσομιλοῦντα τῷ Ἰσαὰκ θνητὸν εἶναι. Ῥεβέκκα δὴ ὑπομονὴ, πεύσεται τοῦ παιδὸς, ἕνα ὁρῶσα καὶ ἑνὸς μόνου λαμβάνουσα φαντασίαν,

---

*) Gen. 37, 17. — **) Ibid. — ***) Gen. 18, 11.
†) Gen. 24, 63.

„Τίς ὁ ἄνθρωπος οὗτος ὁ πορευόμενος εἰς συνάντησιν ἡμῖν;" *) Ἡ γὰρ ἐπιμένουσα τοῖς καλοῖς ψυχὴ ἱκανὴ μέν ἐστι τὴν αὐτομαθῆ σοφίαν καταλαμβάνειν, ἐπίκλησιν Ἰσαάκ· οὔπω δὲ δυνατὴ τὸν τῆς σοφίας ἡγεμόνα θεὸν ἰδεῖν. Παρ' ὃ καὶ ὁ παῖς ἐπισφραγιζόμενος τὸ μὴ δύνασθαι καταλαβεῖν τὸν ἀειδῆ καὶ
προσομιλοῦντα ἀοράτως, φησὶν, „Οὗτος ὁ κύριός 161
μου," **) τὴν δεῖξιν φέρων ἐπὶ τὸν Ἰσαὰκ μόνον. P.
Οὐ γὰρ εἰκὸς προφανέντων δυοῖν ἕνα δεικνύναι, ἀλλὰ τὸν ἄδεικτον οὐκ εἶδε, πᾶσι τοῖς μέσοις ἀόρατον ὄντα. —

§. 10. Ὡς μὲν τοίνυν τὸ πεδίον εἰς ὃ προκαλεῖται τὸν Ἄβελ ὁ Κάϊν ἐλθεῖν, σύμβολον ἁμίλλης καὶ διαμάχης ἐστὶν, ἱκανῶς δεδηλῶσθαι νομίζω. Διαπορητέον δὲ ἑξῆς, περὶ τίνων ποιοῦνται τὰς ζητήσεις προελθόντες. Ἢ δῆλον, ὅτι περὶ ἐναντίων καὶ μαχομένων δοξῶν. Ὁ μὲν γὰρ Ἄβελ ἀναφέρων ἐπὶ θεὸν πάντα, φιλόθεον δόγμα· ὁ δὲ Κάϊν ἐφ' ἑαυτὸν, κτῆσις γὰρ ἑρμηνεύεται, φίλαυτον. Φίλαυτοι δὲ, ὅταν τοῖς ἀρετὴν τιμῶσιν ἐπαποδυσάμενοι κονίσωνται, καὶ παγκρατιάζοντες οὐ παύονται, πρὶν ἢ ἀπειπεῖν βιάσασθαι, ἢ παντελῶς διαφθεῖραι. Πάντα γὰρ, τὸ τοῦ λόγου δὴ τοῦτο, κινοῦσι λίθον, φάσκοντες, οὐκ οἰκία ψυχῆς τὸ σῶμα; Διὰ τί οὖν οἰκίας, ὡς μὴ γένοιτο ἐρείπιος, οὐκ ἐπιμελησόμεθα; Οὐκ ὀφθαλμὸς καὶ ὦτα καὶ ὁ τῶν ἄλλων χορὸς αἰσθήσεων ψυχῆς ὥςπερ τινὲς δορυφόροι καὶ φίλοι; Συμμάχους οὖν καὶ φίλους οὐκ ἐν ἴσῳ τιμητέον ἑαυτοῖς; Ἡδονὰς δὲ καὶ ἀπολαύσεις καὶ τὰς παρὰ
198 πάντα τὸν βίον τέρψεις, τοῖς τεθνεῶσιν ἢ τοῖς μη-
M δὲ γενομένοις τὸ παράπαν, ἀλλ' οὐχὶ τοῖς ζῶσιν
ἡ φύσις ἐδημιούργει; Πλοῦτον δὲ καὶ δόξαν, καὶ τιμὰς καὶ ἀρχὰς, καὶ τὰ ἄλλα ὅσα τοιαῦτα, τί παθόντες οὐποριούμεθα, ἐξ ὧν οὐ μόνον τὸ ἀσφαλῶς,

*) Gen. 24, 65. — **) Ibid.

ἀλλὰ καὶ εὐδαιμόνως ζῆν περιγίνεται; Μάρτυς δὲ ὁ βίος τούτων. Οἱ μὲν γὰρ λεγόμενοι φιλάρετοι ἄδοξοι σχεδὸν ἅπαντες, εὐκαταφρόνητοι, ταπεινοὶ, τῶν ἀναγκαίων ἐνδεεῖς, ὑπηκόων μᾶλλον δὲ καὶ δούλων ἀτιμότεροι, ῥυπῶντες, ὠχροὶ κατεσκελετευμένοι, λιμὸν ὑπ᾽ ἀσιτίας ἐμβλέποντες, νοσερώτατοι, μελετῶντες ἀποθνήσκειν. Οἱ δὲ αὐτῶν ἐπιμελόμενοι, ἔνδοξοι, πλούσιοι, ἡγεμόνες, ἐπαινούμενοι, τιμώμενοι· πάλιν ὑγιεινοὶ, πίονες, ἐῤῥωμένοι, ἁβροδίαιτοι, θρυπτόμενοι, πόνον οὐκ εἰδότες, ἡδοναῖς συζῶντες δια πασῶν τῶν αἰσθήσεων ἐπὶ τὴν πανδεχῆ ψυχὴν τα ἡδέα φερούσαις.

§. 11. Τοιοῦτόν τινα δόλιχον ἀπομηκύναντες λόγῳ, νικᾶν τοὺς οὐκ εἰωθότας σοφιστεύειν ἔδοξαν. Αἰτία δὲ τῆς νίκης οὐχ ἡ τῶν περιγεγενημένων ἰσχὺς, ἀλλ᾽ ἡ περὶ ταῦτα τῶν ἀντιπάλων ἀσθένεια. Τῶν γὰρ ἐπιτηδευόντων ἀρετὴν οἱ μὲν ἐν ψυχῇ μόνῃ τὸ καλὸν ἐθησαυρίσαντο, πράξεων ἐπαινετῶν ἀσκηταὶ γενόμενοι, τερθρείας λόγων ἀλλ᾽ οὐδ᾽ ὄναρ ἐπῃσθημένοι. Οἷς δὲ ἀμφότερα ἐξεγένετο, τὴν μὲν διά- 162
νοιαν εὐβουλίᾳ καὶ ἀγαθοῖς ἔργοις, τοὺς δὲ λόγους P
ταῖς περὶ αὐτοὺς τέχναις μάλιστα ὀχυρώσασθαι, τούτοις μὲν οὖν πρὸς τὰς ἐριστικὰς ἐνίων ἁμίλλας ἀπαντᾶν ἐμπρεπὲς, οἷς τοὺς ἐναντίους ἀμύνονται, πεπορισμένοις ἐξ ἑτοίμου. Τοῖς δὲ προτέροις οὐδεμία ἀσφάλεια. Γυμνοὶ γὰρ πρὸς ὡπλισμένους τίνες ἂν ἰσοκρατῶς ἀπομάχεσθαι δυνηθεῖεν, ὁπότε καὶ παρεσκευασμένοις ἀγὼν ἄνισος; Ὁ τοίνυν Ἄβελ τέχνας μὲν λόγων οὐκ ἔμαθε, διανοίᾳ δὲ μόνῃ τὸ καλὸν οἶδεν· οὗ χάριν τὴν εἰς τὸ πεδίον ἄφιξιν ἐχρῆν παραιτήσασθαι, καὶ τῆς τοῦ δυσμενοῦς προκλήσεως ἀλογῆσαι. Ἥττης γὰρ πᾶς ὄκνος ἀμείνων. Τὸν δὲ ὄκνον τοῦτον οἱ μὲν ἐχθροὶ δειλίαν, ἀσφάλειαν δὲ οἱ φίλοι προσαγορεύουσι· φίλοις δὲ πρὸ δυσμενῶν, ἅτε ἀψευδοῦσι, πιστευτέον.

§. 12. Οὗ χάριν ὁρᾷς, ὅτι Μωϋσῆς τοὺς ἐν

*Αἰγύπτῳ τῷ σώματι σοφιστὰς, οὓς φαρμακέας ὀνομάζει, παραιτεῖται· σοφισμάτων γὰρ τέχναις καὶ ἀπάταις ἤθη χρηστὰ τρόπων φαρμακεύεται καὶ δια-*
199 *φθείρεται, φάσκων τὸ "μὴ εἶναι εὔλογος"* *) *ἴσον*
M. *τῷ, μήτε πεφυκέναι πρὸς τὴν τῶν λόγων καὶ πιθανῶν εἰκαστικὴν ῥητορείαν· ἔπειθ' ἑξῆς διαβεβαιούμενος, ὅτι οὐ μόνον οὐκ εὔλογος, ἀλλὰ καὶ παντελῶς "ἄλογός"* **) *ἐστιν· ἄλογος δὲ, οὐχ ὡς φαμεν τὰ μὴ λογικὰ τῶν ζώων, ἀλλ' ὁ μὴ δικαιῶν τῷ διὰ τοῦ φωνητηρίου ὀργάνου λόγῳ χρῆσθαι, μόνῃ δὲ σημειούμενος καὶ ἐνσφραγιζόμενος διανοίᾳ τὰ τῆς ἀληθοῦς σοφίας, ἥτις ἀντίθετός ἐστι ψευδεῖ σοφιστείᾳ, θεωρήματα. Καὶ οὐ βαδιεῖται πρότερον εἰς Αἴγυπτον, οὐδ' εἰς ἅμιλλαν ἀφίξεται τοῖς αὐτῆς σοφισταῖς, πρὶν ἢ τὸν προφορικὸν ἄκρως ἀσκηθῆναι λόγον· τὰς πρὸς ἑρμηνείαν ἁπάσας ἰδέας ἀναδείξαντος καὶ τελειώσαντος θεοῦ, διὰ τῆς Ἀαρὼν χειροτονίας, ὃν ἀδελφὸν Μωϋσέως ὄντα, στόμα καὶ ἑρμηνέα καὶ "προφήτην"* ***) *εἴωθε καλεῖν. Πάντα γὰρ ταῦτα τῷ λόγῳ συμβέβηκεν, ὃς ἀδελφός ἐστι διανοίας. Πηγὴ γὰρ λόγων διάνοια, καὶ στόμιον αὐτῆς λόγος, ὅτι τὰ ἐνθυμήματα πάντα διὰ τούτου καθάπερ νάματα ἀπὸ γῆς εἰς τὸ ἐμφανὲς ἐπιῤῥέοντα, ἀναχεῖται. Καὶ ἑρμηνεύς ἐστιν, ὧν ἐν τῷ ἑαυτῆς βουλευτηρίῳ βεβούλευκεν· ἔτι μέντοι καὶ προφήτης καὶ θεοπρόπος, ὧν ἐξ ἀδύτων καὶ ἀοράτων χρησμῳδοῦσα οὐ παύεται.*

§. 13. *Τοῦτον μὲν οὖν τὸν τρόπον ἐναντιοῦσθαι τοῖς περὶ τὰ δόγματα ἐριστικοῖς χρήσιμον. Γεγυμνασμένοι γὰρ περὶ τὰς τῶν λόγων ἰδέας, οὐκ ἔτ' ἐπ'* 163
*ἀπειρίᾳ σοφιστικῶν παλαισμάτων ὀκλάσομεν. Ἐξα-* P.
*ναστάντες δὲ καὶ διερεισάμενοι, τὰς ἐντέχνους αὐτῶν περιπλοκὰς εὐμαρῶς ἐκδυσόμεθα. Οἱ δὲ ἅπαξ εὑρεθέντες σκιαμάχων, ἀλλ' οὐκ ἀγωνιστῶν ἐπιδείκνυσθαι*

---

*) Exod. 4, 10. — **) Exod. 6, 12. — ***) Exod. 7, 1.

δόξουσι δύναμιν. Καὶ γὰρ ἐκεῖνοι καθ᾽ ἑαυτοὺς μὲν χειρονομοῦντες εὐδοκιμοῦσι, πρὸς δὲ ἅμιλλαν ἐλθόντες οὐ μετρίως ἀδοξοῦσιν. Εἰ δέ τις τὴν μὲν ψυχὴν ἀρεταῖς ἁπάσαις κεκόσμηται, τέχνας δὲ λόγων οὐκ ἐμελέτησεν, ἡσυχίᾳ χρώμενος ἀσφάλειαν γέρας ἀκίνδυνον εὑρήσεται. Παρελθὼν δὲ, ὡς Ἄβελ, εἰς σοφιστικὸν ἀγῶνα, πρὶν διερείσασθαι πεσεῖται. Καθάπερ γὰρ ἐν ἰατρικῇ τινες μὲν θεραπεύειν εἰδότες πάντα σχεδὸν πάθη καὶ νοσήματα καὶ ἀῤῥωστήματα, λόγον οὐδενὸς αὐτῶν οὔτ᾽ ἀληθῆ, οὔτ᾽ εἰκότα ἀποδοῦναι δύνανται. Οἱ δὲ ἔμπαλιν τὰ μὲν περὶ λόγους εἰσὶ δεινοὶ, σημείων καὶ αἰτιῶν καὶ θεραπείας, ἐξ ὧν ἡ τέχνη συνέστηκεν, ἑρμηνεῖς ἄριστοι· τὰ δὲ πρὸς καμνόντων ἐπιμέλειαν σωμάτων φαυλότατοι,
200 τῶν εἰς ἴασιν ἀλλ᾽ οὐδὲ τὸ μικρότατον παρασχεῖν
M. ἱκανοί. Τὸν αὐτὸν τρόπον οἱ μὲν τῆς δι᾽ ἔργων ἀσκηταὶ σοφίας πολλάκις λόγων ἠμέλησαν, οἱ δὲ τὰς ἐν λόγῳ τέχνας ἀναδιδαχθέντες οὐδὲν ἐν ψυχῇ καλὸν παίδευμα ἐθησαυρίσαντο. Τούτους μὲν οὖν ἀχαλίνῳ κεχρημένους γλώττῃ μετ᾽ αὐθαδείας θρασύνεσθαι, παράδοξον οὐδὲν, ἀπόνοιαν ἣν ἐξ ἀρχῆς ἐμελέτησαν ἐπιδεικνύντας. Ἐκείνοις δὲ ὥσπερ ἰατροῖς τὸ ὑγιάζον τὰς ψυχῆς νόσους τε καὶ κῆρας ἀναδιδαχθεῖσι μέρος ἐπέχειν ἀναγκαῖον, μέχρις ἂν ὁ θεὸς καὶ τὸν ἑρμηνέα ἄριστον κατασκευάσῃ, τὰς τοῦ λέγειν πηγὰς ἀνομβρήσας καὶ ἀναδείξας αὐτῷ.

§. **14.** Σύμφορον οὖν ἦν εὐλαβείᾳ, σωτηρίῳ ἀρετῇ, χρησάμενον τὸν Ἄβελ οἴκοι καταμεῖναι, τῆς εἰς τὸν ἐριστικὸν καὶ φιλόνεικον ἀγῶνα προκλήσεως ἀλογήσαντα, μιμησάμενον Ῥεβέκκαν, τὴν ὑπομονὴν, ἥτις, ἀπειλοῦντος Ἡσαῦ τοῦ κακίας θιασώτου, τὸν ἀρετῆς ἀσκητὴν Ἰακὼβ ἀναχωρῆσαι τῷ μέλλοντι ἐπιβουλεύεσθαι παραγγέλλει, μέχρις ἂν ἐκεῖνος τῆς ἐπ᾽ αὐτῷ σχετλίου λύττης ἀνῇ. Καὶ γὰρ ἀφόρητόν τινα ἀπειλὴν ἐπανατείνεται, φάσκων, "Ἐγγισάτωσαν αἱ ἡμέραι τοῦ πένθους τοῦ πατρός μου, ἵνα ἀπο-

κτείνω Ἰακὼβ τὸν ἀδελφόν μου." *) Εὔχεται γὰρ μόνον τὸ ἀπαθὲς εἶδος ἐν γενέσει, τὸν Ἰσαάκ, ᾧ χρησμός ἐστι "μὴ καταβῆναι εἰς Αἴγυπτον," **) ἀλόγῳ πάθει χρῆσθαι, ἵνα, δοκῶ, ἡδονῆς ἢ λύπης ἤ τινος ἄλλου πάθους κέντροις τρωθήσηται· δηλῶν ὡς ὁ ἀτελέστερος καὶ ἐπιπόνῳ προκοπῇ χρώμενος οὐ τραῦμα μόνον, ἀλλὰ καὶ παντελῆ φθορὰν δέξεται. Ὁ μέν-164
τοι χρηστὸς θεὸς οὔτε ἁλωτὸν πάθει τὸ ἀτρώτου P.
γένους εἶδος ἐργάσεται, οὔτε τὴν ἀρετῆς ἄσκησιν ἐπ' ὀλέθρῳ φονῶντι καὶ δαιμονῶντι ἐκδώσει. Δι' ὃ καὶ τὸ ἐπιφερόμενον, "Ἀνέστη Κάϊν ἐπὶ Ἄβελ τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἀπέκτεινεν αὐτὸν," ***) κατὰ μὲν τὴν πρόχειρον φαντασίαν ὑποβάλλει, ὅτι Ἄβελ ἀνῄρηται· κατὰ δὲ τὴν ἀκριβεστάτην ἐξέτασιν, ὅτι αὐτὸς ὁ Κάϊν ἐφ' ἑαυτοῦ. Ὥςθ' οὕτως ἀναγνωστέον, "Ἀνέστη Κάϊν καὶ ἀπέκτεινεν ἑαυτὸν," ἀλλ' οὐχ ἕτερον· εἰκότως δὲ τοῦτο ἔπαθεν. Ἡ γὰρ ἐξ αὑτῆς ἀνελοῦσα ψυχὴ τὸ φιλάρετον καὶ φιλόθεον δόγμα, τὸν τῆς ἀρετῆς τέθνηκε βίον, ὥςθ' ὁ Ἄβελ, τὸ παραδοξότατον, ἀνῄρηταί τε καὶ ζῇ. "Ἀνῄρηται μὲν ἐκ τῆς τοῦ ἄφρονος διανοίας, ζῇ δὲ τὴν ἐν θεῷ ζωὴν εὐδαίμονα. Μαρτυρήσει δὲ τὸ χρησθὲν λόγιον, ἐν ᾧ φωνῇ χρώμενος καὶ "βοῶν" †) ἃ πέπονθεν ὑπὸ κακοῦ συνθέτου τηλαυγῶς εὑρίσκεται. Πῶς γὰρ ὁ μηκέτ' ὢν διαλέγεσθαι δυνατός;

§. 15. Ὁ μὲν δὴ σοφὸς τεθνηκέναι δοκῶν τὸν
01 φθαρτὸν βίον, ζῇ τὸν ἄφθαρτον, ὁ δὲ φαῦλος ζῶν
1. τὸν ἐν κακίᾳ, τέθνηκε τὸν εὐδαίμονα. Ἐπὶ μὲν γὰρ τῶν διεστηκότων ζώων τε καὶ κοινῶν σωμάτων ἕτερα μὲν τὰ ποιοῦντα, ἕτερα δὲ εἶναι τὰ πάσχοντα δυνατὸν καὶ ῥᾴδιον. Ὁπότε γὰρ πατὴρ υἱὸν τύπτει σωφρονίζων, ἢ διδάσκαλος γνώριμον, ἕτερος ὁ τύπτων, καὶ ἕτερος ὁ τυπτόμενός ἐστιν· ἐπὶ δὲ τῶν

*) Gen. 27, 41. — **) Gen. 26, 2. — ***) Gen. 4, 8.
†) Gen. 4, 10.

ἡνωμένων περὶ ὃ τὸ ποιεῖν καὶ τὸ πάσχειν εὑρίσκεται, καὶ οὔτε ἐν ἑτέρῳ χρόνῳ, οὔτε ἕτερον, ἀλλὰ κατὰ τὸν αὐτὸν, καὶ τὸ αὐτό. Ἐπειδὰν γοῦν ἀθλητὴς ἑαυτὸν τοῦ γυμνάσασθαι χάριν ἀνατρίβῃ, πάντως τρίβεται, καὶ εἴ τις μέντοι παίει ἑαυτὸν, παίεται καὶ τιτρώσκεται, καὶ γὰρ ὁ πηρῶν καὶ κτείνων ἑαυτὸν, πηροῦται καὶ κτείνεται. Πρὸς τί δὴ ταῦτ᾽ εἶπον; Ὅτι τὴν ψυχὴν οὐ τῶν διεστηκότων, ἀλλὰ τῶν ἡνωμένων οὖσαν, ἀνάγκη πάσχειν ὃ ποιεῖν δοκεῖ, καθάπερ ἀμέλει καὶ νῦν· δόξασα γὰρ ἀνελεῖν τὸ θεοφιλέστατον δόγμα, ἑαυτὴν ἀνῄρηκε. Μάρτυς δὲ Λάμεχ, ὁ τῆς Κάϊν ἀσεβείας ἔκγονος, ὅς φησι γυναιξὶ ταῖς ἑαυτοῦ, δυσὶ γνώμαις ἀγνώμοσιν, "Ἄνδρα ἀπέκτεινα εἰς τραῦμα ἐμοὶ, καὶ νεανίσκον εἰς μώλωπα ἐμοί." *) Δῆλον γὰρ, ὅτι εἴ τις τὸν ἀνδρίας λόγον κτείνει, ἑαυτὸν ἐναντίᾳ νόσῳ τιτρώσκει δειλίας· καὶ εἴ τις τὴν ἀνηβῶσαν ἰσχὺν ἐν ἀσκήσει τῶν καλῶν ἀναιρεῖ, πληγὰς καὶ μεγάλας αἰκίας μετ᾽ οὐ μετρίας αἰσχύνης ἐπιφέρει ἑαυτῷ. Λέγει μέντοι καὶ ἡ ὑπομονὴ,**) ὅτι ἐὰν ἄσκησις ἀναιρεθῇ καὶ προκοπὴ, οὐχ ἓν μόνον ἔκγονον, ἀλλὰ καὶ τὰ ἄλλα ἀποβάλλει, "ἀτεκνίαν" ἐνδειξαμένη παντελῆ.

§. 16. Ὥσπερ δὲ ὁ βλάπτων τὸν ἀστεῖον ἐπιδέδεικται ζημιῶν ἑαυτὸν, οὕτω καὶ ὁ προνομίας τοὺς ἀμείνους ἀξιῶν λόγῳ μὲν ἐκείνοις, ἔργῳ δὲ αὐ- 16
τῷ περιποιεῖται ἀγαθόν. Μαρτυρεῖ δέ μου τῷ λόγῳ ἡ φύσις, καὶ τὰ ἀκολούθως αὐτῇ νομοθετηθέντα. Διείρηται γὰρ ἄντικρυς καὶ σαφῶς οὕτω, "Τίμα τὸν πατέρα καὶ τὴν μητέρα, ἵνα εὖ σοι γένηται," ***) οὐχὶ τοῖς τιμωμένοις, φησὶν, ἀλλὰ σοί. Ἐάν τε γὰρ τὸν νοῦν ὡς πατέρα τοῦ συγκρίματος, ἐάν τε τὴν αἴσθησιν ὡς μητέρα διὰ τιμῆς ἔχωμεν, εὖ πρὸς ἐκεί-

*) Gen. 4, 23. — **) i. e. Rebecca, Gen. 27, 45. — ***) Exod. 20, 12.

νων αὐτοὶ πεισόμεθα. Τιμὴ δὲ τοῦ μὲν νοῦ διὰ τῶν συμφερόντων, ἀλλὰ μὴ διὰ τῶν ἡδέων θεραπεύεσθαι· πάντα δὲ τὰ ἀπ᾽ ἀρετῆς συμφέροντα. Τῆς δὲ αἰσθήσεως, τὸ μὴ ἀφεθῆναι ῥύμῃ μιᾷ φέρεσθαι πρὸς τὰ ἐκτὸς αἰσθητὰ, ἐγχαλινωθῆναι δὲ ὑπὸ νοῦ, κυβερνᾶν καὶ ἡνιοχεῖν τὰς ἀλόγους ἐν ἡμῖν δυνάμεις ἐπισταμένου. Ἐὰν μὲν οὖν ἧς εἶπον ἑκάτερον λάχῃ τιμῆς, αἴσθησίς τε καὶ νοῦς, ἀνάγκη τὸν κεχρημένον ἀμφοτέροις ἐμὲ εὐεργετεῖσθαι· ἐὰν δὲ πόῤῥω τὸν λόγον ἀπὸ νοῦ καὶ αἰσθήσεως ἀπαγαγὼν πατέρα μὲν
02 τὸν γεννήσαντα κόσμον, μητέρα δὲ τὴν σοφίαν, δι᾽
1. ἧς ἀπετελέσθη τὸ πᾶν, τιμῆς ἀξιώσῃς, αὐτὸς εὖ πείσῃ. Δεῖται γὰρ οὐδενὸς, οὔτε ὁ πλήρης θεὸς, οὔτε ἡ ἄκρα καὶ παντελὴς ἐπιστήμη· ὥςτε τὸν θεραπευτικὸν τούτων μὴ τοὺς θεραπευομένους ἀνενδεεῖς ὄντας, ἀλλ᾽ ἑαυτὸν μάλιστα ὠφελεῖν. Ἱππικὴ μὲν γὰρ καὶ σκυλακευτικὴ ἐπιστήμη, θεραπεία ἡ μὲν ἵππων ἡ δὲ σκυλάκων οὖσα, πορίζει τοῖς ζώοις τὰ ὠφέλιμα, ὧν ἐκεῖνα δεῖται· μὴ πορίζουσα δὲ ἀμελεῖν ἂν δοκοίη. Τὴν δὲ εὐσέβειαν, θεοῦ θεραπείαν ὑπάρχουσαν, οὐ θέμις ποριστικὴν εἰπεῖν τῶν ὠφελησόντων τὸ θεῖον. Ὠφελεῖται μὲν γὰρ ὑπ᾽ οὐδενὸς ἅτε μήτε ἐνδεὲς ὂν, μήτε τινὸς τὸ ἐν ἅπασιν αὐτοῦ κρεῖττον πεφυκότος ὀνῆσαι· τὸ ἐναντίον δὲ τὰ σύμπαντα συνεχῶς καὶ ἀπαύστως ὠφελεῖ. Ὥςτε ὅταν τὴν εὐσέβειαν λέγωμεν εἶναι θεοῦ θεραπείαν, ὑπηρεσίαν τινὰ τοιαύτην εἶναί φαμεν, ὁποίαν δοῦλοι δεσπόταις, τὸ κελευόμενον ἀόκνως ποιεῖν ἐγνωκότες, ὑπηρετοῦσι. Διοίσει δὲ πάλιν, ὅτι οἱ μὲν δεσπόται ὑπηρεσίας ἐνδεεῖς, ὁ δὲ θεὸς οὐ χρεῖος· ὥςτε ἐκείνοις μὲν τὰ ὠφελήσοντα αὐτοὺς ὑπηρετοῦσι, τῷ δὲ οὐδὲν ἔξω φιλοδεσπότου γνώμης παρέξουσι. Βελτιῶσαι μὲν γὰρ οὐδὲν εὑρήσουσι, τῶν δεσποτικῶν πάντων ἐξ ἀρχῆς ὄντων ἀρίστων· μεγάλα δὲ αὐτοὺς ὀνήσουσι, γνωρισθῆναι θεῷ προμηθούμενοι. —

§. 17. Ταῦτα μὲν οὖν ἱκανῶς εἰρῆσθαι νομίζω

πρὸς τοὺς εὖ ἢ κακῶς ἑτέρους ποιεῖν δοκοῦντας· εὑ-
ρέθησαν γὰρ ἑαυτοὺς ἑκάτερον δρῶντες. Τὰ δὲ ἑξῆς
ἐρευνήσωμεν. Ἔστι δὲ πεῦσις τοιαύτη, "Ποῦ Ἄβελ 16
ὁ ἀδελφός σου;" *) Πρὸς ἣν ἀποκρίνεται, "Οὐ γι- P
νώσκω, μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;" Οὐκ-
οῦν ἄξιον διαπορῆσαι εἰ κυρίως ἐνδέχεται πυνθάνε-
σθαι θεόν. Ὁ γὰρ ἐρωτῶν ἢ πυνθανόμενος περὶ
ὧν ἀγνοεῖ ἐρωτᾷ τε καὶ πυνθάνεται, ζητῶν ἀπόκρι-
σιν ἐξ ἧς ὃ μὴ οἶδεν εἴσεται· πάντα δὲ θεῷ γνώριμα,
οὐ τὰ παρόντα μόνον καὶ παρεληλυθότα, ἀλλὰ καὶ
τὰ μέλλοντα. Τί οὖν καὶ ἀποκρίσεως ὄφελος μὴ μελ-
λούσης τινὰ περιποιεῖν τῷ πυνθανομένῳ κατάληψιν;
Ἀλλὰ ῥητέον, ὅτι τοιαῦτα οὐ πέφυκεν ὑπὸ τοῦ αἰ-
τίου κυριολογεῖσθαι, ἀλλ' ὥσπερ ψεῦδος λέγειν ἐστὶ
μὴ ψευδόμενον, οὕτω καὶ ἐρώτημα καὶ πύσμα προ-
φέρεσθαι μήτε ἐρωτῶντα, μήτε πυνθανόμενον. Τί-
νος οὖν ἕνεκα, φήσει τις ἴσως, λέγεται τοιαῦτα; Ἵνα
ἡ μέλλουσα τὰς ἀποκρίσεις ποιεῖσθαι ψυχὴ δι' ἑαυ-
τῆς ἐλέγχῃ τὰ περὶ ὧν εὖ ἢ κακῶς ἀποφαίνεται,
μήτε κατηγόρῳ, μήτε συναγωνιστῇ χρωμένη ἑτέρῳ.
203 Ἐπεὶ καὶ τὸν σοφὸν ὁπότε ἀνερωτᾷ, "Ποῦ ἐστί
M σοι ἡ ἀρετή;" **) — τὸν Ἀβραὰμ λέγω περὶ Σάῤ-
ῥας — οὐκ ἀγνοῶν ἐρωτᾷ, ἀλλὰ δεῖν οἰόμενος αὐ-
τὸν ἀποκρίνεσθαι, ἕνεκα τοῦ τὸν ἔπαινον τὸν ἐξ αὐ-
τοῦ τοῦ λέγοντός φησι παραστῆσαι. Φησὶ γοῦν,
ὅτε εἶπεν, "Ἰδοὺ ἐν τῇ σκηνῇ," τουτέστι, τῇ ψυχῇ.
Τί οὖν τὸ ἐκ τῆς ἀποκρίσεως ἐπαινετόν; Ἰδοὺ τὴν
ἀρετήν, φησίν, ἔχω παρ' ἐμαυτῷ, καθάπερ τι κει-
μήλιον, καὶ διὰ τοῦτ' εὐθὺς εὐδαιμονῶ. Χρῆσις
γὰρ καὶ ἀπόλαυσις ἀρετῆς, τὸ εὔδαιμον, οὐ ψιλὴ
μόνον κτῆσις. Χρῆσθαι δ' οὐκ ἂν δυναίμην, εἰ μὴ
σὺ καθεὶς ἐξ οὐρανοῦ τὰ σπέρματα ἀπεργάσαιο αὐ-
τὸς ἐγκύμονα, ἡ δὲ τὸ εὐδαιμονίας γένος ἀποτέκοι,
τὸν Ἰσαάκ. Εὐδαιμονίαν δὲ χρῆσιν ἀρετῆς τελείας

---

*) Gen. 4, 9. — **) Gen. 18, 9.

ἐν βίῳ τελείῳ νενόηκα. Παρ᾽ ὃ καὶ τῆς προαιρέσεως ἀγάμενος αὐτὸν, ὁμολογεῖ τελεσφορήσειν καιρίως ἃ ᾐτήσατο.

§. 18. Τούτῳ μὲν οὖν ἡ ἀπόκρισις ἔπαινον ἤνεγκεν, ὁμολογοῦντι μηδὲ τὴν ἀρετὴν, ἄνευ θείας ἐπιφροσύνης, ἱκανὴν ἐξ ἑαυτῆς ὠφελεῖν εἶναι· τῷ δὲ Κάϊν ἀκολούθως ψόγον, φάσκοντι μὴ εἰδέναι, ποῦ ὁ δολοφονηθείς ἐστι παρ᾽ αὐτοῦ. Δόξει γὰρ τὸν ἀκούοντα ἀπατῆσαι, ὡς οὐ πάντα διορῶντα, καὶ τὴν ἀπάτην ᾗ μέλλει χρῆσθαι οὐ προκατειληφότα. Ἔκθεσμος δὲ καὶ ἔκφυλος πᾶς ὁ τὸν τοῦ θεοῦ ὀφθαλμὸν οἰόμενός τι παρορᾶν. Ὁ δέ γε καὶ ἐπινεανιεύεται φάσκων, "Μὴ φύλαξ τοῦ ἀδελφοῦ μου εἰμὶ ἐγώ;" *) Πάνυ γὰρ εἴποιμεν, ἀθλίως ἔμελλε βιώσεσθαι, εἴ σε φρουρὸν καὶ φύλακα ἡ φύσις ἀγαθοῦ τοσούτου κατέστησεν. Ἢ οὐχ ὁρᾷς ὅτι τὴν τῶν ἁγίων διατήρησίν τε καὶ φυλακὴν οὐ τοῖς ἐπιτυχοῦσιν ὁ νομοθέτης, ἀλλὰ τοῖς τὰς γνώμας ἱερωτάτοις
Λευΐταις ἐπιτρέπει; Ὧν ἀνάξιος κλῆρος γῆ καὶ 167
ὕδωρ καὶ ἀὴρ, ἔτι δὲ οὐρανὸς καὶ πᾶς ὁ κόσμος P.
ἐνομίσθη· μόνος δὲ ἀξιόχρεως ὁ δημιουργὸς, ᾧ προςπεφεύγασιν, ἱκέται γνήσιοι καὶ θεράποντες ἑαυτοῦ γινόμενοι, τὸ φιλοδέσποτον διὰ τῆς συνεχοῦς ὑπηρεσίας καὶ τῆς τῶν ἐπιτραπέντων ἀοκνοτάτης ἐπιδεικνύμενοι φυλακῆς.

§. 19. Καὶ οὐδ᾽ ἅπασιν ἐξεγένετο τοῖς ἱκέταις γενέσθαι φύλαξιν ἱερῶν, ἀλλ᾽ οἵτινες ἀριθμὸν πεντηκοστὸν ἔλαχον, ἄφεσιν καὶ ἐλευθερίαν παντελῆ καὶ ἐπάνοδον εἰς τὰς ἀρχαίας λήξεις προκηρύττοντα. "Τοῦτο γὰρ," φησὶν, "ἐστὶ τὸ περὶ τῶν Λευϊτῶν.
04 "Ἀπὸ πέντε καὶ εἴκοσιν ἐτῶν εἰςελεύσεται ἐνερ-
I. γεῖν ἐν τῇ σκηνῇ τοῦ μαρτυρίου, καὶ ἀπὸ πεντήκοντα ἐτῶν ἀποστήσεται τῆς λειτουργίας, καὶ οὐκ ἐργάσεται ἔτι, λειτουργήσει δὲ ἀδελφὸς αὐτοῦ· ὁ δὲ φυλάξει

*) Gen. 4, 9.

φυλακὰς, ἔργα δὲ οὐκ ἐργάσεται." *) Οὐκοῦν τῷ μὲν ἡμίσει τὴν τελειότητα — τέλειος γὰρ ὁ πεντηκοστὸς λόγος, ὁ δὲ τῶν πέντε καὶ εἴκοσιν ἥμισυ μέρος — ἐνεργεῖν ἐπιτρέπει, καὶ δρᾶν τὰ ἅγια τὴν δι᾽ ἔργων ἀρεσκείαν ἐπιδεικνυμένῳ, — ἀρχὴ δὲ, ὡς ἔφη τις τῶν πάλαι, τοῦ παντὸς ἥμισυ μέρος, — τῷ δὲ τελείῳ μηκέτι πονεῖν, τὰ δὲ ὅσα ἐκ μελέτης καὶ πόνου περιεποιήσατο φυλάττειν. Μὴ γὰρ γενοίμην ἀσκητὴς ὢν μὴ φύλαξ αὖθις. Ἡ μὲν οὖν ἄσκησις μέσον, οὐ τέλειον· γίνεται γὰρ ἐν οὐ τελείαις μὲν, ἀκρότητος δὲ ἐφιεμέναις ψυχαῖς. Ἡ δὲ φυλακὴ παντελὲς μνήμη τὰ ἀσκητὰ παραδοῦναι θεωρήματα τῶν ἁγίων, ἐπιστήμης καλὴν παρακαταθήκην φύλακι πιστῇ, ἣ μόνη τῶν λήθης πολυμηχάνων δικτύων ἀλογεῖ. Ὥςτε τὸν μνήμονα ὧν ἔμαθεν, ὑγιῶς καὶ εὐθυβόλως καλεῖ φύλακα. Οὗτος δὲ πρότερον ἡ ἐγυμνάζετο, μαθητὴς ἦν, διδάσκοντος ἑτέρου· ὁπότε δὲ ἱκανὸς φυλάττειν ἐγένετο, διδασκάλου δύναμιν καὶ τάξιν ἔλαχε, τὸν ἀδελφὸν εἰς τὰς ὑπηρεσίας τῆς διδασκαλίας χειροτονήσας τὸν ἑαυτοῦ προφορικὸν λόγον. Λέγεται γὰρ, ὅτι "λειτουργήσει ὁ ἀδελφὸς αὐτοῦ." **) Ὥςτε ὁ μὲν τοῦ ἀστείου νοῦς φύλαξ καὶ ταμίας τῶν ἀρετῆς ἔσται δογμάτων. Ὁ δὲ ἀδελφὸς αὐτοῦ λόγος λειτουργήσει, τοῖς παιδείαν μετιοῦσι διεξιὼν τῆς σοφίας δόγματά τε καὶ θεωρήματα. Δι᾽ ὃ καὶ ὁ Μωϋσῆς ἐν ταῖς εὐλογίαις Λευῒ, πολλὰ καὶ θαυμάσια προειπὼν, ἐπιφέρει, "Ἐφύλαξε τὰ λόγιά σου, καὶ τὴν διαθήκην σου διετήρησεν·" ***) εἶθ᾽ ἑξῆς, "Δηλώσουσι τὰ δικαιώματά σου Ἰακὼβ, καὶ τὸν νόμον σου Ἰσραήλ." Οὐκοῦν ὅτι καὶ λόγων καὶ διαθήκης θεοῦ φύλαξ ὁ ἀστεῖός ἐστιν ἐναργῶς παρίστησι. Καὶ μὴν ὅτι δικαιωμάτων καὶ νόμων ἑρμηνεὺς καὶ ὑφηγητὴς ἄριστος πάλιν δεδήλωκε, τῆς μὲν ἑρμηνείας διὰ συγγενικοῦ ὀργάνου, τοῦ φωνητηρίου

---

*) Num. 8, 24 sqq. — **) Num. 8, 25. — ***) Deut. 33, 9. 10.

δήπου, συνισταμένης, τῆς δὲ φυλακῆς περὶ τὸν 168
νοῦν ἐξεταζομένης, ὃς μέγα ταμεῖον ὑπὸ φύσεως δη- P.
μιουργηθεὶς, τὰς ἁπάντων καὶ σωμάτων καὶ πραγμάτων ἐννοίας εὐμαρῶς κεχώρηκεν. Ἐλυσιτέλει δὴ τῷ φιλαύτῳ Καῒν φυλάξαι τὸν Ἄβελ. Εἰ γὰρ διετήρησεν αὐτὸν, κεκριμένου καὶ μέσου βίου μετεποιήσατ᾽ ἂν, ἀλλ᾽ οὐκ ἀμιγοῦς καὶ ἀκράτου κακίας ἐνεφορήθη. —

05 §. 20. Καὶ εἶπεν ὁ θεὸς, "Τί ἐποίησας; Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ γῆς." *) Τὸ "τί ἐποίησας" καὶ ἀγανάκτησιν ἐμφαίνει ἐπὶ οὐκ εὐαγεῖ πράξει, καὶ χλευασμὸν ἐπὶ τῷ δολοφονῆσαι δοκοῦντι. Ἡ μὲν οὖν ἀγανάκτησις ἐπὶ τοῦ δεδρακότος γνώμῃ γίνεται, ὅτι τὸ καλὸν ἀνελεῖν ἐβούλευσεν· ἡ δὲ χλεύη διὰ τὸ οἴεσθαι μὲν ἐπιβεβουλευκέναι τῷ κρείττονι, ἐπιβεβουλευκέναι δὲ οὐκ ἐκείνῳ μᾶλλον ἢ ἑαυτῷ. Ζῇ μὲν γὰρ, ὡς καὶ πρότερον ἔφην, ὁ τεθνάναι δοκῶν, εἴ γε καὶ ἱκέτης ὢν θεοῦ καὶ φωνῇ χρώμενος εὑρίσκεται. Τέθνηκε δὲ ὁ περιεῖναι νομιζόμενος τὸν ψυχικὸν θάνατον, ἀρετῆς, καθ᾽ ἣν ἄξιος μόνην ἐστὶ ζῆν, ἀποσχοινισθείς. Ὥςτε καὶ τὸ "τί ἐποίησας" ἴσον εἶναι τῷ "οὐδὲν ἐποίησας," οὐδὲν ἤνυσας. Οὐδὲ γὰρ ὁ σοφιστὴς Βαλαὰμ, μάταιος ὢν ὄχλος ἐναντίων καὶ μαχομένων δοξῶν, βουληθεὶς ἀρὰς τίθεσθαι καὶ βλάπτειν τὸν ἀστεῖον, ἴσχυσε, "τοῦ θεοῦ τὰς κατάρας εἰς εὐλογίαν τρέποντος," **) ἵνα καὶ τῆς πανουργίας ἀπελέγξῃ τὸν ἄδικον, καὶ ἑαυτοῦ τὸ φιλάρετον παραστήσῃ.

§. 21. Πεφύκασι δὲ οἱ σοφισταὶ πολεμίοις χρῆσθαι ταῖς ἐν αὑτοῖς δυνάμεσι, καὶ λόγων ἐνθυμήμασι, καὶ βουλευμάτων λόγοις ἀντιστατούντων καὶ μηδαμῇ μηδαμῶς συνᾳδόντων. Ἀποκναίουσι γοῦν ἡμῶν τὰ ὦτα, τὴν δικαιοσύνην κοινωνικὸν, τὴν σωφροσύνην συμφέρον, τὴν ἐγκράτειαν ἀστεῖον, τὴν

---

*) Gen. 4, 10. — **) Num. 23, 8.

εὐσέβειαν ὠφελιμώτατον, τὴν ἄλλην ἀρετὴν ὑγιεινότατόν τε καὶ σωτήριον ἀποφαίνοντες· καὶ πάλιν τὴν ἀδικίαν ἄσπονδον, τὴν ἀκολασίαν νοσερὸν, τὴν ἀσέβειαν ἔκθεσμον, τὴν ἄλλην κακίαν βλαβερώτατον διεξιόντες. Καὶ ὅμως τὰ ἐναντία τοῖς λεγομένοις φρονοῦντες οὐ παύονται. Ἀλλ' ὅταν φρόνησιν καὶ σωφροσύνην καὶ δικαιοσύνην καὶ εὐσέβειαν ὑμνῶσι, τότε μάλιστα ἀφραίνοντες, ἀκολασταίνοντες, ἀδικοῦντες, ἀσεβοῦντες, πάνθ' ὡς ἔπος εἰπεῖν ἀνθρώπεια καὶ θεῖα συγχέοντές τε καὶ ἀνατρέποντες εὑρίσκονται. Πρὸς οὓς ἂν εἴποι τις ὀρθῶς, ὅπερ καὶ ὁ χρησμὸς ἔφη τῷ Κάϊν· "Τί ἐποιήσατε;" Τί εἰργάσασθε αὐτοὺς ἀγαθόν; Τί οἱ τοσοῦτοι περὶ ἀρετῆς λόγοι τὴν ὑμετέραν ψυχὴν ὠφέλησαν; Τί τοῦ βίου μικρὸν ἢ μέγα μέρος ἐπηνορθώσασθε; Τί δέ; Οὐχὶ τὰ ἐναντία διαβολὰς καθ' ἑαυτῶν ἀληθεῖς 1 ἠρανίσατε, ὅτι συνθέντες τὰ καλὰ καὶ τῷ λόγῳ φιλοσοφοῦντες, ἑρμηνεῖς μὲν ἄριστοι γεγόνατε, τὰ δ' αἴσχιστα καὶ φρονοῦντες καὶ ἐπιτηδεύοντες ἀεὶ ἁλίσκεσθε; Οὐ μὴν ἔτι γε ἐν ταῖς ὑμετέραις ψυχαῖς τέθνηκε τὰ καλὰ, ζωπυρηθέντων κακῶν· διὰ τοῦτο ἕκαστος ὑμῶν οὐ περίεστιν. Ὥσπερ γὰρ μουσικοῦ
206 τινος ἢ γραμματικοῦ τελευτήσαντος, ἡ μὲν ἐν τοῖς
M. ἀνδράσι μουσικὴ καὶ γραμματικὴ συνέφθαρται, αἱ δὲ τούτων ἰδέαι μένουσι καὶ τρόπον τινὰ βιοῦσιν ἰσοχρόνιοι τῷ κόσμῳ, καθ' ἃς οἵ τε ὄντες καὶ οἱ μέλλοντες διαδοχαῖς ταῖς ἐς ἀεὶ μουσικοί τε καὶ γραμματικοὶ γενήσονται· οὕτω καὶ τὸ ἔν τινι φρόνιμον ἢ σῶφρον ἢ ἀνδρεῖον ἢ δίκαιον ἢ συνόλως σοφὸν ἂν ἀναιρεθῇ, οὐδὲν ἧττον ἐν τῇ τοῦ παντὸς ἀθανάτου φύσει φρόνησις ἀθάνατος, καὶ ἀρετὴ σύμπασα ἄφθαρτος ἐστηλίτευται, καθ' ἣν καὶ νῦν εἰσὶν ἀστεῖοί τινες, καὶ αὖθις γενήσονται. Εἰ μὴ καὶ ἀνθρώπου τινὸς τῶν ἐν μέρει θάνατον φθορὰν ἐργάσασθαι φήσομεν ἀνθρωπότητι, ἣν εἴτε γένος, εἴτε ἰδέαν, εἴτε ἐννόημα, εἴθ' ὅ τι ποτὲ χρὴ καλεῖν, ο

ζητητικοὶ τῶν κυρίων ὀνομάτων εἴσονται. Μία σφραγὶς πολλάκις μυρίας ὅσας ἀπείρους οὐσίας τυπώσασα, πάντων ἔστιν ὅτε τῶν τύπων ἐξιτήλων αὐταῖς οὐσίαις γινομένων, ἐν τῇ ἑαυτῆς φύσει μηδὲν βλαβεῖσα κατὰ χώραν ἔμεινεν. Εἶτ' οὐκ οἰόμεθα τὰς ἀρετάς, καὶ ἂν πάντες οἱ χαρακτῆρες οὓς ἐσημήναντο ταῖς τῶν προσεληλυθότων ψυχαῖς, ὑπὸ μοχθηρᾶς διαίτης ἤ τινος ἑτέρας ἐξ αἰτίας ἐξίτηλοι γένωνται, τὴν ἀκήρατον ἑαυτῶν καὶ ἄφθαρτον φύσιν εἰσαεὶ σχήσειν; Οὐκ εἰδότες οὖν οἱ παιδείας ἀμύητοι διαφορὰς οὔθ' ὅλων πρὸς μέρη, οὔτε γενῶν πρὸς εἴδη, οὔτε τὰς ἐν τούτοις ὁμωνυμίας, πάντα διὰ πάντων συγχέουσι καὶ φύρουσι. Διὸ πᾶς φίλαυτος, ἐπίκλησιν Κάϊν, διδαχθήτω ὅτι τὸ ὁμώνυμον τοῦ Ἄβελ ἀνῄρηκε, τὸ εἶδος, τὸ μέρος, τὸν ἀπεικονισθέντα τύπον, οὐ τὸ ἀρχέτυπον, οὐ τὸ γένος, οὐ τὴν ἰδέαν, ἅπερ οἴεται μετὰ ζώων ἄφθαρτα ὄντα συνεφθαρκέναι. Λεγέτω δή τις κατακερτομῶν αὐτῷ καὶ ἐπιχλευάζων, Τί πεποίηκας, ὦ κακόδαιμον; Οὐχ ἣν μὲν δοκεῖς ἀνῃρηκέναι φιλόθεον δόξαν, ζῇ παρὰ θεῷ; Σαυτοῦ δὲ γέγονας αὐθέντης, ᾧ μόνῳ βιοῦν ἀνυπαιτίως ἠδύνασο, ἐξ ἐνέδρας ἀνελών. —

§. 22. Πάνυ δὲ πεφώνηται, καὶ πρὸς κάλλος ἑρμηνείας καὶ πρὸς νοημάτων εὕρεσιν τὰ ἐπιλεγόμενα ταῦτα, "Φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ πρός με ἐκ τῆς γῆς." *) Ἡ μὲν οὖν κατὰ τὴν φράσιν ὑψηγορία πᾶσι τοῖς μὴ λόγων ἀμυήτοις γνώριμος. Τὰ δὲ ἐμφαινόμενα νοήματα, ὡς ἂν οἷοί τε ὦμεν, 170
ἐπισκεψώμεθα· καὶ πρότερόν γε περὶ τοῦ αἵματος P.
Πολλαχοῦ μὲν γὰρ τῆς νομοθεσίας οὐσίαν τῆς ψυχῆς ἀποφαίνεται τὸ αἷμα, λέγων ἄντικρυς, "Ἡ γὰρ ψυχὴ πάσης σαρκὸς αἷμά ἐστιν." **) Ὁπότε δὲ πρῶτον μετὰ τὴν οὐρανοῦ καὶ γῆς καὶ τῶν μεταξὺ
07 γένεσιν ἐδημιούργει ἄνθρωπον ὁ ζωοπλάστης, φη-
I.

*) Gen. 4, 10. — **) Lev. 17, 11.

σὶν ὅτι "Ἐνεφύσησεν εἰς τὸ πρόσωπον αὐτοῦ πνεῦμα ζωῆς, καὶ ἐγένετο ὁ ἄνθρωπος εἰς ψυχὴν ζῶσαν," *) πάλαι διὰ τούτου παριστὰς, ὅτι πνεῦμά ἐστιν ἡ ψυχῆς οὐσία. Καὶ μὴν τῶν ἐξ ἀρχῆς ὑποθέσεων ἄκρως εἴωθε διαμεμνῆσθαι, τὰ ἀκόλουθα καὶ ὁμολογούμενα τοῖς προτέροις δικαιῶν ἐφαρμόττειν. Οὐκ ἂν οὖν πνεῦμα ψυχῆς οὐσίαν προειπὼν αἷμα διαφέρον σώματι αὖθις ἔλεγεν, εἰ μὴ πρός τι τῶν ἀναγκαιοτάτων καὶ συνεκτικωτάτων τὴν ἀναφορὰν ἐποιεῖτο. Τί οὖν λεκτέον; Ἕκαστον ἡμῶν κατὰ τὰς προσεχεῖς τιμὰς ἀριθμῶν, δύο εἶναι συμβέβηκε, ζῶόν τε καὶ ἄνθρωπον. Ἑκατέρῳ δὲ τούτων συγγενὴς δύναμις τῶν κατὰ ψυχὴν ἀποκεκλήρωται· τῷ μὲν ἡ ζωτικὴ, καθ' ἣν ζῶμεν, τῷ δὲ ἡ λογικὴ, καθ' ἣν λογικοὶ γεγόναμεν. Τῆς μὲν οὖν ζωτικῆς μετέχει καὶ τὰ ἄλογα, τῆς δὲ λογικῆς οὐ μετέχει μὲν, ἄρχει δὲ ὁ θεὸς, ἡ τοῦ πρεσβυτάτου λόγου πηγή.

§. 23. Ἡ μὲν οὖν κοινὴ πρὸς τὰ ἄλογα δύναμις οὐσίαν ἔλαχεν αἷμα. Ἡ δὲ ἐκ τῆς λογικῆς ἀποῤῥυεῖσα πηγῆς, τὸ πνεῦμα, οὐκ ἀέρα κινούμενον, ἀλλὰ τύπον τινὰ καὶ χαρακτῆρα θείας δυνάμεως, ἣν ὀνόματι κυρίῳ Μωϋσῆς εἰκόνα καλεῖ, δηλῶν ὅτι ἀρχέτυπον μὲν φύσεως λογικῆς ὁ θεός ἐστι, μίμημα δὲ καὶ ἀπεικόνισμα ἄνθρωπος· οὐ τὸ διφυὲς ζῶον, ἀλλὰ τὸ τῆς ψυχῆς ἄριστον εἶδος, ὃ νοῦς καὶ λόγος κέκληται. Διὰ τοῦτο σαρκὸς μὲν ψυχήν φησι τὸ αἷμα, **) εἰδὼς ὅτι ἡ σαρκῶν φύσις νοῦ μὲν οὐ μεμοίραται, ζωῆς δὲ, καθάπερ καὶ ὅλον ἡμῶν τὸ σῶμα, μετέχει. Ἀνθρώπου δὲ ψυχὴν ὀνομάζει πνεῦμα, ἄνθρωπον οὐ τὸ σύγκριμα καλῶν, ὡς ἔφην, ἀλλὰ τὸ θεοειδὲς ἐκεῖνο δημιούργημα, ᾧ λογιζόμεθα, οὗ τὰς ῥίζας εἰς οὐρανὸν ἔτεινε, καὶ τῆς ὑστάτης τῶν λεγομένων ἀπλανῶν ἁψῖδος ἐξῆψε. Μόνον γὰρ δὴ τῶν ἐπὶ γῆς φυτὸν οὐράνιον ὁ θεὸς ἄνθρωπον εἰρ-

*) Gen. 2, 7. — **) Deut. 12, 23.

γάσατο, τῶν μὲν ἄλλων τὰς κεφαλὰς πηξάμενος ἐν
χέρσῳ, — κατωκάρα γὰρ πάντα, — ἀνθρώπου δὲ
εἰς τὸ ἄνω προαγαγὼν, ἵνα τὰς τροφὰς ὀλυμπίους
καὶ ἀφθάρτους, ἀλλὰ μὴ γεώδεις καὶ φθαρτὰς ἔχῃ.
Παρ᾽ ὃ καὶ τοῦ σώματος ἡμῶν, τὸ μὲν ὅσον ἀναι-
σθητότατον πλεῖστον ἀποστήσας λογισμοῦ, τὰς βά-
σεις γῇ προσεῤῥίζου· τὰς δὲ νοῦ δορυφόρους αἰσθή-
σεις καὶ αὐτὸν ἐκεῖνον, ποῤῥωτάτω μὲν τῶν περὶ 171
208 γῆν ἐξῴκισε, ταῖς δὲ ἀέρος καὶ οὐρανοῦ περιόδοις, P.
M. ἀφθάρτοις οὔσαις, ἐνεδήσατο.

§. 24. Μηκέτ᾽ οὖν ἀπορῶμεν, πῶς ἔννοιαν ἔλαβεν ἄνθρωπος θεοῦ τοῦ ἀειδοῦς, οἱ Μωϋσέως γνώριμοι· τὴν γὰρ αἰτίαν χρησμῷ μαθὼν αὐτὸς ἡμῖν ὑφηγήσατο. Ἔλεγε δὲ ὧδε. Ψυχὴν οὐδεμίαν τῷ σώματι ὁ ποιῶν εἰργάζετο ἱκανὴν ἐξ ἑαυτῆς τὸν ποιητὴν ἰδεῖν. Λογισάμενος δὲ μεγάλα ὀνήσειν τὸ δημιούργημα, εἰ λάβοι τοῦ δημιουργήσαντος ἔννοιαν — εὐδαιμονίας γὰρ καὶ μακαριότητος ὅρος οὗτος — ἄνωθεν ἐνέπνει τῆς ἰδίου θειότητος. Ἡ δὲ ἀοράτως ἀοράτῳ ψυχῇ τοὺς ἑαυτῆς τύπους ἐνεσφραγίζετο, ἵνα μηδ᾽ ὁ περίγειος χῶρος εἰκόνος ἀμοιρήσῃ θεοῦ. Τὸ δ᾽ ἀρχέτυπον οὕτως ἦν ἄρα ἀειδὲς, ὥστε καὶ ἡ εἰκὼν οὐχ ὁρατὴ, τυπωθεῖσα μέντοι κατὰ τὸ παράδειγμα, οὐκέτι θνητὰς ἀλλ᾽ ἀθανάτους ἐννοίας ἐδέχετο. Πῶς γὰρ ἂν θνητὴ φύσις μένειν ἅμα καὶ ἀποδημεῖν ἠδύνατο, ἢ τὰ ἐνταῦθα καὶ τὰ ἑτέρωθι καθορᾶν, ἢ θάλατταν μὲν περιπλεῖν ἅπασαν, γῆν δὲ ἄχρι περάτων ἐπέρχεσθαι, ἢ νόμων καὶ ἐθῶν, ἢ συνόλως πραγμάτων καὶ σωμάτων ἐφάπτεσθαι; Ἢ δίχα τῶν ἐπιγείων καὶ τὰ μετάρσια καταλαμβάνειν, ἀέρα καὶ τροπὰς αὐτοῦ, καὶ καιρῶν ἰδιότητας, καὶ ὅσα ταῖς ἐτησίοις ὥραις καινουργούμενά τε καὶ ἐξ ἔθους ἀποτελεῖται; Ἢ πάλιν δι᾽ ἀέρος εἰς οὐρανὸν ἀπὸ γῆς ἀνίπτασθαι, καὶ τὰς ἐν οὐρανῷ φύσεις ἐξετάζειν, ὡς ἔχουσιν, ὡς κινοῦνται, τίνες ὅροι τῆς κινήσεως ἀρχῆς καὶ τέλους αὐταῖς, πῶς ἀλλήλαις τε καὶ τῷ

παντὶ κατά τι συγγενείας δίκαιον ἁρμόζονται; Τέχνας τε καὶ ἐπιστήμας ἐπινοῆσαι, ὅσαι τά τε ἐκτὸς δημιουργοῦσι, καὶ τὰ περὶ σῶμα καὶ ψυχὴν, ὡς ἑκάτερον βελτιωθήσεται, πραγματεύονται, καὶ μυρία ἄλλα ὧν οὔτε ἀριθμὸν οὔτε φύσιν λόγῳ περιλαβεῖν εὔπορον; Μόνον γὰρ αὐτὰ τῶν παρ᾽ ἡμῖν ὁ νοῦς, ἅτε πάντων ὠκυδρομώτατος, καὶ τὸν χρόνον ἐν ᾧ γίνεσθαι δοκεῖ φθάνει καὶ παραμείβεται, κατὰ τὰς ἀοράτους δυνάμεις ἀχρόνως τοῦ τε παντὸς καὶ μερῶν, καὶ τῶν τούτων αἰτίων ἐπιψαύων. Ἤδη δὲ οὐ μόνον ἄχρι τῶν γῆς καὶ θαλάττης, ἀλλὰ καὶ ἀέρος καὶ οὐρανοῦ περάτων ἐλθὼν, οὐδ᾽ ἐνταῦθα ἔστη, βραχὺν ὅρον τοῦ συνεχοῦς καὶ ἀπαύστου δρόμου νομίσας τὸν κόσμον εἶναι. Προσωτέρω δὲ χωρῆσαι γλιχόμενος, καὶ τὴν ἀκατάληπτον θεοῦ φύσιν, ὅτι μὴ πρὸς τὸ εἶναι μόνον, καταλαβεῖν ἂν δύνηται. Πῶς οὖν εἰκὸς, βραχὺν οὕτως ὄντα τὸν ἀνθρώπινον νοῦν μήνιγγι ἢ καρδίᾳ, βραχέσιν ὄγκοις, ἐγκατει-
209 λημμένον, μέγεθος οὐρανοῦ καὶ κόσμου χωρῆσαι 172
M. τοσοῦτον, εἰ μὴ τῆς θείας καὶ εὐδαίμονος ψυχῆς P.
ἐκείνης ἀπόσπασμα ἦν οὐ διαιρετόν; Τέμνεται γὰρ οὐδὲν τοῦ θείου κατ᾽ ἀπάρτησιν, ἀλλὰ μόνον ἐκτείνεται. Διὸ μεμοιραμένος τῆς ἐν τῷ παντὶ τελειότητος, ὅταν ἐννοῇ κόσμον, τοῖς πέρασι τοῦ παντὸς συνευρύνεται, ῥῆξιν οὐ λαμβάνων. Ὁλκὸς γὰρ ἡ δύναμις αὐτοῦ. —

§. 25. Ταῦτα μὲν οὖν ὡς ἐν βραχέσιν εἰρήσθω περὶ οὐσίας ψυχῆς. Τὸ δὲ "φωνὴν αἵματος βοᾶν" *) κατ᾽ ἀκόλουθον οὕτως ἀποδώσομεν. Τῆς ἡμετέρας ψυχῆς τὸ μὲν ἄφωνόν ἐστι, τὸ δὲ φωνῆεν. Τὸ μὲν ἄλογον ἄφωνον, φωνῆεν δὲ ὅσον λογικὸν, ὃ δὴ μόνον ἔννοιαν εἴληφε θεοῦ. Τοῖς γὰρ ἄλλοις μέρεσιν, οὔτε θεὸν οὔτε τι νοητὸν καταλαβεῖν δυνάμεθα. Τῆς οὖν ζωτικῆς δυνάμεως, ἧς τὸ οὐσιῶδες αἷμα,

---

*) Gen. 4, 10.

μοῖρά τις ἐξαίρετον ἔσχε γέρας, φωνὴν καὶ λόγον, οὐ τὸ διὰ στόματος καὶ γλώττης ῥέον νᾶμα, ἀλλὰ τὴν πηγὴν, ἀφ᾽ ἧς αἱ τοῦ προφορικοῦ δεξαμεναὶ πληροῦσθαι πεφύκασιν. Ἡ δὲ πηγὴ νοῦς ἐστι, δι᾽ οὗ τὰς πρὸς τὸν ὄντα ἐντεύξεις καὶ ἐκβοήσεις, τῇ μὲν ἑκόντες, τῇ δὲ καὶ ἄκοντες ἀναφθεγγόμεθα· ὁ δὲ ἅτε ἀγαθὸς ὢν καὶ ἵλεως, τοὺς ἱκέτας οὐκ ἀποστρέφεται, καὶ μάλισθ᾽ ὅταν ἐπὶ τοῖς Αἰγυπτίοις ἔργοις καὶ πάθεσι στενάζοντες ἀψευδῶς καὶ ἀπλάστως ἐκβοῶσι. Τότε γὰρ “ἀναβαίνειν φησὶ Μωϋσῆς τοὺς λόγους αὐτῶν πρὸς τὸν θεὸν,”*) τὸν δὲ ὑπακούσαντα ῥύσασθαι τῶν παρεστώτων κακῶν. Ταῦτα δὲ πάντα γίνεσθαι, ὅταν ὁ βασιλεὺς Αἰγύπτου τελευτήσῃ, τὸ παραδοξότατον. Εἰκὸς γὰρ ἦν ἀποθανόντος τυράννου χαίρειν καὶ γεγηθέναι τοὺς τυραννουμένους, ἀλλὰ τότε λέγονται στενάζειν. “Μετὰ γὰρ τὰς ἡμέρας τὰς πολλὰς ἐκείνας ἐτελεύτησεν ὁ βασιλεὺς Αἰγύπτου, καὶ κατεστέναξαν οἱ υἱοὶ Ἰσραήλ.”**) Πρὸς μὲν τὸ ῥητὸν ἡ λέξις τὸ εὔλογον οὐ περιέχει, πρὸς δὲ τὰς ἐν ψυχαῖς δυνάμεις, τὸ κατ᾽ αὐτὴν ἀκόλουθον εὑρίσκεται. Ὁ γὰρ ἀνασκιδνῶν καὶ ἀποῤῥίπτων τὰς περὶ τῶν καλῶν δόξας, ὅταν ἐν ἡμῖν ζωοπυρῆται Φαραὼ καὶ ὑγιαίνειν δοκῇ, εἰ δή τινα τῶν φαύλων ὑγιαίνειν λεκτέον, τὴν ἡδονὴν ἀποδεχόμεθα, ἐγκράτειαν πέραν ὅρων ἐλαύνοντες· ὅταν δὲ ἀπόκρατος γένηται καὶ τρόπον τινὰ τελευτήσῃ ὁ τοῦ βδελυρῶς καὶ ἀσελγῶς ζῆν αἴτιος, τὸν σώφρονα ἐναυγασθέντες βίον, μετακλαίομεν καὶ μεταστένομεν τῆς παλαιᾶς διαίτης ἑαυτοὺς, ὅτι ἡδονὴν ἀρετῆς προτιμήσαντες, θνητὸν βίον ἀθανάτῳ ὑπεζεύξαμεν. Λαβὼν δὲ οἶκτον τῆς συνεχοῦς ἡμῶν
210 ὀλοφύρσεως ὁ νόμος, εὐμενῶς προσίεται ψυχὰς
M. ἱκετίδας, τὸν δὲ ἐπισεισθέντα τῶν παθῶν Αἰγύπτιον
σκηπτὸν ῥᾳδίως ἀπωθεῖται. —

---

*) Exod. 2, 23. — **) Ibid.

§. 26. *Τῷ δὲ μὴ δεχομένῳ μετάνοιαν Κάϊν δι' ὑπερβολὴν ἄγους ἀδελφοκτονίας, οἰκειοτάτας ἀρὰς* 173 *τίθεται. Πρῶτον μὲν γάρ φησιν αὐτῷ, "Καὶ νῦν* P *ἐπικατάρατος σὺ ἐπὶ τῆς γῆς,"* *) *δηλῶν πρῶτον ὅτι οὐχὶ νῦν ὅτε ἐδολοφόνησεν, ἐναγὴς καὶ ἐπάρατός ἐστιν, ἀλλὰ καὶ πρότερον ὅτε ἐβούλευσε τὸν φόνον, τῆς γνώμης ἴσον τῷ τελείῳ δυναμένης. Ἕως μὲν γὰρ τὰ αἰσχρὰ μόνον ἐννοοῦμεν κατὰ ψιλὴν τοῦ νοῦ φαντασίαν, τότε τῆς διανοίας ἐσμὲν ὕπογοι· δύναται γὰρ καὶ ἀκουσίως ἡ ψυχὴ τρέπεσθαι. Ὅταν δὲ προςγένηται τοῖς βουλευθεῖσιν ἡ πρᾶξις, ὑπαίτιον γίνεται καὶ τὸ βουλεύσασθαι. Τὸ γὰρ ἑκουσίως διαμαρτάνειν ταύτῃ μάλιστα διαγνωρίζεται. Κατάρατον δέ φησι τὸν νοῦν, οὐκ ἀπ' ἄλλου τινὸς, ἢ ἀπὸ τῆς γῆς ἔσεσθαι. Τῶν γὰρ χαλεπωτάτων αὐτοῦ συμφορῶν τὸ περὶ ἕκαστον ἡμῶν γεῶδες αἴτιον εὑρίσκεται. Τὸ γοῦν σῶμα ἢ νόσῳ χρησάμενον, τὰς ἀφ' ἑαυτοῦ προςβαλὸν κῆρας, ἄσης καὶ ἀδημονίας ἑαυτὸν ἐνέπλησεν, ἢ πιανθὲν ἀμέτρως ἀπολαύσει ἡδονῶν ἀμβλυτέρας τὰς εἰς τὸ καταλαμβάνειν ἀκμὰς ἀπειργάσατο. Καὶ μὲν δὴ ἑκάστη τῶν αἰσθήσεων δεκτικὴ βλάβης ἐστίν. Ἢ γὰρ κάλλος ἰδὼν ἔρωτος ἐτρώθη, δεινοῦ πάθους, βέλεσιν· ἢ θάνατον ἀκούσας γένει προςήκοντός τινος ὑπὸ λύπης ἐκάμφθη. Πολλάκις δὲ καὶ γεῦσις αὐτὸν κατέβαλεν, ἀηδέσι χυλοῖς αἰκισαμένη, ἢ πλήθει ἡδέων βαρύνασα. Τῶν μὲν γὰρ πρὸς συνουσίαν οἴστρων τί δεῖ μεμνῆσθαι; Πόλεις ὅλας καὶ χώρας καὶ κλίματα μεγάλα γῆς οὗτοι διέφθειραν, ὧν μάρτυς ἡ ποιητῶν καὶ συγγραφέων πληθὺς σχεδὸν ἅπασα.*

§. 27. *Τὸν δὲ τρόπον καθ' ὃν ἐπὶ τῆς γῆς κατάρατος ὁ νοῦς γίνεται, προςυπογράφει λέγων, "Ἣ ἔχανε τὸ στόμα αὐτῆς, δέξασθαι τὸ αἷμα τοῦ ἀδελφοῦ σου."* **) *Χαλεπὸν γὰρ διοιχθῆναί τε καὶ*

---

*) **Gen. 4, 11.** — **) **Ibid.**

ἀνευρυνθῆναι τὰ τῶν αἰσθήσεων στομία, ὡς ἀχα-
νέσιν αὐτοῖς τὴν τῶν αἰσθητῶν φορὰν ποταμοῦ
πλημμύροντος δίκην, ἐπιχεῖσθαι, μηδενὸς τὴν βίαιον
ὁρμὴν ἀνωθοῦντος. Τότε γὰρ ἐγκαταποθεὶς ὁ νοῦς
τοσούτῳ κλύδωνι βύθιος εὑρίσκεται, μηδ' ὅσον ἀνα-
νήξασθαι καὶ ὑπερκῦψαι δυνάμενος. Ἀλλὰ χρὴ τού-
των ἑκάστῳ καταχρῆσθαι, μὴ πρὸς ἃ δύναται μᾶλ-
λον, ἢ πρὸς τὰ βέλτιστα. Δύναται μὲν γὰρ πάνθ'
ὁρᾶν χρώματα καὶ σχήματα ἡ ὄψις· ἀλλὰ ὁράτω
τὰ φωτὸς μὴ σκότους ἄξια. Δύναται δὲ καὶ τὸ οὖς
πασῶν ἀντιλαμβάνεσθαι φωνῶν· ἀλλ' ἐνίων παρα-
κουέτω. Μυρία γὰρ τῶν λεγομένων αἰσχρά. Μηδ'
211 ὅτι γεύσεώς σοι μετέδωκεν ἡ φύσις, ὦ τετυφωμένε,
M. τρόπον αἰθύης πάντων ἀπλήστως ἐμφοροῦ. Πολλὰ
γὰρ τῶν οὐ τροφίμων μόνον, ἀλλὰ καὶ περιττῶν
νόσους μετὰ χαλεπῆς ὠδῖνος ἔτεκε. Μηδ' ὅτι με- 174
ρῶν τῶν πρὸς γονὰς ἠξιώθης ἕνεκα τῆς διαμονῆς P.
τοῦ παντὸς, φθορὰς καὶ μοιχείας καὶ τὰς ἄλλας
οὐκ εὐαγεῖς μίξεις μετέρχου· ἀλλ' ὅσαι μετὰ νόμου τὸ
ἀνθρώπων σπείρουσί τε καὶ φυτεύουσι γένος. Μηδ'
ὅτι γλώττης καὶ στόματος καὶ φωνητηρίων ὀργάνων
μεμοίρασαι, πάντ' ἐκλάλει καὶ τὰ ἄῤῥητα. Τὸ γὰρ
ἐχεμυθεῖν ἔστιν ὅπου χρήσιμον. Καί μοι δοκοῦσιν
οἱ μαθόντες λέγειν μεμαθηκέναι καὶ ἡσυχάζειν, τῆς
αὐτῆς δυνάμεως περιποιούσης ἑκάτερον. Οἱ δὲ ὅσα
μὴ προσῆκε διεξιόντες οὐ δύναμιν λόγων, ἀλλ' ἡσυ-
χίαν ἀσθενῆ ἐπιδείκνυνται. Διὸ σπουδάζομεν ἕκα-
στον τῶν εἰρημένων στομίων καταδεῖν τοῖς ἀῤῥή-
κτοις ἐγκρατείας δεσμοῖς. "Ὅσα γὰρ οὐχὶ δεσμῷ
καταδεῖται," φησὶ Μωϋσῆς ἐν ἑτέροις *) "ἀκάθαρτα
εἶναι," ὡς ἂν τοῦ κεχαλύσθαι καὶ κεχηνέναι καὶ λε-
λῦσθαι τὰ τῆς ψυχῆς μέρη, κακοδαιμονίας αἰτίου·
τοῦ δὲ συνῆχθαι καὶ συνεσφίγχθαι, καὶ ὀρθὸν βίον
καὶ λόγον ἐργαζομένου. Τὸν ἄθεον οὖν καὶ ἀσεβῆ

*) Num. 19, 15.

Κάϊν δεόντως καταρᾶται, ὅτι τοὺς φωλεοὺς τοῦ συγκρίματος διοίξας ἐπικέχηνε πᾶσι τοῖς ἐκτὸς, εὐχόμενος δι᾽ ἀπληστίαν δέξασθαί τε αὐτὰ καὶ χωρῆσαι, ἐπ᾽ ὀλέθρῳ τοῦ φιλοθέου δόγματος, Ἄβελ.

§. 28. "Ἐργάσεται διὰ τοῦτο τὴν γῆν," *) οὐ γεωργήσει· γεωργὸς μὲν γὰρ πᾶς τεχνίτης, ὅτι τέχνη καὶ ἡ γεωργική. Πολλοὶ δὲ τῶν ἰδιωτῶν γεωπόνοι, τὴν ἄνευ ἐμπειρίας ἕνεκα τῶν ἀναγκαίων μετιόντες ὑπηρεσίαν. Οὗτοι μὲν οὖν, ἐν οἷς δρῶσι, πολλὰ βλάπτουσιν, ἐπιστάτου μὴ τυχόντες· ἃ δ᾽ ἂν καὶ εὖ ἐργάσωνται, κατὰ τύχην οὐ σὺν λόγῳ κατορθοῦσι. Τῶν δὲ γεωργῶν τὰ μετ᾽ ἐπιστήμης ἐνεργούμενα, πάντ᾽ ἔστιν ἐξ ἀνάγκης ὠφέλιμα. Τούτου χάριν ὁ νομοθέτης τῷ δικαίῳ Νῶε τὴν γεωργικὴν ἀνῆψε τέχνην, **) ἐκδιδάσκων ὅτι, καθάπερ γεωργὸς ἀγαθὸς, ὁ σπουδαῖος τῆς τε ἀγρίας ὕλης τὰ μὲν ὅσα βλαβερὰ ἔρνη πρὸς παθῶν ἢ κακιῶν φυτευθέντα ἐκκόπτει, τὰ δὲ ὅσα μὴ καρποτόκα μὲν, δύναται δὲ ἀντὶ τείχους φραγμὸς εἶναι ψυχῆς ὀχυρώτατος, ἐᾷ. Καὶ πάλιν αὖ τῆς ἡμέρου πάσης κατὰ διαφέροντας καὶ οὐχὶ τοὺς αὐτοὺς τρόπους ἐπιμελεῖται, τῶν μὲν ἀφαιρῶν, τοῖς δὲ προστιθεὶς, καὶ μὲν εἰς μέγεθος αὔξων, τὰ δὲ εἰς βραχύτητα συντέμνων. Ἤδη δὲ καὶ ἄμπελον ἰδὼν εὐθηνοῦσαν, τὰς κληματίδας ἐκκλίνει κατὰ γῆς, τάφρους ὀρυξάμενος, καὶ τὸν χοῦν αὖθις
212 ἐπενεγκών· αἱ δ᾽ ἀντὶ μερῶν ὅλαι, καὶ ἀντὶ θυγα-
M. τέρων μητέρες οὐκ εἰς μακρὰν ἐγένοντο, ἔτι καὶ τῆς φύσει μητρὸς ἀποδύσασαι τὸ γῆρας. Παυσαμένη γὰρ τοῦ διανέμειν καὶ κατακερματίζειν τὴν τροφὴν 175
πολλοῖς ἐγγόνοις, ἅτε ἱκανοῖς γεγονόσιν ἐξ ἑαυτῶν P.
τρέφεσθαι, παρ᾽ ἣν αἰτίαν λιμώττουσα ἠσθένει, μόλις διακορὴς ἐγένετο, ὡς πιανθεῖσαν πάλιν ἀνηβῆσαι. Ἕτερον δὲ ἐθεασάμην, ὃς τῶν ἡμέρων δένδρων οὐκ εὐγενὲς ὃ μὲν ὑπερεῖχε τῆς γῆς ἔρνος ἔτεμε, μικρὸν

*) Gen. 4, 12. — **) Gen. 9, 20.

δὲ ὅσον πρὸς αὐταῖς ῥίζαις ἀνέχον εἴασε. Λαβὼν δ᾽ ἀπ᾽ εὐγενοῦς ἑτέρου κλάδον εὐφυᾶ, τὸν μὲν ἄχρι τῆς ἐντεριώνης καθ᾽ ἓν μέρος ἀπέξεσε, τὸ δὲ πρὸς ταῖς ῥίζαις οὐ κατὰ πολλοῦ βάθους ἐκτεμὼν, ἀλλ᾽ ὥςτε διαστῆσαι μόνον τὴν ἕνωσιν, τὸ ἀπεξεσμένον ὑπενεγκὼν ἐνηρμόσατο τῷ διαστήματι. Ἐξ ὧν ἀμφοτέρων μία δένδρου φύσις ἡνωμένη γίνεται, ἑκατέρου μέρους ἀντίδοσιν τῆς ὠφελείας θατέρῳ ποιουμένου. Αἱ μὲν γὰρ ῥίζαι τὸν ἐφαρμοσθέντα τρέφουσι καὶ κωλύουσιν ἀφαναίνεσθαι κλάδον, ὁ δὲ εὐκαρπίας ἀμοιβὴν τροφεῖα ἀντιχαρίζεται ταύταις. Ἔστι καὶ ἄλλα μυρία ἔργα τεχνικὰ τῶν κατὰ γεωργίαν, ὧν περιττὸν ἐν τῷ παρόντι μεμνῆσθαι· τοῦ γὰρ διαφορὰν ἐνδείξασθαι μόνον ἐργάτου γῆς καὶ γεωργοῦ χάριν ταῦτ᾽ ἐμηκύναμεν.

§. 29. Ὁ μὲν δὴ φαῦλος τὸ γεῶδες σῶμα καὶ τὰς συγγενεῖς αἰσθήσεις αὐτῷ, καὶ ὅσα ἐκτὸς αἰσθητὰ ἐργαζόμενος ἀτέχνως οὐ παύεται: καὶ βλάπτει μὲν τὴν παναθλίαν ψυχὴν ἑαυτοῦ, βλάπτει δὲ καὶ ὃ δοκεῖ μάλιστα ὠφελεῖν, τὸ ἴδιον σῶμα. Τῷ δὲ σπουδαίῳ — τέχνης γὰρ ἔμπειρος γεωργικῆς ἐστιν — ἡ ὕλη πᾶσα τεχνικῶς καὶ σὺν λόγῳ μεθοδεύεται. Ὅταν μέν γε αἱ αἰσθήσεις ἐξυβρίσωσι, πρὸς τὰ ἐκτὸς αἰσθητὰ μετὰ ἀκαταχέτου ῥύμης ἐκφερόμεναι, μηχανῇ τινι ὧν ἡ τέχνη κατεσκευάσατο, ῥαδίως συστέλλονται· ὅταν δὲ παλμῶδες ἐν ψυχῇ πάθος ὠμὸν γένηται, κνησμοὺς ἢ γαργαλισμοὺς ἐξ ἡδονῆς ἢ ἐπιθυμίας, ἢ πάλιν δηγμούς τε καὶ πτοίας ἐκ φόβου καὶ λύπης ἐμποιοῦν, προευτρεπισθέντι σωτηρίῳ πεπαίνεται φαρμάκῳ. Καὶ μὴν εἴ τις ἐπινεμομένη κακία μηκύνεται, τῆς ἐν σώματι ἑρπηνώδους ἀδελφὴ νόσου, λόγῳ τομεῖ τῷ κατ᾽ ἐπιστήμην τέμνεται. Τὸν μὲν δὴ τρόπον τοῦτον τὰ τῆς ἀγρίας ὕλης τιθασσεύεται· τῶν δὲ ἡμέρων καὶ καρποτόκων ἀρετῶν τὰ φυτὰ πάντα, βλαστὰ μὲν ἔχει τὰ ἐπιτηδεύματα, καρπὸν δὲ τὰς καλὰς πράξεις. Ὧν ἕκαστον ἡ γεωρ-

γικὴ ψυχῆς τέχνη συναύξει, καὶ τό γε ἐφ' ἑαυτὴν ἧκον μέρος ἀπαθανατίζεται ταῖς ἐπιμελείαις.

§. 30. Ἐναργῶς οὖν ἐπιδέδεικται γεωργὸς μὲν ὁ ἀστεῖος, γεωπόνος δὲ ὁ φαῦλος· καὶ εἴθε μέντοι γεωπονοῦντι αὐτῷ προσετίθει τὴν ἰσχὺν τὸ περὶ αὐ-
213 τὸν γεῶδες, ἀλλὰ μὴ καὶ τῆς οὔσης ὑφῄρει δυνά-
M μεως. Λέγεται γάρ, ὅτι "οὐ προσθήσει τὴν ἰσχὺν 1
αὐτῆς δοῦναί σοι."*) Ὁποῖός τις οὖν γένοιτο ἄνθρωπος, ἐσθίων μὲν ἢ πίνων ἀεὶ, ἐμπιπλάμενος δὲ μηδέποτε· ἢ ταῖς μετὰ γαστέρα χρώμενος ἐπαλλήλοις ἡδοναῖς, καὶ ἐπὶ ταῖς πρὸς συνουσίαν ὀρέξεσιν ἀκμάζων; Ἡ μὲν γὰρ ἔνδεια ἀσθένειαν, ἰσχὺν δὲ ἡ πλήρωσις ἀπεργάζεται· τὸ δὲ ἀκόρεστον ὃ μετ' ἀφθονίας τῶν ἐπιτηδείων σὺν ἀκρασίᾳ δεινῇ λιμός ἐστιν. Ἄθλιοι δὲ ὧν μεστοὶ μὲν οἱ ὄγκοι, κεναὶ δὲ ἐπιθυμίαι καὶ ἔτι διψῶσαι. Ἀλλὰ τοὺς ἐραστὰς ἐπιστήμης ἐν ᾠδῇ μεγάλῃ φησὶν, ὅτι "ἀνεβίβασεν ἐπὶ τὴν ἰσχὺν τῆς γῆς, καὶ ἐψώμισε γεννήματα ἀγρῶν." **) Δηλονότι ὁ μὲν ἄθεος ἀτυχεῖ τοῦ τέλους, ἵνα μᾶλλον ὀδυνᾶται, μὴ προστιθεμένης ἰσχύος οἷς ἐνεργεῖ, τὸ ἐναντίον δὲ ὑφαιρουμένης. Οἱ δὲ μετιόντες ἀρετὴν, ὑπεράνω τῶν ὅσα γεώδη καὶ θνητὰ ἱστάμενοι, τοῦ κράτους αὐτῶν κατὰ πολλὴν περιουσίαν ἀλογοῦσιν, ἅτε ἡγεμόνι χρησάμενοι τῆς ἀνόδου θεῷ, ὃς καὶ τὰ γεννήματα τῶν ἀγρῶν εἰς ἀπόλαυσιν καὶ χρῆσιν ὠφελιμωτάτην αὐτοῖς ὀρέγει, τὰς μὲν ἀρετὰς ἀγροῖς, ἃ δ' ἀποκύουσι γεννήμασι παρὰ τὴν γένεσιν ἀπεικάζων. Γίνεται μὲν γὰρ ἐκ φρονήσεως τὸ φρονεῖν, ἐκ δὲ σωφροσύνης τὸ σωφρονεῖν, ἐκ δὲ εὐσεβείας τὸ εὐσεβεῖν, καὶ ἀφ' ἑκάστης τῶν ἄλλων τὸ κατ' αὐτὴν ἐνέργημα.

§. 31. Ταῦτα δὲ ψυχῆς τροφαὶ κυρίως εἰσὶ, τῆς θηλάζειν ἱκανῆς, ὡς ὁ νομοθέτης φησὶ, "Μέλι

---

*) Exod. 2, 12 (?). — **) Deut. 32, 13.

ἐκ πέτρας καὶ ἔλαιον ἐκ στερεᾶς πέτρας·"*) πέτραν τὴν στεῤῥὰν καὶ ἀδιάκοπον ἐμφαίνων σοφίαν θεοῦ, τὴν τροφὸν καὶ τιθηνοκόμον καὶ κουροτρόφον τῶν ἀφθάρτου διαίτης ἐφιεμένων. Αὕτη γὰρ, οἷα μήτηρ τῶν ἐν κόσμῳ γενομένη, τὰς τροφὰς ἐξ ἑαυτῆς εὐθὺς ἤνεγκε τοῖς ἀποκυηθεῖσιν· ἀλλ' οὐχ ἅπαντα τροφῆς θείας ἠξιώθη, τὰ δὲ ὅσα τῶν ἐκγόνων, ἐπάξια τῶν γεννησάντων εὑρίσκετο· πολλὰ γὰρ ἔσθ' ἃ λιμὸς ἀρετῆς, ὁ τοῦ περὶ τὰ σιτία καὶ ποτὰ σχετλιώτερος, διέφθειρε. Φέρεται δὲ ἡ τῆς θείας σοφίας πηγὴ, τοτὲ μὲν ἠρεμαιοτέρῳ καὶ πρᾳοτέρῳ ῥεύματι, τοτὲ δὲ αὖ μετ' ὀξυτέρου τοῦ τάχους καὶ πλείονος φορᾶς τε καὶ ῥύμης. Ὅταν μὲν οὖν ἠρέμα κατέρχηται, μέλιτος γλυκαίνει τὸν τρόπον· ὅταν δὲ μετ' ὠκύτητος ἀθρόα ὕλη καθάπερ ἔλαιον ψυχικοῦ γίνεται φωτός. Τὴν πέτραν ταύτην ἑτέρωθι συνωνυμίᾳ χρώμενος καλεῖ Μάννα, τὸν πρε-
4 σβύτατον τῶν ὄντων λόγον θεῖον, ὃς ὀνομάζεται τὸ γενικώτατόν τι, ἀφ' οὗ δύο ἐγκρίδες, ἡ μὲν ἐκ μέλιτος, ἡ δ' ἐξ ἐλαίου, γίνονται· τουτέστιν ἀγωγαὶ δύο σφόδρα ἀδιάκριτοι, καὶ σπουδῆς ἄξιαι, κατ' ἀρχὰς μὲν γλυκύτητα ἐμποιοῦσαι τῶν ἐπιστήμης θεωρημάτων, αὖθις δὲ καὶ φῶς τηλαυγέστατον ἀπα- 177
στράπτουσαι, τοῖς μὴ ἀψικόρως, κραταιῶς δὲ καὶ P.
παγίως, ἐξ ἀδιαστάτου καὶ συνεχοῦς ἐπιμονῆς ἐλλαβομένοις ὧν ἐρῶσιν. Οὗτοι μὲν οὖν, ὡς ἔφην, ἐπὶ "τὴν ἰσχὺν τῆς γῆς ἀναβιβάζονται."**)

§. 32. Τῷ δὲ ἀθέῳ Κάϊν οὐδὲ ἡ γῆ τῶν εἰς εὐτονίαν προστίθησι, καίτοι μηδὲν ἔξω τῶν περὶ αὐτῆς πραγματευομένῳ. Διὸ καὶ κατ' ἀκόλουθον "στένων καὶ τρέμων ἐπὶ τῆς γῆς εὑρίσκεται,"***) τουτέστι λύπῃ καὶ φόβῳ χρώμενος. Τοιοῦτος δὲ ὁ φαῦλος κακοδαίμονος βίος, τῶν τεσσάρων παθῶν τὰ ὀδυ-

*) Deut. 23, 13. — **) Ibid. — ***) Gen. 4, 12.

νηρότερα ἀποκεκληρωμένος, φόβον τε καὶ λύπην, τὴν μὲν τοῦ στένειν, τὸν δὲ τοῦ τρέμειν συνώνυμον. Ἀνάγκη γὰρ ἢ παρεῖναί τι κακὸν, ἢ μέλλειν γε τῷ τοιούτῳ· τοῦ μὲν οὖν μέλλοντος ἡ προσδοκία φόβον, τοῦ δὲ παρόντος ἡ χρῆσις λύπην ἐγέννησεν. Ἀλλ' ὅ γε μετιὼν ἀρετὴν ἐν εὐπαθείαις ἀναλογούσαις ἐξετάζεται. Ἢ γὰρ περιπεποίηται τὸ ἀγαθὸν, ἢ περιποιήσεται. Τὸ μὲν οὖν ἔχειν, ἀποτελεῖ χαρὰν, κτημάτων τὸ κάλλιστον· τὸ δὲ σχήσειν προσδοκᾶν, τὴν τροφὴν φιλαρέτων ψυχῶν, ἐλπίδα, δι' ἣν ὄκνον μεθιέμενοι σὺν αὐτοκελεύστῳ ἑτοιμότητι πρὸς τὰ καλὰ τῶν ἔργων ἀπαντῶμεν. Ἧι μὲν οὖν ἀποκεκύηκε δικαιοσύνη ψυχῇ γενεὰν ἄῤῥενα, τὸν δίκαιον λογισμὸν, ταύτῃ τὰ λυπηρὰ πάντα ἐξῴκισται. Μαρτυρήσει δὲ ἡ Νῶε γένεσις, ὃ ἑρμηνεύεται δίκαιος, ἐφ' οὗ λέγεται, "Οὗτος διαναπαύσει ἡμᾶς ἀπὸ τῶν ἔργων ἡμῶν, καὶ ἀπὸ τῶν λυπῶν τῶν χειρῶν ἡμῶν, καὶ ἀπὸ τῆς γῆς ἧς κατηράσατο κύριος ὁ θεός." *) Πέφυκε γὰρ ἡ δικαιοσύνη πρῶτον μὲν ἀνάπαυλαν ποιεῖν ἀντὶ καμάτου, τὰ μεθόρια κακίας καὶ ἀρετῆς ἐξαδιαφοροῦσα, πλοῦτον καὶ δόξαν, καὶ ἀρχὰς καὶ τιμὰς, καὶ ὅσα τούτων ἀδελφὰ, περὶ ἃ πραγματεύεται τὸ πλεῖστον ἀνθρώπων γένος· ἔπειτα λύπας ἀναιρεῖν, αἳ συνίστανται κατὰ τὰς ἐξ ἡμῶν αὐτῶν ἐνεργείας. Οὐ γὰρ, ὥς ἔνιοι τῶν ἀσεβῶν, τὸν θεὸν αἴτιον κακῶν φησι Μωϋσῆς, ἀλλὰ τὰς ἡμετέρας χεῖρας, συμβολικῶς τὰ ἡμέτερα παριστὰς ἐγχειρήματα, καὶ τὰς ἑκουσίους τῆς διανοίας πρὸς τὸ χεῖρον τροπάς. —

§. 33. Ἐπὶ πᾶσι μέντοι "ἀπὸ τῆς γῆς ἧς κα-
τηράσατο κύριος ὁ θεὸς διαναπαύειν." **). Αὕτη δέ
125 ἐστι κακία, ἣ ταῖς τῶν ἀφρόνων ἐνίδρυται ψυχαῖς,
M. ἧς καθάπερ νόσου βαρείας ἀποτροπὴ ὁ δίκαιος εὑρί-
σκεται, πανακείας τυχὼν δικαιοσύνης. Ὅταν μέντοι

*) Gen. 5, 29. — **) Ibid.

δηώσηται τὰ κακὰ, χαρᾶς ἀναπίμπλαται, ὥςπερ ἡ Σάῤῥα. Φησὶ γὰρ, „Γέλωτά μοι ἐποίησε κύριος,“ καὶ προςτίθησιν, „ὃς γὰρ ἂν ἀκούσῃ, συγχαρεῖταί μοι.“ *) Δημιουργὸς γὰρ ὁ θεὸς σπουδαίου γέλω- 178
τος καὶ χαρᾶς ἐστιν, ὥςτε οὐ γενέσεως πλάσμα τὸν P.
Ἰσαὰκ, ἔργον δὲ τοῦ ἀγεννήτου νομιστέον. Εἰ γὰρ γέλως μὲν Ἰσαὰκ ἑρμηνεύεται, γέλωτος δὲ ποιητὴς ὁ θεὸς κατὰ τὴν Σάῤῥας ἀψευδῆ μαρτυρίαν, καὶ τοῦ Ἰσαὰκ ὀρθότατα λέγοιτ' ἂν εἶναι πατήρ. Μεταδίδωσι δὲ καὶ τῷ σοφῷ τῆς ἰδίου κλήσεως Ἀβραὰμ, ᾧ καὶ τὸ χαίρειν ἐπιγέννημα σοφίας ἐκτεμὼν λύπην δεδώρηται. Εἴ τις οὖν ἱκανός ἐστιν ἀκοῦσαι τῆς θεοῦ ποιητικῆς, γέγηθε μὲν ἐξ ἀνάγκης αὐτὸς, συγχαίρει δὲ καὶ τοῖς ἀκροατικῶς πρότερον ἐσχηκόσιν. Ἐν δὲ τῇ τοῦ θεοῦ ποιητικῇ μύθου μὲν πλάσμα οὐδὲν εὑρήσεις, τοὺς δὲ ἀληθείας ἀσινεῖς κανόνας ἅπαντας ἐστηλιτευμένους· οὐδ' αὐτὰ φωνῆς μέτρα καὶ ῥυθμοὺς, καὶ μέλη ἀκοὰς διὰ μουσικῆς ψυχαγωγοῦντα, τὰ δὲ φύσεως αὐτῆς τελειότατα ἔργα, τὴν ἴδιον εὐαρμοστίαν κεκληρωμένα. Καθάπερ δὲ ὁ νοῦς ἀκροατικῶς ἔχων τῶν τοῦ θεοῦ ποιημάτων χαίρει, οὕτω καὶ ὁ λόγος, συνῳδὸς ὢν τοῖς διανοίας ἐνθυμήμασι καὶ τρόπον τινὰ προςέχων αὐτοῖς ἐξ ἀνάγκης γέγηθε.

§. 34. Δηλώσει δὲ ὁ τῷ πανσόφῳ Μωϋσεῖ δοθεὶς χρησμὸς, ἐν ᾧ περιέχεται ταῦτα, „Οὐκ ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου, ὁ Λευΐτης; Ἐπίσταμαι ὅτι λαλήσει αὐτός σοι· καὶ ἰδοὺ αὐτὸς ἐξελεύσεται εἰς συνάντησίν σοι, καὶ ἰδών σε χαρήσεται ἐν ἑαυτῷ.“ **) Τὸν γὰρ προφορικὸν λόγον διανοίας ἀδελφὸν ὄντα ἐπίστασθαί φησιν ὁ δημιουργὸς ὅτι λαλεῖ· πεποίηκε γὰρ αὐτὸν ὥςπερ ὄργανον τοῦ συγκρίματος ἡμῶν παντὸς, ἔναρθρον ἠχήν. Οὗτος ὁ λόγος ἐμοί τε καὶ σοὶ καὶ πᾶσιν ἀνθρώποις φωνεῖ τε καὶ λαλεῖ καὶ ἑρμηνεύει

---

*) Gen. 21, 6. — **) Exod. 4, 14.

τὰ ἐνθυμήματα, καὶ προσεξέρχεταί γε ὑπαντησόμε-
νος, οἷς ἡ διάνοια λελόγισται. Ἐπειδὰν γὰρ ὁ νοῦς
ἐξαναστὰς πρός τι τῶν οἰκείων ὁρμὴν λάβῃ, ἢ κι-
νηθεὶς ἔνδοθεν ἐξ ἑαυτοῦ, ἢ δεξάμενος ἀπὸ τῶν
ἐκτὸς τύπους διαφέροντας, κυοφορεῖ τε καὶ ὠδίνει
τὰ νοήματα· καὶ βουλόμενος ἀποτεκεῖν ἀδυνατεῖ,
μέχρις ἂν ἡ διὰ γλώττης καὶ τῶν ἄλλων φωνητηρίων
ὀργάνων ἠχὴ δεξαμένη, μαίας τρόπον, εἰς φῶς προα-
216 γάγῃ τὰ νοήματα. Φωνὴ δὲ τηλαυγεστάτη νοη-
M. μάτων ἐστὶν αὕτη. Καθάπερ γὰρ τὰ ἀποκείμενα ἐν
σκότῳ κέκρυπται, ἕως ἂν ἐπιλάμψαν φῶς αὐτὰ δεί-
ξῃ· τὸν αὐτὸν τρόπον τὰ ἐνθυμήματα ἐν ἀοράτῳ
χωρίῳ, διανοίᾳ, ταμιεύεται, μέχρις ἂν οἷα φῶς ἐν-
αυγάσασα ἡ φωνὴ πάντα ἐκκαλύψῃ.

§. 35. Παγκάλως οὖν ὡς εἴρηται, ὅτι ἐξέρχεται
ὁ λόγος τοῖς νοήμασιν ὑπαντησόμενος, καὶ ἐπιτρέχει
σπουδάζων καταλαβεῖν αὐτά, διὰ τὸν τοῦ μηνῦσαι
πόθον. Ἑκάστῳ γὰρ τὸ ἴδιον ἔργον ποθεινότατον·
ἴδιον δὲ λόγου τὸ λέγειν, πρὸς ὃ οἰκειώσει φυσικῇ 17
τινι σπεύδει. Γέγηθε δὲ καὶ χαίρει, ὅταν, ὥσπερ R
ἐναυγασθεὶς, ἴδῃ καὶ καταλάβῃ τὸν νοῦν τοῦ δη-
λουμένου πράγματος ἄκρως. Τότε γὰρ περιδραξά-
μενος ἄριστος ἑρμηνεὺς γίνεται. Τοὺς γοῦν μὴ πάνυ
τῶν νοημάτων ἐν ταῖς τοῦ λέγειν διεξόδοις περικρα-
τοῦντας ἀδολέσχους καὶ ἀπεραντολόγους ὄντας πα-
ραιτούμεθα, κενὰς καὶ μακρὰς ἔτι δὲ ἀψύχους, κυ-
ρίως εἰπεῖν, ῥήσεις συνείροντας. Ἀσχημονῶν οὖν ὁ
τῶν τοιούτων λόγος δικαίως ἂν στένοι· ὥστε ἔμπα-
λιν χαίρειν ἀναγκαῖον τὸν ἐκ περισκέψεως τῶν ἐνθυ-
μημάτων, ἱκανῶς ἐπὶ τὴν ὧν εἶδε καὶ ὧν δυνατῶς
κατέλαβε μήνυσιν ἐλθόντα. Γνωρίζεται δὲ τοῦτο
σχεδὸν ἅπασιν ἐκ τῆς καθ᾽ ἑκάστην ἡμέραν πείρας·
ὅταν μὲν γὰρ ἄκρως εἰδῶμεν ὃ λέγομεν, χαίρων καὶ
γεγηθὼς ὁ λόγος, ἐμφαντικωτάτων καὶ κυρίων ὀνο-
μάτων πλουτεῖ, οἷς κατὰ πολλὴν περιουσίαν εὐτρό-

χως καὶ ἀπταίστως, ἔτι δὲ ἐναργῶς καὶ ἀνυσίμως τὸ δηλούμενον παρίστησιν. Ὅταν δὲ τοῦ νοήματος ἐπαμφοτερίζῃ κατάληψις, ὑπὸ δεινῆς ἀπορίας προσεχῶν καὶ εὐθυβόλων ὀνομάτων παραπαίων ἀκυρολογεῖ. Διόπερ αὐτός τε ἐν ἀηδίᾳ καὶ ἄσῃ περιῤῥέεταί τε καὶ πλανώμενος γίνεται, τούς τε ἀκούοντας ἀντὶ τοῦ πείθειν τὰ ὦτα ἀλγεῖν ἀναγκάζει.

§. 36. Μήτε δὲ ὁ πᾶς λόγος ὑπαντάτω, μήτε πᾶσι τοῖς ἐνθυμήμασιν, ἀλλ' ὁ τέλειος Ἀαρὼν τοῖς τοῦ τελειοτάτου Μωϋσέως. Ἐπεὶ τίνος ἕνεκα τῷ "Ἰδοὺ Ἀαρὼν ὁ ἀδελφός σου" προσέθηκεν "ὁ Λευΐτης," εἰ μὴ τοῦ διδάξαι χάριν, ὅτε μόνῳ τῷ Λευΐτῃ καὶ ἱερεῖ καὶ σπουδαίῳ λόγῳ προςήκει μηνύειν τὰ ἐνθυμήματα, ψυχῆς τελείας ὄντα βλαστήματα; Μὴ γάρ ποτε φαύλου λόγος ἑρμηνεὺς γένοιτο δογμάτων θείων, — τὸ γὰρ κάλλος αὐτῶν οἰκείοις μιάσμασιν αἰσχύνει, — μηδ' ἔμπαλιν σπουδαίου προφορᾷ τὰ ἀκόλαστα καὶ αἰσχρὰ μηνύοιτο, ἀλλ' ἀεὶ τὴν τῶν ἁγίων διήγησιν ἱεροὶ καὶ ἅγιοι ποιείσθωσαν λόγοι. Ἔν τινι
17 τῶν εὐνομωτάτων πόλεων ἔθος εἶναί φασι τοιοῦτον.
1. Ἐπειδάν τις ἢ βουλῇ ἢ δήμῳ τῶν μὴ βεβιωκότων ὀρθῶς ἐπιχειρῇ γνώμην εἰσηγεῖσθαι, κωλύεται μὲν αὐτὸς δι' ἑαυτοῦ τοῦτο πράττειν, ἀναγκάζεται δὲ πρὸς τῶν ἀρχόντων ἀνενεγκεῖν τὴν γνώμην ἑνὶ τῶν καλῶν καὶ ἀγαθῶν ἀνδρῶν. Εἶτ' ἐκεῖνος ἀναστὰς ἃ ἤκουσε διηγεῖται, ἀπεῤῥαμμένον τὸ στόμα τοῦ διδάξαντος, ὁ ἐξ ὑπογυίου μαθητὴς ἀναφανεὶς, καὶ ἀλλοτρίας εὑρέσεις ἐπιδείκνυται, οὐδ' ἀκροατοῦ τάξιν ἢ θεατοῦ τὸν ἐπινενοηκότα λαχεῖν ἀξιώσας. Οὕτως οὐδὲ ὠφεληθῆναί τινες πρὸς ἀδίκων ἀξιοῦσιν, ἀλλὰ τῆς γενησομένης ὠφελείας μεῖζον τὸ ἐκ παρακολουθούσης βλα- 180
βερὸν αἰσχύνης νομίζουσι. P.

§. 37. Τοῦτο δίδαγμα Μωϋσῆς ὁ ἱερώτατος ἔοικεν ἀναδιδάξαι· τοιοῦτον γάρ ἐστι τὸ Ἀαρὼν τὸν

*Λευΐτην ὑπαντᾶν τῷ ἀδελφῷ Μωϋσεῖ, καὶ "ἰδόντα χαίρειν ἐν ἑαυτῷ."* *) *Τὸ δὲ ἐν ἑαυτῷ χαίρειν ἐμφαίνει δίχα τοῦ λεχθέντος ἤδη καὶ πολιτικώτερον δόγμα, δηλοῦντος τοῦ νομοθέτου τὴν γνήσιον καὶ οἰκειοτάτην ἀνθρώπων χαράν. Κυρίως γὰρ οὔτε ἐπὶ χρημάτων ἢ κτημάτων περιουσίᾳ, ἢ δόξης λαμπρότητι, οὐδὲ συνόλως ἐπί τινι τῶν ἐκτὸς ἀψύχων τε ὄντων καὶ ἀβεβαίων, καὶ ἐξ αὐτῶν τὰς φθορὰς δεχομένων χαίρειν ἔνεστι· καὶ μὴν οὐδὲ ἐπὶ ῥώμῃ καὶ εὐτονίᾳ καὶ τοῖς ἄλλοις σώματος πλεονεκτήμασιν, ἃ καὶ τῶν φαυλοτάτων ἐστὶ κοινά, καὶ τοῖς ἔχουσι πολλάκις ὄλεθρον ἀπαραίτητον ἤνεγκεν. Ἐπεὶ οὖν ἐν τοῖς τῆς ψυχῆς μόνοις ἀγαθοῖς ἡ ἀνόθευτος χαρὰ καὶ ἀκιβδήλευτος εὑρίσκεται, ἐν ἑαυτῷ δὴ πᾶς σοφὸς χαίρει, οὐκ ἐν τοῖς περὶ αὐτόν. Τὰ μὲν γὰρ ἐν ἑαυτῷ διανοίας εἰσὶν ἀρεταί, ἐφ᾽ αἷς ἄξιον σεμνύνεσθαι· τὰ δὲ περὶ αὐτόν, ἢ ἡ εὐπάθεια σώματος, ἢ ἡ τῶν ἐκτὸς ἀφθονία, ἐφ᾽ οἷς οὐ μεγαλαυχητέον.*

§. 38. *Ἐπιδεδειχότες οὖν, ὡς ἐνῆν, διὰ μάρτυρος ἀψευδεστάτου Μωϋσέως, ὅτι σοφοῦ τὸ χαίρειν ἴδιον, αὖθις ἐπιδείξομεν ὅτι καὶ τὸ ἐλπίζειν, οὐχ ἑτέρῳ χρώμενοι μάρτυρι. Τὸν γὰρ τοῦ Σὴθ υἱὸν*
218 *ὄνομα Ἐνώς, ἑρμηνεύεται δὲ ἐλπίς. "Οὗτος ἤλπισε*
M. *πρῶτον," φησίν, "ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ*
*θεοῦ,"* **) *λέγων ὑγιῶς. Ἀνθρώπῳ γὰρ τῷ γε πρὸς ἀλήθειαν τί ἂν γένοιτο οἰκειότερον ἐλπίδος καὶ προσδοκίας κτήσεως ἀγαθῶν παρὰ τοῦ μόνου φιλοδώρου θεοῦ; Τοῦτό ἐστιν, εἰ δεῖ τὸ ἀληθὲς εἰπεῖν, ἡ μόνη κυρίως γένεσις ἀνθρώπων, ὡς τῶν μὴ ἐλπιζόντων ἐπὶ θεὸν λογικῆς φύσεως οὐ μεμοιραμένων. Διὸ καὶ προειπὼν ἐπὶ τοῦ Ἐνώς, ὅτι "οὗτος ἤλπισεν ἐπικαλεῖσθαι τὸ ὄνομα κυρίου τοῦ θεοῦ," ῥητῶς ἐπιφέ-*

---

*) **Exod. 4, 14.** — **) **Gen. 4, 26.**

ρει, „Αὕτη βίβλος γενέσεως ἀνθρώπων,“ *) σπουδαιολογῶν. Ἐγγράφεται γὰρ τῇ θεοῦ βίβλῳ, ὅτι μόνος εὔελπις ἄνθρωπος· ὥςτε κατὰ τὰ ἐναντία ὁ δύςελπις οὐκ ἄνθρωπος. Ὅρος οὖν τοῦ μὲν συγκρίματος ἡμῶν ζῶον λογικὸν θνητόν ἐστι· τοῦ δὲ κατὰ Μωϋσῆν ἀνθρώπου, διάθεσις ψυχῆς ἐπὶ τὸν ὄντως ὄντα θεὸν ἐλπίζουσα. Ἀστεῖοι μὲν οὖν χαρὰν καὶ ἐλπίδα κλῆρον λαχόντες εὐδαίμονα ἢ ἐχέτωσαν ἢ προςδοκάτωσαν πάντως ἀγαθά· φαῦλοι δὲ, ὧν Κάϊν ἐστὶ θιασώτης, ἐν λύπαις καὶ φόβοις ὄντες, ἢ μετουσίαν ἢ προςδοκίαν κακῶν, ἀργαλεωτάτην μερίδα, καρπούσθωσαν, ἐπὶ μὲν τοῖς ἐν χερσὶν ὀδυνηροῖς στένοντες, ἐπὶ δὲ τοῖς προσδοκωμένοις φοβεροῖς τρέ- 181
μοντές τε καὶ φρίττοντες.**) — P.

§. 39. Ἀλλὰ ταῦτα μὲν ἀρκούντως λελέχθω· τὰ δὲ ἑξῆς ἐξερευνήσωμεν. „Καὶ εἶπε,“ φησὶ, „Κάϊν πρὸς κύριον, μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι.“ ***) Τοῦθ᾽ οἷόν ἐστιν ἀπὸ τῶν ὁμοίων φανεῖται. Εἰ θαλαττεύουσαν ναῦν ἀπολείποι κυβερνήτης, ἆρ᾽ οὐκ ἀνάγκη τὰ περὶ πλοῦν τῇ νηῒ διαμαρτάνεσθαι; Τί δέ; Εἰ τέθριππον ἡνίοχος ἐν ἱπποδρομίας ἀγῶνι, οὐκ ἀναγκαῖον ἄτακτον καὶ πλημμελῆ τὸν δρόμον γίνεσθαι τῷ τεθρίππῳ; Τί δέ; Ὅταν ἀπολειφθῇ πόλις πρὸς ἀρχόντων ἢ νόμων — ἐν ἄρχουσι δὲ γράφονται δήπου καὶ νόμοι — οὐκ ἀναρχίᾳ καὶ ἀνομίᾳ, κακοῖς μεγίστοις, ἡ πόλις ἐκείνη διαφθείρεται; Καὶ μὴν σῶμα μὲν ἀπουσίᾳ ψυχῆς, ψυχὴ δὲ ἀπουσίᾳ λογισμοῦ, λογισμὸς δὲ ἐνδείᾳ ἀρετῆς πέφυκε παραπολέσθαι. Εἰ δὲ ἕκαστον ὧν εἶπον ζημία τοῖς ἀπολειφθεῖσι γίνεται παρ᾽ αὐτῶν, πόσῃ τινὶ χρήσεσθαι κακοπραγίᾳ τοὺς ὑπὸ θεοῦ καταλειφθέντας γνωρίζομεν; Οὓς ἀποστραφεὶς, καθάπερ λειποτάκτας, ἱερω-

---

*) Gen. 5, 1. — **) Gen. 4, 14. — ***) Gen. 4, 13.

τούτων θεσμῶν ἐξώρισεν, ἀναξίους ἐπιστασίας καὶ ἀρχῆς τῆς ἑαυτοῦ δοκιμάσας. Συνόλως γὰρ εἰδέναι χρὴ, ὅτι ὁ πρὸς τοῦ κρείττονος καὶ ὠφελοῦντος ἀφεθεὶς, ἐν αἰτίαις καὶ ἐγκλήμασι μεγίστοις γίνεται. Πότε γὰρ εἴποις ἂν τὸν ἄτεχνον μάλιστα βλάπτεσθαι; Ἆρ᾽ οὐχ ὅταν πρὸς ἐπιστήμης κατὰ τὸ παντελὲς ἐαθῇ; Πότε δὲ τὸν ἀμαθῆ καὶ λίαν ἀπαίδευτον; Οὐχ ὅταν ἀπόλειψιν τὴν ἐπ᾽ αὐτῷ χρηματίσῃ
219 διδασκαλία καὶ μάθησις; Πότε δὲ τοὺς ἄφρονας
M. κακοδαιμονίζομεν μᾶλλον; Οὐχ ὅταν φρόνησις αὐτοὺς εἰς ἅπαν ἀπώσηται; Πότε δὲ τοὺς ἀκολάστους ἢ ἀδίκους; Οὐκ ἐπειδὰν σωφροσύνη καὶ δικαιοσύνη φυγὴν ἀΐδιον κατ᾽ αὐτῶν ψηφίσωνται; Πότε δὲ τοὺς ἀσεβεῖς; Οὐχ ὅταν εὐσέβεια τῶν ἰδίων ὀργίων ἀποσχοινίσῃ; Διό μοι δοκοῦσιν οἱ μὴ τελείως δυςκάθαρτοι εὔξασθαι ἂν κολασθῆναι μᾶλλον ἢ ἀφεθῆναι. Ἡ μὲν γὰρ ἄφεσις αὐτοὺς, ὥςπερ ἀνερμάτιστα καὶ ἀκυβέρνητα πλοῖα, ῥᾶστα ἀνατρέψει· ἡ δὲ κόλασις ἐπανορθώσεται. Ἢ οὐκ ἀμείνους μὲν τῶν ἀπαιδαγωγήτων οἱ ὑπὸ παιδαγωγῶν ἐν οἷς ἁμαρτάνουσιν ἐπιπληττόμενοι; Ἀμείνους δὲ τῶν ἀνεπιτιμήτων, οἱ ὑπὸ διδασκάλων ἐν οἷς περὶ τὰς τέχνας οὐ κατορθοῦσιν ὀνειδιζόμενοι; Εὐτυχέστεροι δὲ καὶ κρείττους τῶν ἀνεπιτροπεύτων νέων, οἱ μάλιστα μὲν ἐπιστασίας καὶ ἀρχῆς ἀξιωθέντες φυσικῆς, ἣν οἱ γεννήσαντες ἐπὶ τέκνοις κεκλήρωνται; Εἰ δὲ μὴ, δευτέρων γοῦν ἡγεμόνων ἐπιλαχόντες, οὓς ὀρφανίας ἔλεος ἐπιτρόπους εἴωθε χειροτονεῖν, τὴν γονέων ἐν ἅπασι τοῖς συμφέρουσι τάξιν ἐκπλήσοντας.

§. 40. Ἱκετεύωμεν οὖν τὸν θεὸν, οἱ συνειδήσει 18
τῶν οἰκείων ἀδικημάτων ἐλεγχόμενοι, κολάσαι μᾶλ- P
λον ἡμᾶς, ἢ παρεῖναι. Παρεὶς μὲν γὰρ οὐκέτι τοῦ ἵλεω δούλους ἑαυτοῦ, γενέσεως δὲ τῆς ἀνηλεοῦς ἀπεργάσεται. Κολάζων δὲ ἐπιεικῶς τε καὶ πρᾴως ἅτε χρηστὸς ὢν ἐπανορθώσεται τὰ ἁμαρτήματα, τὸν σω-

φροντιστὴν ἔλεγχον, τὸν ἑαυτοῦ λόγον, εἰς τὴν διάνοιαν ἐκπέμψας, δι' οὗ δυςωπήσας καὶ ὀνειδίσας περὶ ὧν ἐπλημμέλησεν, αὐτὴν ἰάσεται. Διὰ τοῦτο „πάνθ' ὅσα ἂν εὔξηται χήρα καὶ ἐκβεβλημένη κατὰ τῆς ψυχῆς αὑτῆς" φησιν ὁ νομοθέτης „μενεῖν αὐτῇ." *) Τὸν μὲν γὰρ θεὸν ἄνδρα καὶ πατέρα τῶν ὅλων, σπορὰν καὶ γένεσιν ἁπάντων παρεχόμενον ἐνδίκως φήσομεν· διάνοιαν δὲ ἐκβεβλῆσθαι τὴν χήραν θεοῦ, ἥτις ἢ γονὰς θείας οὐ παρεδέξατο, ἢ παραδεξαμένη ἑκουσίως αὖθις ἐξήμβλωσε. Τοιγαροῦν „ὅσα ἂν ὁρίσηται, καθ' ἑαυτῆς ὁριεῖται," **) καὶ ταῦτα μενεῖ πάντως ἀνίατα. Πῶς γὰρ οὐ κακὸν ἄπευκτον, ὁρίζεσθαί τι καὶ παγίως ἀποφαίνεσθαι περὶ αὑτῆς γένεσιν τὴν ἄστατον πάντη καὶ φορητὴν, ἐπιγράφουσαν αὑτῇ τὰς τοῦ ποιοῦντος ἀρετάς; Ὧν μία ἐστὶ καθ' ἣν ἀνενδοιάστως καὶ ἀκλινῶς ἕκαστα ὁρίζεται. Τοιγαροῦν οὐ χηρεύσει μόνον ἐπιστήμης, ἀλλὰ καὶ ἐκβεβλήσεται. Τοῦτο δέ ἐστι τοιοῦτον· ἡ χηρεύουσα μὲν, μήπω δὲ ἐκβεβλημένη τοῦ καλοῦ ψυχὴ, δύναταί πως ἐγκαρτερήσασα τὰς πρὸς τὸν ὀρθὸν λόγον τὸν νόμιμον συμβάσεις καὶ καταλλαγὰς
216 εὑρεῖν· ἡ δὲ ἅπαξ διαζευχθεῖσα καὶ διοικισθεῖσα,
M. ὡς ἄσπονδος μέχρι τοῦ παντὸς αἰῶνος ἐκτετόξευται, εἰς τὸν ἀρχαῖον οἶκον ἐπανελθεῖν ἀδυνατοῦσα.

§. 41. Περὶ μὲν οὖν τοῦ „μείζων ἡ αἰτία μου τοῦ ἀφεθῆναι" τοσαῦτα εἰρήσθω. Τὰ δ' ἀκόλουθα σκεψώμεθα, „Εἰ ἐκβαλεῖς με," φησὶ, „σήμερον ἀπὸ τοῦ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σοῦ, κρυβήσομαι." ***) Τί λέγεις, ὦ γενναῖε; Ἐὰν ἐκβληθῇς ἐξ ἁπάσης τῆς γῆς ἔτι κρυβήσῃ; Τίνα τρόπον; Ζῆν γὰρ δύναιο ἄν; Ἢ τοῦτ' ἠγνόησας, ὅτι

*) Num. 30, 10. — **) Num. 30, 13. — ***) Gen. 4, 14.

τοῖς ζώοις ἡ φύσις διαφέροντας καὶ οὐχὶ τοὺς αὐτοὺς τόπους πρὸς διαμονὴν ἐδωρήσατο; Θάλατταν μὲν ἰχθύσι καὶ παντὶ τῷ ἐνύδρῳ γένει, γῆν δὲ ἅπασι τοῖς χερσαίοις; Χερσαῖον δὲ, κατά γοῦν τὰς σώματος συγκρίσεις, ζῶον καὶ ἄνθρωπός ἐστι. Διὰ τοῦτο ἀμείψαντα τὰς οἰκείας χώρας ἕκαστα, καὶ ὥςπερ εἰς ἀλλοδαπὴν ἐλθόντα, ῥᾳδίως τελευτᾷ· τὰ μὲν χερσαῖα καθ᾽ ὕδατος δύντα, τὰ δ᾽ ἔνυδρα ἐπὶ χέρσον ἀναπλεύσαντα. Εἴπερ οὖν ἐκβληθείης ἀπὸ γῆς ἄνθρωπος ὤν, ποῖ τετράψῃ; Νήξῃ καθ᾽ ὕδατος, τὴν τῶν ἐνύδρων ἀπομιμούμενος φύσιν; Ἀλλ᾽ ὑποβρύχιος αὐτίκα τεθνήξῃ. Ἀλλὰ πτερώσας καὶ μετεωρίσας σαυτὸν, ἀεροβατεῖν ἐθελήσεις, τὸ χερσαῖον εἰς 183
πτηνοῦ γένος μεταβαλών; Ἀλλ᾽ εἰ δύνασαι, μετάπλαττε καὶ μεταχάραττε τὸ θεῖον νόμισμα. Ἀλλ᾽ οὐ δυνήσῃ. Ὅσῳ γὰρ ἂν μετεωρότερον σεαυτὸν ἐξάρῃς, τοσούτῳ θᾶττον ἀφ᾽ ὑψηλοτέρου μετὰ πλείονος φορᾶς ἐπὶ γῆν, τὸ οἰκεῖον χωρίον, ἐνεχθήσῃ.

§. 42. Ἄνθρωπος δ᾽ ἂν, ἤ τι τῶν γενομένων κρύπτεσθαι δυνηθείη θεόν; Ποῦ; Τὸν ἐφθακότα πάντη, τὸν ἄχρι περάτων ἀποβλέποντα, τὸν πεπληρωκότα τὸ πᾶν, οὗ τῶν ὄντων οὐδὲ τὸ βραχύτατον ἔρημον; Καὶ τί παράδοξον, εἰ μηδενὶ τῶν γενομένων ἐφικτὸν κρύπτεσθαι τὸ ὂν, ὁπότε οὐδὲ τὰς ὑλικὰς ἀρχὰς ἔνεστι διεκδῦναι, ἀλλ᾽ ἀνάγκη τῷ μίαν διαφυγόντι εἰς ἑτέραν μεταβῆναι; Εἰ γοῦν καθ᾽ ἣν τέχνην ἐποίει τὰ ἀμφίβια, κατὰ ταύτην καὶ ζῶον πανταχοῦ βιωσόμενον ἐβουλήθη καινουργῆσαι, τοῦτο τὸ ζῶον, εἰ μὲν τὰ βάρος ἔχοντα ἀπεδίδρασκε γῆν καὶ ὕδωρ, πρὸς τὰ τῇ φύσει κοῦφα ἀέρα καὶ πῦρ ἧκεν ἄν. Ἔμπαλιν δὲ ἐνομιλῆσαν τοῖς μεταρσίοις, εἰ μετανάστασιν ἐζήτει τὴν ἀπ᾽ αὐτῶν, τὸν ἐναντίον ἤμειψεν ἂν χῶρον. Ἔδει γὰρ αὐτὸ πάντως καθ᾽ ἓν τοῦ κόσμου μέρος προφαίνεσθαι, ἐπειδὴ παντὸς ἔξω

δραμεῖν ἦν ἀδύνατον· πρὸς τῷ μηδὲ ἐκτὸς ὑπολειφθῆναί τι, τοῦ δημιουργοῦ ὅλας δι' ὅλου τὰς τέτταρας ἀρχὰς εἰς τὴν τοῦ κόσμου σύστασιν ἀναλώ-
201 σαντος, ἵνα ἐκ μερῶν τελείων τελειότατον ἀπερ-
M. γάσηται τὸ πᾶν. Ὁπότ' οὖν ὅλον ἐκφυγεῖν τὸ τοῦ θεοῦ ἔργον ἀμήχανον, πῶς οὐκ ἀδύνατον μᾶλλον ἀποδρᾶναι τὸν ποιητὴν καὶ ἡγεμόνα τούτου; Μηδεὶς οὖν τὴν πρόχειρον ἐκδοχὴν τοῦ λόγου παραδεχόμενος ἀνεξετάστως, τῷ νόμῳ τὴν ἰδίαν εὐήθειαν προσαρτάτω· περισκεψάμενος δὲ ὅπερ αἰνίττεται δι' ὑπονοιῶν, τὸ σαφὲς διαγνώτω.

§. 43. Μήποτ' οὖν ὅπερ ἐμφαίνεται διὰ τοῦ "Εἰ ἐκβαλεῖς με σήμερον ἀπὸ τοῦ προσώπου τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου, κρυβήσομαι" τοῦτο ἔστιν, εἰ μὴ παρέχεις μοι τὰ τῆς γῆς ἀγαθὰ, οὐδὲ τὰ οὐρανοῦ δέχομαι· καὶ εἰ μή τις ἐστὶ χρῆσις καὶ ἀπόλαυσις ἡδονῆς, καὶ ἀρετὴν παραιτοῦμαι· καὶ εἰ τῶν ἀνθρωπίνων μὴ μεταδίδως ἀγαθῶν, ἔχε καὶ τὰ θεῖα. Τὰ γὰρ παρ' ἡμῖν ἀναγκαῖα καὶ τίμια καὶ γνήσια ὡς ἀληθῶς ἀγαθὰ, ταῦτα· φαγεῖν, πιεῖν, περιβαλέσθαι ποικίλαις χρωμάτων ἰδέαις δι' ὄψεως ἡδέως ἡσθῆναι, μελῳδίαις παντοδαπῶν ἤχων δι' ἀκοῆς τερφθῆναι, ἀτμῶν ἀποφοραῖς εὐώδεσι διὰ μυκτήρων γανωθῆναι, ταῖς γαστρὸς καὶ μετὰ γαστέρα ἡδοναῖς ἁπάσαις εἰς κόρον χρήσασθαι, τῆς ἀργύρου καὶ χρυσοῦ κτήσεως μὴ ἀμελῆσαι, τιμὰς καὶ ἀρχὰς καὶ ὅσα ἄλλα συντείνοντα πρὸς δόξαν 184
περιβαλέσθαι· φρόνησιν δὲ ἢ καρτερίαν ἢ δικαιοσύ- P.
νης αὐστηρᾶς διαθέσεις, ἐπίπονον παρασκευαζούσας βίον, ἐῶμεν. Εἰ δ' ἄρα καὶ χρηστέον αὐταῖς, οὐχ ὡς ἀγαθοῖς τελείοις χρηστέον, ἀλλὰ ὡς ποιητικοῖς ἀγαθοῦ. Σὺ μὲν οὖν, ὦ καταγέλαστε, φὴς, ὅτι τῶν σωματικῶν καὶ τῶν ἐκτὸς ἀφαιρεθεὶς πλεονεκτημάτων, εἰς ὄψιν οὐκ ἀφίξῃ θεοῦ; Ἐγὼ δέ σοι λέγω, ὅτι ἐὰν ἀφαιρεθῇς, πάντως ἀφίξῃ. Λυθεὶς γὰρ τῶν

ἀῤῥήτων σώματος καὶ περὶ σῶμα δεσμῶν, φαντασιώσῃ τὸν ἀγέννητον.

§. 44. Ἀβραὰμ οὐχ ὁρᾷς, ὅτι "γῆν καὶ συγγένειαν καὶ πατρὸς οἶκον,"*) τὸ σῶμα, τὴν αἴσθησιν, τὸν λόγον, "καταλιπὼν," ἄρχεται ταῖς τοῦ ὄντος ἐντυγχάνειν δυνάμεσιν; Ὅταν γὰρ ὑπεξέλθῃ πᾶσαν τὴν οἰκίαν, λέγει ὁ νόμος ὅτι "ὤφθη ὁ θεὸς αὐτῷ,"**) δηλῶν ὅτι ἐναργῶς φαίνεται τῷ τὰ θνητὰ ὑπεκδύντι, καὶ εἰς ἀσώματον τοῦδε τοῦ σώματος ψυχὴν ἀναδραμόντι. Διὸ καὶ Μωϋσῆς λαβὼν τὴν αὑτοῦ σκηνὴν "ἔξω πήττει τῆς παρεμβολῆς,"***) καὶ μακρὰν διοικίζει τοῦ σωματικοῦ στρατοπέδου, μόνως γὰρ ἂν οὕτως ἐλπίσας ἱκέτης καὶ θεραπευτὴς ἔσεσθαι τέλειος θεοῦ. Τὴν δὲ σκηνὴν ταύτην κεκλῆσθαί φησι μαρτυρίου, σφόδρα παρατετηρημένως,
222 ἵν᾽ ἡ τοῦ ὄντος ὑπάρχῃ, μὴ καλῆται μόνον. Τῶν
M. γὰρ ἀρετῶν ἡ μὲν θεοῦ πρὸς ἀλήθειάν ἐστι, κατὰ τὸ εἶναι συνεστῶσα· ἐπεὶ καὶ ὁ θεὸς μόνος ἐν τῷ εἶναι ὑφέστηκεν, οὗ χάριν ἀναγκαίως ἐρεῖ περὶ αὑτοῦ, "Ἐγώ εἰμι ὁ ὤν,"†) ὡς τῶν μετ᾽ αὐτὸν οὐκ ὄντων κατὰ τὸ εἶναι, δόξῃ δὲ μόνον ὑφεστάναι νομιζομένων. Ἡ δὲ Μωϋσέως σκηνὴ, συμβολικῶς οὖσα ἀνθρώπου ἀρετὴ, κλήσεως, οὐχ ὑπάρξεως ἀξιωθήσεται, μίμημα καὶ ἀπεικόνισμα τῆς θείας ἐκείνης ὑπάρχουσα. Τούτοις ἕπεται καὶ τὸ Μωϋσῆν, ὁπότε "χειροτονεῖται θεὸς τοῦ Φαραὼ," μὴ πρὸς ἀλήθειαν γεγενῆσθαι, δόξῃ δὲ μόνον ὑπολαμβάνεσθαι. Θεὸν γὰρ διδόντα μὲν οἶδα καὶ χαριζόμενον, διδόμενον δὲ οὐ δύναμαι νοῆσαι. Λέγεται δὲ ἐν ἱεραῖς βίβλοις, "Δίδωμί σε θεὸν Φαραὼ," τοῦ διδομένου πάσχοντος οὐ δρῶντος. Δραστήριον δὲ τὸ ὄντως

---

*) Gen. 12, 1. **) Gen. 12, 7. — ***) Exod. 33, 7.
†) Exod. 3, 14.

ὄν, οὐ πάσχον ἀναγκαίως εἶναι. Τί οὖν δὴ τούτων συνάγεται; ὅτι ὁ σοφὸς λέγεται μὲν θεὸς τοῦ ἄφρονος, πρὸς ἀλήθειαν δὲ οὐκ ἔστι θεὸς, ὥσπερ οὐδὲ τὸ ἀδόκιμον τετράδραχμόν ἐστι τετράδραχμον. Ἀλλ' ὅταν μὲν τῷ ὄντι παραβάλληται, ἄνθρωπος εὑρεθήσεται θεοῦ· ὅταν δὲ ἄφρονι ἀνθρώπῳ, θεὸς πρὸς φαντασίαν καὶ δόκησιν, οὐ πρὸς ἀλήθειαν καὶ τὸ εἶναι νοούμενος.

§. 45. Τί οὖν ματαιάζεις λέγων, "Εἴ με ἐκβαλεῖς ἀπὸ τῆς γῆς, καὶ σοῦ κρυβήσομαι;" *) Τὸ
ἐναντίον γὰρ, εἴ σε τοῦ γεώδους ἀπελάσω, τὴν εἰ- 185
κόνα ἐμφανῶς δείξω τὴν ἑαυτοῦ. Τεκμήριον δὲ, σὺ P.
μὲν ἐκ προσώπου τοῦ θεοῦ μεταστήσῃ, μεταναστὰς δὲ τὸ γήϊνον σῶμα οὐδὲν ἧττον οἰκήσεις. Λέγει γὰρ αὖθις, "Ἐξῆλθε δὲ Κάϊν ἀπὸ προσώπου τοῦ θεοῦ καὶ ᾤκησεν ἐν γῇ," **) ὥστε οὐκ ἐκβληθεὶς ἀπὸ γῆς ἀποκέκρυψαι τὸν ὄντα, ἀλλ' ἐκτραπεὶς αὐτὸν, εἰς γῆν καταπέφευγας, τὸ θνητὸν χωρίον. Καὶ μὴν οὐδὲ πᾶς ὁ εὑρίσκων σε ἀποκτενεῖ, καθάπερ σοφιζόμενος διεξῄεις. Τὸ γὰρ εὑρισκόμενον, ὑπὸ δυοῖν, ἢ ὁμοίου, ἢ ἀνομοίου, πάντως εὑρίσκεται· ὑπὸ μὲν οὖν τοῦ ὁμοίου καὶ συγγενοῦς, τὴν ἐν ἅπασιν οἰκειότητα καὶ κοινωνίαν· ὑπὸ δὲ τοῦ ἀνομοίου, τὴν ἀντίπαλον ἀλλοτριότητα. Τὸ μὲν οὖν ὅμοιόν ἐστι καὶ φιλακτικὸν τοῦ παραπλησίου, τὸ δ' ἀνόμοιον καὶ φθαρτικὸν τοῦ διαλλάττοντος. Ἴστωσαν δὴ καὶ ὁ Κάϊν, καὶ εἴ τις ἕτερος πανοῦργος, ὅτι οὐχ ὑπὸ παντὸς τοῦ ἐντυγχάνοντος ἀναιρεθήσεται· ἀλλὰ ῥᾳδιουργοὶ μὲν ἀδελφὰς καὶ συγγενεῖς κακίας ἐζηλωκότες, φρουροὶ καὶ φύλακες αὐτοῦ γενήσονται· φρόνησιν δὲ ὅσοι καὶ ἄλλην ἀρετὴν ἐξεπόνησαν, ὡς ἄσπονδον ἐχθρὸν, ἣν δύνωνται, καθελοῦσι. Πάντα γὰρ,

---

*) Gen. 4, 13. — **) Gen. 4, 16.

223 ὡς ἔπος εἰπεῖν, καὶ σώματα καὶ πράγματα πρὸς
M. μὲν οἰκείων καὶ φίλων σώζεται, πρὸς ἀλλοτρίων δὲ καὶ δυσμενῶν διαφθείρεται. Διὰ τοῦτο καὶ ὁ χρησμὸς ἀντιμαρτυρῶν τῇ προσποιήτῳ εὐηθείᾳ τοῦ Κάϊν φησὶν, "Οὐχ οὕτω φρονεῖς ὡς λέγεις." *) Λέγεις μὲν γὰρ ὅτι πᾶς ὁ τὰ παλαίσματά σου τῆς τέχνης εὑρὼν ἀνελεῖ. Οἶδας δὲ, ὅτι οὐχὶ πᾶς, μυρίων ἐν τῇ σῇ τεταγμένων συμμαχίᾳ· ἀλλὰ μόνος ὁ ἀρετῇ μὲν φίλος, σοὶ δὲ ἐχθρὸς ἀσύμβατος.

§. 46. "Ὁ δὲ ἀποκτείνας," φησὶ, "Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει." Καὶ τοῦτο τίνα ἔχει λόγον πρὸς τὰς ῥητὰς διερμηνεύσεις οὐκ οἶδα, ἑπτὰ ἐκδικούμενα παραλύσει. Οὔτε γὰρ τίνα ἐστὶ τὰ ἑπτὰ οὔτε πῶς ἐκδικούμενα, οὔτε ὃν τρόπον παρίεται καὶ ἐκλύεται, δεδήλωκεν. Ὥςτε τροπικώτερον καὶ δι᾽ ὑπονοιῶν ἀνάγκη πάντα τὰ τοιαῦτα λέγεσθαι νομίζειν. Μήποτ᾽ οὖν ὃ βούλεται παριστάνειν ἐστὶ τοιόνδε. Τὸ ἄλογον τῆς ψυχῆς εἰς ἑπτὰ διανέμεται μοίρας, ὅρασιν, ὄσφρησιν, ἀκοὴν, γεῦσιν, ἁφὴν, λόγον, γόνιμον. Εἰ δή τις τὸν ὄγδοον ἀνέλοι, νοῦν, τὸν ἡγεμόνα τούτων Κάϊν, παραλύσει καὶ τὰ ἑπτά· ῥώμῃ μὲν γὰρ τῆς διανοίας κραταιᾷ, πάντα συῤῥώννυται, ἀσθενείᾳ δὲ συγκάμνει, φθορᾷ δὲ ἣν ἐπάγει κακία παντελὴς, πάρεσίν τε καὶ ἔκλυσιν λαμβάνει παντελῆ. Τὰ δὲ ἑπτὰ ταῦτα ἐν μὲν σοφοῦ ψυχῇ ἀμίαντα καὶ καθαρὰ, ταύτῃ καὶ τιμῆς ἐπάξια εὑρίσκεται· ἐν δὲ ἄφρονος, ἀκάθαρτα καὶ μεμιασμένα, καὶ ὅπερ εἶπον, ἐκδικούμενα, ἴσον τῷ δίκης ἐπάξια καὶ τιμωρίας. Ὁπότε γοῦν τὴν γῆν ὕ- 186
δατι καθαίρειν ὁ δημιουργὸς διενοήθη, καὶ τὴν ψυ- P.
χὴν τῶν ἀμυθήτων ἀδικημάτων κάθαρσιν λαβεῖν,

---

*) Gen. 41, 5.

ἐκνιψαμένην καὶ ἀπολουσαμένην τὰ μιάσματα τρόπον ἁγνείας ἱερᾶς, παραινεῖ τῷ φανέντι δικαίῳ, ὅς οὐ παρεσύρη τῇ κατακλυσμοῦ φορᾷ εἰςαγαγεῖν εἰς τὴν κιβωτὸν, ὅπερ ἦν τὸ τῆς ψυχῆς ἀγγεῖον, τὸ σῶμα, ἀπὸ "τῶν κτηνῶν τῶν καθαρῶν ἑπτὰ, ἄῤῥεν καὶ θῆλυ," *) δικαιώσας τὸν ἀστεῖον λογισμὸν χρῆσθαι μέρεσι τοῖς τοῦ ἀλόγου πᾶσι καθαροῖς.

§. 47. Καὶ τοῦθ᾽ ὅπερ ὥρισεν ὁ νομοθέτης, ἐξ ἀνάγκης παρακολουθεῖ πᾶσι τοῖς σοφοῖς. Ἔχουσι γὰρ κεκαθαρμένην τὴν ὅρασιν, καὶ ἐξητασμένην ἀκοὴν, καὶ πᾶσαν αἴσθησιν· ἔχουσι μέντοι καὶ λόγον ἀκηλίδωτον, καὶ τὰς πρὸς συνουσίας οὐκ ἐκνόμους ὁρμάς· ἕκαστον δὲ τῶν ἑπτὰ τῇ μὲν ἄῤῥεν γίνεται, τῇ δὲ καὶ θῆλυ. Ἐπειδὴ γὰρ ἢ ἴσχεται ἢ κινεῖται, ἴσχεται μὲν κατὰ τοὺς ὕπνους ἠρεμοῦντα, κινεῖται δὲ ἐν ταῖς ἐγρηγόρσεσιν ἤδη ἐνεργοῦντα, τὸ μὲν καθ᾽ ἕξιν καὶ ἠρεμίαν, ἅτε πρὸς τὸ παθεῖν
224 ὑποβεβλημένον, καλεῖται θῆλυ· τὸ δὲ κατὰ κίνησίν
M. τε καὶ ἐνέργειαν, ἅτε ἐν τῷ δρᾶν ἐπινοούμενον, ἄῤῥεν ὀνομάζεται. Οὕτω μὲν ἐν τῷ σοφῷ τὰ ἑπτὰ φαίνεται καθαρὰ, κατὰ δὲ τὰ ἐναντία ἐν τῷ φαύλῳ πάντα ἐκδικούμενα. Πόσην γὰρ ὑπολαμβάνομεν πληθὺν καθ᾽ ἑκάστην ἡμέραν ὑπ᾽ ὀφθαλμῶν προδίδοσθαι, πρὸς τὰ χρώματα καὶ σχήματα, καὶ ἃ μὴ θέμις ὁρᾶν, αὐτομολούντων; Πόσην δὲ ὑπὸ ὤτων ἁπάσαις φωναῖς ὑπακολουθούντων; Πόσην δὲ πρὸς τῶν ὀσφρήσεως καὶ γεύσεως ὀργάνων ὑπό τε ἀτμῶν καὶ τῶν ἄλλων ἀπλέτοις ποικιλίαις ἀγομένων; Ἔτι τοίνυν σοι λέγω τὸ πλῆθος, ὧν ἀχαλίνου γλώττης ῥεῦμα ἀνεπίσχετον διέφθειρεν, ἢ ὁ περὶ τὰς μίξεις ὁ μετ᾽ ἐπιθυμίας ἀκρατοῦς ἀνίατος οἶστρος; Μεσταὶ

---

*) Gen. 7, 2.

μὲν αἱ πόλεις, μεστὴ δὲ ἀπὸ περάτων ἐπὶ πέρατα πᾶσα ἡ γῆ τῶν κακῶν τούτων, ἐξ ὧν ὁ συνεχὴς καὶ ἄπαυστος καὶ μέγιστος πολέμων ὁ κατ᾽ εἰρήνην ἀνθρώπων γένει καὶ ἰδίᾳ καὶ κοινῇ φύεται.

§. 48. Διόπερ ἑλέσθαι ἂν μοι δοκοῦσιν οἱ μὴ τελείως ἀπαίδευτοι πεπηρῶσθαι μᾶλλον, ἢ τὰ μὴ προςήκονθ᾽ ὁρᾶν· κεκωφῶσθαι μᾶλλον, ἢ βλαβερῶν ἀκούειν λόγων· καὶ ἐκτετμῆσθαι γλῶτταν, ὑπὲρ τοῦ μηδὲν τῶν ἀῤῥήτων ἐκλαλῆσαι. Φασὶ γοῦν ἤδη τινὰς τῶν σοφῶν τροχιζομένους ὑπὲρ τοῦ τὰ ἄῤῥητα μηνῦσαι, γλῶτταν ἀποτραγόντας τὴν ἑαυτῶν, ἀργαλεωτέραν κατὰ τῶν βασανιστῶν ἀντιτεχνήσασθαι βάσανον, οἳ δυνηθέντων ἃ ἐπόθουν ἐπιγνῶναι. Ἐξευνουχισθῆναί γε μὴν ἄμεινον, ἢ πρὸς συνουσίας ἐκνόμους λυττᾶν. Ἅπαντα δὴ ταῦτα συμφοραῖς ἀνηκέστοις βαπτίζοντα τὴν ψυχὴν, δίκης καὶ τιμωρίας εἰκότως ἂν τῆς ἀνωτάτω τυγχάνοι. Λέγει δὲ ἑξῆς, ὅτι "Ἔθετο κύριος ὁ θεὸς σημεῖον τῷ Κάϊν, τοῦ 187
μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα." *) Καὶ P.
τί τὸ σημεῖόν ἐστιν, οὐ δεδήλωκε, καίτοι γε εἰωθὼς τὴν ἑκάστου φύσιν διὰ σημείου δεικνύναι· ὥςπερ ἐπὶ τῶν ἐν Αἰγύπτῳ τὴν ῥάβδον μεταβαλὼν εἰς ὄφιν, καὶ τὴν χεῖρα Μωϋσέως εἰς χιόνος ἰδέαν, καὶ τὸν ποταμὸν εἰς αἷμα. Μήποτ᾽ οὖν αὐτὸ τοῦτο σημεῖόν ἐστι τῷ Κάϊν τοῦ μὴ φονευθῆναι, τὸ μηδέποτε ἀναιρεθῆναι; Οὐδὲ γὰρ θάνατον αὐτοῦ διὰ πάσης τῆς νομοθεσίας δεδήλωκεν· αἰνιττόμενος ὅτι, ὥςπερ ἡ μεμυθευμένη Σκύλλα, κακὸν ἀθάνατόν
225 ἐστιν ἀφροσύνη, τὴν μὲν κατὰ τὸ τεθνάναι τελευ-
M τὴν οὐχ ὑπομένουσα, τὴν δὲ κατὰ τὸ ἀποθνήσκειν

---

*) Gen. 4, 15.

*πάντα ἐνδεχομένη τὸν αἰῶνα. Εἴθε μέντοι συμβαίνοι τὰ ἐναντία, ὡς ἐκποδὼν τὰ φαῦλα ἀναιρεῖσθαι, παντελῆ φθορὰν ὑπομένοντα· νῦν δ' ἀεὶ ζωπυρούμενα, τὴν ἀθάνατον ἐγκατασκήπτει νόσον τοῖς ἅπαξ πρὸς αὐτῶν ἁλοῦσιν.*

---

L I P S I A E,

EX OFFICINA HIRSCHFELDII.

3

LGr
P565R

14542
Philo Judaeus
Opera omnia; [ed. by Richter]. Vol.1.

UNIVERSITY OF TORONTO
LIBRARY

Do not
remove
the card
from this
Pocket.

Acme Library Card Pocket
Under Pat. "Ref. Index File."
Made by LIBRARY BUREAU